Parallelogramma igitur, ſuper æqualibus baſibus & in eiſdem parallelis conſtituta, inter ſe ſunt æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λζ'.

Τὰ τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν.

PROP. XXXVII. THEOR.

Triangula, ſuper eadem baſi & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia.

Ἔστω τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις τῇ ΑΔ, ΒΓ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.

Sint triangula ABΓ, ΔBΓ ſuper eadem baſi BΓ & in eiſdem parallelis AΔ, BΓ conſtituta: dico triangulum ABΓ triangulo ΔBΓ eſſe æquale.

Producatur A Δ ex utraque parte in E, Z puncta, & per B quidem ipſi Γ A [per 31. prop.] parallela ducatur B E, per Γ vero ipſi B Δ parallela ducatur Γ Z.



Parallelogrammum igitur eſt utrumq; ipſorum E B Γ A, Δ B Γ Z: & parallelogrammum E B Γ A [per 35. prop.] eſt æquale parallelogrammo Δ B Γ Z; etenim ſuper eadem ſunt baſi B Γ & in eiſdem parallelis B Γ, E Z: eſtque parallelogrammi quidem E B Γ A dimidium A B Γ triangulum; diameter enim A B ipſum bifariam ſecat: parallelogrammi vero Δ B Γ Z dimidium triangulum Δ B Γ; diameter enim Δ Γ [per 34. prop.] ipſum bifariam ſecat. æqualium autem dimidia inter ſe ſunt æqualia: ergo triangulum A B Γ triangulo Δ B Γ eſt æquale.

Triangula igitur, ſuper eadem baſi & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia. quod erat demonſtrandum.

Ἐκβεβλήθω ἡ Α Δ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Ε, Ζ σημεῖα, καὶ διὰ μὲν τοῦ Β τῇ Γ Α παράλληλος ἤχθω ἡ Β Ε, διὰ δὲ τοῦ Γ τῇ Β Δ παράλληλος ἤχθω ἡ Γ Ζ.

Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν Ε Β Γ Α, Δ Β Γ Ζ· καὶ ἔστιν ἴσον τὸ Ε Β Γ Α τῷ Δ Β Γ Ζ, ἐπὶ τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς Β Γ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Β Γ, Ε Ζ· καὶ ἔστι τοῦ μὲν Ε Β Γ Α παραλληλογράμμου ἥμισυ τὸ Α Β Γ τρίγωνον, ἡ γὰρ Α Β διάμετρος αὐτὸ δίχα τέμνει· τοῦ δὲ Δ Β Γ Ζ παραλληλογράμμου ἥμισυ τὸ Δ Β Γ τρίγωνον, ἡ γὰρ Δ Γ διάμετρος αὐτὸ δίχα τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ Α Β Γ τρίγωνον τῷ Δ Β Γ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXVIII. Theor.

Triangula, ſuper baſibus æqualibus & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia.

ΠΡΟΤΑΣΙΣ λη'.

Τὰ τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις εἰσίν.

Sint triangula A B Γ, Δ E Z ſuper æqualibus baſibus B Γ, E Z & in eiſdem parallelis B Z, A Δ conſtituta: dico A B Γ triangulum eſſe æquale triangulo Δ E Z.

Producatur enim A Δ ex utraque parte in H, Θ puncta, & per B quidem ipſi Γ A [per 31. prop.] parallela ducatur B H, per Z vero ducatur Z Θ parallela ipſi Δ E.



Parallelogrammum igitur eſt utrumque ipſorum H B Γ A, Δ E Z Θ: atque eſt H B Γ A [per 36. prop.] æquale Δ E Z Θ; ſuper æqualibus enim ſunt baſibus B Γ, E Z & in eiſdem parallelis B Z, H Θ: parallelogrammi vero H B Γ A dimidium eſt A B Γ triangulum, nam [per 34. prop.] diameter A B ipſum bifariam ſecat: & parallelogrammi Δ E Z Θ dimidium eſt triangulum Z E Δ; diameter enim Δ Z ipſum ſecat bifariam. æqualium autem dimidia ſunt inter ſe æqualia: ergo A B Γ triangulum triangulo Δ E Z eſt æquale.

Triangula igitur, ſuper æqualibus baſibus & in eiſdem parallelis conſtituta, ſunt inter ſe æqualia. quod erat demonſtrandum.

Ἔστω τρίγωνα Α Β Γ, Δ Ε Ζ ἐπὶ ἴσων βάσεων ὄντα τῶν Β Γ, Ε Ζ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Β Ζ, Α Δ· λέγω ὅτι ἴσον ἐστὶ τὸ Α Β Γ τρίγωνον τῷ Δ Ε Ζ τριγώνῳ.

Ἐκβεβλήσθω γὰρ ἡ Α Δ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Η, Θ, καὶ διὰ μὲν τοῦ Β τῇ Γ Α παράλληλος ἤχθω ἡ Β Η, διὰ δὲ τοῦ Ζ τῇ Δ Ε παράλληλος ἤχθω ἡ Ζ Θ.

Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν Η Β Γ Α, Δ Ε Ζ Θ· καὶ ἔστιν ἴσον τὸ Η Β Γ Α τῷ Δ Ε Ζ Θ, ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν Β Γ, Ε Ζ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Β Ζ, Η Θ· καὶ ἔστι τοῦ μὲν Η Β Γ Α παραλληλογράμμου ἥμισυ τὸ Α Β Γ τρίγωνον, ἡ γὰρ Α Β διάμετρος δίχα αὐτὸ τέμνει· τοῦ δὲ Δ Ε Ζ Θ παραλληλογράμμου ἥμισυ τὸ Ζ Ε Δ τρίγωνον, ἡ γὰρ Ζ Δ διάμετρος δίχα αὐτὸ τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ Α Β Γ τρίγωνον τῷ Δ Ε Ζ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λθ'.

Τὰ ἴσα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, καὶ ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

ΕΣτω τρίγωνα ἴσα τὰ ΑΒΓ, ΔΒΓ, ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα τῆς ΒΓ καὶ ἐπὶ τὰ αὐτὰ μέρη· λέγω ὅτι ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ἐπεζεύχθω γὰρ ἡ ΑΔ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΓ.

Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Α σημείου τῇ ΒΓ εὐθεῖα παράλληλος ἡ ΑΕ, καὶ ἐπεζεύχθω ἡ ΕΓ.

Ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἐπὶ τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῇ ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΕ. ἀλλὰ τὸ ΑΒΓ τῷ ΔΒΓ ἐστιν ἴσον· καὶ τὸ ΔΒΓ ἄρα τρίγωνον τῷ ΕΒΓ ἴσον ἐστίν, τὸ μεῖζον τῷ ἐλάττονι, ὅπερ ἀδύνατον· οὐκ ἄρα παράλληλός ἐστιν ἡ ΑΕ τῇ ΒΓ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΑΔ· ἡ ΑΔ ἄρα τῇ ΒΓ ἐστὶν παράλληλος.



Τὰ ἄρα ἴσα τρίγωνα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXXIX. THEOR.

Triangula æqualia, ſuper eadem baſi & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis.

SInt æqualia triangula ABΓ, ΔBΓ, ſuper eadem baſi BΓ conſtituta & ad eaſdem partes: dico in eiſdem eſſe parallelis. ducatur enim AΔ: dico AΔ parallelam eſſe BΓ.

Si enim non, ducatur per A punctum [per 31. prop.] rectæ BΓ parallela recta AE, & ducatur EΓ.

Æquale igitur eſt [per 37. prop.] ABΓ triangulum triangulo EBΓ; ſuper eadem enim eſt baſi BΓ & in eiſdem parallelis BΓ, AE. ſed [ex hyp.] ABΓ triangulum triangulo ΔBΓ eſt æquale: ergo & triangulum ΔBΓ æquale eſt ipſi EBΓ triangulo, majus minori, quod fieri non poteſt: non eſt igitur AE ipſi BΓ parallela. ſimiliter oſtendemus neque ullam aliam parallelam eſſe præter ipſam AΔ; ergo AΔ ipſi BΓ eſt parallela.

Triangula igitur æqualia, ſuper eadem baſi & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μ'.

Τὰ ἴσα τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

ΕΣτω τρίγωνα ἴσα τὰ ΑΒΓ, ΓΔΕ, ἐπὶ ἴσων βάσεων ὄντα τῶν ΒΓ, ΓΕ καὶ ἐπὶ τὰ αὐτὰ μέρη· λέγω ὅτι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. ἐπεζεύχθω γὰρ ἡ ΑΔ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΕ.

Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Α τῇ ΒΕ παράλληλος ἡ ΖΑ, καὶ ἐπεζεύχθω ἡ ΖΕ.

Ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΖΓΕ τριγώνῳ· ἐπὶ τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΓΕ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΕ, ΑΖ. ἀλλὰ τὸ ΑΒΓ τρίγωνον ἴσον ἐστὶ τῷ ΔΓΕ τριγώνῳ· καὶ τὸ ΔΓΕ τρίγωνον ἄρα ἴσον ἐστὶ τῷ ΖΓΕ τριγώνῳ, τὸ μεῖζον τῷ ἐλάσσονι, ὅπερ ἀδύνατον· οὐκ ἄρα παράλληλός ἐστιν ἡ ΑΖ τῇ ΒΕ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΑΔ· ἡ ΑΔ ἄρα τῇ ΒΕ παράλληλός ἐστι.

Τὰ ἄρα ἴσα τρίγωνα, τὰ ἐπὶ τῶν ἴσων βάσεων ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, καὶ ἐν ταῖς αὐταῖς εἰσι παραλλήλοις. ὅπερ ἔδει δεῖξαι.

PROP. XL. THEOR.

Triangula æqualia, ſuper baſibus æqualibus & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis.

SInt triangula æqualia ABΓ, ΓΔE, ſuper æqualibus baſibus BΓ, ΓE & ad eaſdem partes conſtituta: dico etiam in eiſdem eſſe parallelis. ducatur enim AΔ: dico AΔ ipſi BE parallelam eſſe.



Nam ſi non eſt, ducatur per A ipſi BE parallela ZA, & ZE ducatur.

Triangulum igitur ABΓ [per 38. prop.] triangulo ZΓE eſt æquale; nam & ſuper æqualibus baſibus BΓ, ΓE & in eiſdem parallelis BE, AZ conſtituuntur. ſed triangulum ABΓ æquale eſt triangulo ΔΓE: ergo & triangulum ΔΓE triangulo ZΓE æquale erit, majus minori, quod fieri non poteſt: non eſt igitur AZ ipſi BE parallela. ſimiliter demonſtrabimus neque ullam aliam parallelam eſſe præter AΔ: ergo AΔ ipſi BE parallela erit.

Æqualia igitur triangula, ſuper baſibus æqualibus & ad eaſdem partes conſtituta, ſunt in eiſdem parallelis. quod erat demonſtrandum.

PROP.

PROP. XLI. THEOR.

Si parallelogrammum & triangulum eandem habeant baſim, ſintque in eiſdem parallelis: parallelogrammum ipſius trianguli duplum erit.

PArallelogrammum enim ABΓΔ & triangulum EBΓ baſim habeant eandem BΓ, & ſint in eiſdem parallelis BΓ, AE: dico parallelogrammum ABΓΔ trianguli BEΓ duplum eſſe.

Ducatur enim AΓ.

Triangulum igitur ABΓ triangulo EBΓ [per 37. prop.] eſt æquale; namque ſuper eadem baſi BΓ, & in eiſdem parallelis BΓ, AE conſtituitur. Sed ABΓΔ parallelogrammum duplum eſt trianguli ABΓ, diameter enim AΓ [per 34. prop.] ipſum bifariam ſecat: quare & ABΓΔ parallelogrammum ipſius EBΓ trianguli duplum erit.



Si igitur parallelogrammum & triangulum eandem habeant baſim, & ſint in eiſdem parallelis: parallelogrammum ipſius trianguli duplum erit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μα'.

Ἐὰν παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτὴν, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ· διπλάσιον ἔσται τὸ παραλληλόγραμμον τοῦ τριγώνου.

ΠΑραλληλόγραμμον γὰρ τὸ ABΓΔ τριγώνῳ τῷ EBΓ βάσιν τε ἐχέτω τὴν αὐτὴν τὴν BΓ, καὶ ἐν ταῖς αὐταῖς ἔστω παραλλήλοις ταῖς BΓ, AE· λέγω ὅτι διπλάσιόν ἐστι τὸ ABΓΔ παραλληλόγραμμον τοῦ BEΓ τριγώνου.

Ἐπεζεύχθω γὰρ ἡ AΓ.

Ἴσον δή ἐστι τὸ ABΓ τῷ EBΓ τριγώνῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς BΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς BΓ, AE. ἀλλὰ τὸ ABΓΔ παραλληλόγραμμον διπλάσιόν ἐστι τοῦ ABΓ τριγώνου, ἡ γὰρ AΓ διάμετρος αὐτὸ δίχα τέμνει· ὥστε τὸ ABΓΔ παραλληλόγραμμον καὶ τοῦ EBΓ τριγώνου ἐστὶ διπλάσιον.

Ἐὰν ἄρα παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτὴν, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ· διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου. ὅπερ ἔδει δεῖξαι.

PROP. XLII. PROBL.

Dato triangulo æquale parallelogrammum conſtituere in dato angulo rectilineo.

SIT datum triangulum ABΓ, datus autem rectilineus angulus Δ: oportet itaque dato triangulo ABΓ æquale parallelogrammum conſtituere in angulo rectilineo ipſi Δ æquali.

Secetur BΓ [per 10. prop.] bifariam in E, & ducatur AE, & ad rectam lineam EΓ atque ad punctum in ea E conſtituatur [per 23. prop.] angulus ΓEZ æqualis ipſi Δ, & per A quidem ipſi EΓ [per 31. prop.] parallela ducatur AH, per Γ vero ipſi ZE ducatur parallela ΓH: parallelogrammum igitur eſt ZEΓH.



Et quoniam BE eſt æqualis EΓ, erit & ABE triangulum [per 38. prop.] triangulo AEΓ æquale; ſuper æqualibus enim ſunt baſibus BE, EΓ, & in eiſdem parallelis BΓ, AH: ergo triangulum ABΓ trianguli AEΓ eſt duplum. eſt autem [per 41. prop.] parallelogrammum ZEΓH duplum

ΠΡΟΤΑΣΙΣ μβ'.

Τῷ δοθέντι τριγώνῳ ἴσον παραλληλόγραμμον συστήσασθαι * ἐν τῇ δοθείσῃ εὐθυγράμμῳ γωνίᾳ.

ΕΣτω τὸ μὲν δοθὲν τρίγωνον τὸ ABΓ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία Δ· δεῖ δὴ τῷ ABΓ τριγώνῳ ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν ἴσῃ τῇ Δ γωνίᾳ εὐθυγράμμῳ.

Τετμήσθω ἡ BΓ δίχα κατὰ τὸ E, καὶ ἐπεζεύχθω ἡ AE, καὶ συνεστάτω πρὸς τῇ EΓ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ E τῇ Δ γωνίᾳ ἴση ἡ ὑπὸ ΓEZ, καὶ διὰ μὲν τοῦ A τῇ EΓ παράλληλος ἤχθω ἡ AH, διὰ δὲ τοῦ Γ τῇ ZE παράλληλος ἤχθω ἡ ΓH· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ZEΓH.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ BE τῇ EΓ, ἴσον ἐστὶ καὶ τὸ ABE τρίγωνον τῷ AEΓ τριγώνῳ· ἐπί τε γὰρ ἴσων βάσεων εἰσὶ τῶν BE, EΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς BΓ, AH· διπλάσιον ἄρα ἐστὶ τὸ ABΓ τοῦ AEΓ τριγώνου. ἔστι δὲ καὶ τὸ ZEΓH παραλληλόγραμ-

* Legendum videtur, σὺν ἴσῃ τῇ δοθείσῃ, ſic *Proclus* in 44. prop.

μον

μων διπλάσιον τῶ ΑΕΓ τριγώνω. βάσιν τε γὰρ αὐτὸ τὴν αὐτὴν ἔχει καὶ ἐν ταῖς αὐταῖς ἐστιν αὐτῷ παραλλήλοις. ἴσον ἄρα ἐστὶ τὸ ΖΕΓΗ παραλληλόγραμμον τῷ ΑΒΓ τριγώνῳ, καὶ ἔχει τὴν ὑπὸ ΓΕΖ γωνίαν ἴσην τῇ δοθείσῃ τῇ Δ.

Τῷ ἄρα δοθέντι τριγώνῳ τῷ ΑΒΓ ἴσον παραλληλόγραμμον συνεστάθη τὸ ΖΕΓΗ, ἐν γωνίᾳ τῇ ὑπὸ ΓΕΖ, ἥ ἐστιν ἴση τῇ Δ. ὅπερ ἔδει ποιῆσαι.

trianguli ΑΒΓ; baſim enim eandem habet, & in eiſdem eſt parallelis: æquale igitur eſt [per 6. ax.] ΖΕΓΗ parallelogrammum triangulo ΑΒΓ, habetque ΓΕΖ angulum æqualem angulo dato Δ.

Dato igitur triangulo ΑΒΓ æquale parallelogrammum ΖΕΓΗ conſtitutum eſt, in angulo ΓΕΖ, qui angulo Δ eſt æqualis. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ μγ'.

Παντὸς παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν.

Prop. XLIII. Theor.

In omni parallelogrammo complementa eorum quæ circa diametrum ſunt parallelogrammorum inter ſe ſunt æqualia.

Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν ΑΓ παραλληλόγραμμα μὲν ἔστω τὰ ΕΘ, ΖΗ, τὰ δὲ λεγόμενα παραπληρώματα τὰ ΒΚ, ΚΔ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΒΚ παραπλήρωμα τῷ ΚΔ παραπληρώματι.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΓ τριγώνῳ. πάλιν, ἐπεὶ τὸ ΕΚΘΑ παραλληλόγραμμόν ἐστι, διάμετρος δὲ αὐτοῦ ἡ ΑΚ, ἴσον ἐστὶ τὸ ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΚΖΓ τρίγωνον τῷ ΚΗΓ ἐστὶν ἴσον. ἐπεὶ οὖν τὸ μὲν ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ ἐστὶν ἴσον, τὸ δὲ ΚΖΓ τῷ ΚΗΓ, τὸ ΑΕΚ τρίγωνον μετὰ τοῦ ΚΗΓ ἐστὶν ἴσον τῷ ΑΘΚ τριγώνῳ μετὰ τοῦ ΚΖΓ τριγώνου. ἔστι δὲ καὶ ὅλον τὸ ΑΒΓ τρίγωνον ὅλῳ τῷ ΑΔΓ ἴσον· λοιπῷ ἄρα τῷ ΚΔ παραπληρώματι ἴσον ἐστὶ τὸ ΒΚ παραπλήρωμα.



Παντὸς ἄρα παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Sit parallelogrammum ΑΒΓΔ, cujus diameter ΑΓ, & circa ipſam ΑΓ parallelogramma quidem ſint ΕΘ, ΖΗ, quæ vero dicuntur complementa ΒΚ, ΚΔ: dico ΒΚ complementum complemento ΚΔ eſſe æquale.

Quoniam enim parallelogrammum eſt ΑΒΓΔ, & ejus diameter ΑΓ, æquale eſt [per 34. prop.] triangulum ΑΒΓ triangulo ΑΔΓ. rurſus, quoniam ΕΚΘΑ parallelogrammum eſt, cujus diameter ΑΚ, triangulum ΑΕΚ triangulo ΑΘΚ æquale erit. eadem etiam ratione & triangulum ΚΖΓ triangulo ΚΗΓ eſt æquale. cum igitur triangulum quidem ΑΕΚ æquale ſit triangulo ΑΘΚ, triangulum vero ΚΖΓ ipſi ΚΗΓ, triangulum ΑΕΚ una cum triangulo ΚΗΓ æquale eſt triangulo ΑΘΚ una cum ΚΖΓ triangulo: eſt autem & totum triangulum ΑΒΓ æquale toti ΑΔΓ: reliquum igitur ΒΚ complementum [per 3. ax.] reliquo complemento ΚΔ eſt æquale.

In omni igitur parallelogrammo complementa eorum quæ circa diametrum ſunt parallelogrammorum inter ſe ſunt æqualia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μδ'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν, τῷ δοθέντι τριγώνῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, * ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Prop. XLIV. Probl.

Ad datam rectam lineam, dato triangulo æquale parallelogrammum applicare, in dato angulo rectilineo.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν τρίγωνον τὸ Γ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Δ· δεῖ δὴ πρὸς τὴν δοθεῖσαν εὐθεῖαν τὴν ΑΒ, τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐν ἴσῃ τῇ Δ γωνίᾳ.

Συνεστάτω τῷ Γ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕΖΗ, ἐν γωνίᾳ τῇ ὑπὸ ΕΒΗ, ἥ ἐστιν ἴση τῇ Δ· καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΒΕ τῇ

Sit data quidem recta linea ΑΒ, datum vero triangulum Γ, & datus angulus rectilineus Δ: oportet quidem ad datam rectam lineam ΑΒ, dato triangulo Γ æquale parallelogrammum applicare, in angulo ipſi Δ æquali.

Conſtituatur [per 42. prop.] triangulo Γ æquale parallelogrammum ΒΕΖΗ, in angulo ΕΒΗ, qui eſt æqualis angulo Δ; & ponatur ΒΕ in di-

* ἐν γωνίᾳ, ἥ ἐστιν ἴση τῇ δοθείσῃ. *Proclus.*

rectum ipſi AB, producaturque ZH ad Θ, & per A alterutri ipſarum BH, EZ [per 31. prop.] parallela ducatur AΘ, & jungatur ΘB. & quoniam in parallelas AΘ, EZ recta linea ΘZ incidit, anguli AΘZ, ΘZE [per 29. prop.] duobus rectis ſunt æquales; quare BΘH, HZE duobus rectis ſunt minores: quæ vero à minoribus, quàm ſunt duo recti, in infinitum producuntur [per 11. ax.] conveniunt inter ſe: ergo ΘB, ZE productæ convenient. producantur [per 2. poſt.] & conveniant in K; perque K alterutri ipſarum EA, ZΘ [per 31. prop.] parallela ducatur KΛ; & AΘ, HB ad Λ, M puncta producantur.



Parallelogrammum igitur eſt ΘΛKZ, cujus diameter ΘK, & circa ΘK parallelogramma quidem ſunt AH, ME; ea vero quæ dicuntur complementa ΛB, BZ: ergo [per 43. prop.] AB ipſi BZ eſt æquale. eſt autem BZ æquale triangulo Γ: quare & AB triangulo Γ æquale erit. & quoniam HBE angulus æqualis eſt [per 15. prop.] angulo ABM, & æqualis eſt etiam HBE angulo Δ: erit & angulus ABM angulo Δ æqualis.

Ad datam igitur rectam lineam AB, dato triangulo Γ æquale parallelogrammum conſtituitur ΛB, in angulo ABM, qui eſt æqualis angulo Δ. quod erat faciendum.

AB, ἐκβεβλήσθω ἡ ZH ἐπὶ τὸ Θ, καὶ διὰ τοῦ A τῇ ἑτέρᾳ τῶν BH, EZ παράλληλος ἤχθω ἡ AΘ, καὶ ἐπεζεύχθω ἡ ΘB. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς AΘ, EZ εὐθεῖα ἐμπέπτωκεν ἡ ΘZ, αἱ ἄρα ὑπὸ AΘZ, ΘZE γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ BΘH, HZE δύο ὀρθῶν ἐλάσσονές εἰσιν· αἱ δὲ ἀπὸ ἐλασσόνων, ἢ δύο ὀρθῶν, εἰς ἄπειρον ἐκβαλλόμεναι συμπίπτουσιν· αἱ ΘB, ZE ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ K, καὶ διὰ τοῦ K σημείου ὁποτέρᾳ τῶν EA, ZΘ παράλληλος ἤχθω ἡ KΛ, καὶ ἐκβεβλήσθωσαν αἱ ΘA, HB ἐπὶ τὰ Λ, M σημεῖα.

Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΘΛKZ, διάμετρος δὲ αὐτοῦ ἡ ΘK, περὶ δὲ τὴν ΘK παραλληλόγραμμα μέν ἐστι τὰ AH, ME, τὰ δὲ λεγόμενα παραπληρώματα ΛB, BZ· ἴσον ἄρα ἐστὶ τὸ ΛB τῷ BZ. ἀλλὰ καὶ τὸ BZ τῷ Γ τριγώνῳ ἐστὶν ἴσον· καὶ τὸ ΛB ἄρα τῷ Γ ἐστὶν ἴσον. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ HBE γωνία τῇ ὑπὸ ABM, ἀλλὰ ἡ ὑπὸ HBE τῇ Δ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ABM τῇ Δ γωνίᾳ ἐστὶν ἴση.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν AB, τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ ΛB, ἐν γωνίᾳ τῇ ὑπὸ ABM, ἥ ἐστιν ἴση τῇ Δ. ὅπερ ἔδει ποιῆσαι.

PROP. XLV. PROBL.

Rectilineo dato æquale parallelogrammum conſtituere, in dato angulo rectilineo.

SIT datum rectilineum ABΓΔ, datus vero angulus rectilineus E: oportet rectilineo ABΓΔ æquale parallelogrammum conſtituere, in angulo ipſi E æquali.

Ducatur enim ΔB, & conſtituatur [per 42. prop.] triangulo AΔB æquale parallelogrammum ZΘ, in angulo ΘKZ, qui eſt æqualis angulo E: deinde ad rectam lineam HΘ applicetur triangulo ΔBΓ æquale parallelogrammum HM, in angulo HΘM, qui angulo E eſt æqualis.



Et quoniam angulus E æqualis eſt utrique ipſorum ΘKZ, HΘM: erit & ΘKZ angulo HΘM æqualis. communis addatur KΘH: angu-

ΠΡΟΤΑΣΙΣ μέ.

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον συστήσασθαι, ἐν τῇ δοθείσῃ εὐθυγράμμῳ γωνίᾳ.

ΕΣτω τὸ δοθὲν εὐθύγραμμον τὸ ABΓΔ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ E· δεῖ δὴ τῷ ABΓΔ εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον συστήσασθαι, ἐν ἴσῃ γωνίᾳ τῇ E.

Ἐπεζεύχθω γὰρ ἡ ΔB, καὶ συνεστάτω τῷ ABΔ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ZΘ, ἐν τῇ ὑπὸ ΘKZ γωνίᾳ, ἥ ἐστιν ἴση τῇ E· καὶ παραβεβλήσθω παρὰ τὴν HΘ εὐθεῖαν τῷ ΔBΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ HM, ἐν τῇ ὑπὸ HΘM γωνίᾳ, ἥ ἐστιν ἴση τῇ E.

Καὶ ἐπεὶ ἡ E γωνία ἑκατέρᾳ τῶν ὑπὸ ΘKZ, HΘM ἐστὶν ἴση· καὶ ἡ ἄρα ὑπὸ ΘKZ τῇ ὑπὸ HΘM ἴση ἐστίν. κοινὴ προσκείσθω ἡ ὑπὸ KΘH· αἱ ἄρα ὑπὸ

ὑπὸ ΖΚΘ, ΚΘΗ τῇ ὑπὸ ΚΘΗ, ΗΘΜ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΖΚΘ, ΚΘΗ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΚΘΗ, ΗΘΜ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. πρὸς δή τινι εὐθείᾳ τῇ ΗΘ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ, δύο εὐθεῖαι αἱ ΚΘ, ΘΜ, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι, τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν, ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΘΜ. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΚΜ, ΖΗ εὐθεῖα ἐνέπεσεν ἡ ΘΗ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΜΘΗ, ΘΗΖ ἴσαι ἀλλήλαις εἰσί. κοινὴ προσκείσθω ἡ ὑπὸ ΘΗΛ· αἱ ἄρα ὑπὸ ΜΘΗ, ΘΗΛ τρισὶ τῇ ὑπὸ ΘΗΖ, ΘΗΛ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΜΘΗ, ΘΗΛ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ αἱ ὑπὸ ΘΗΖ, ΘΗΛ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΛ. καὶ ἐπεὶ ἡ ΚΖ τῇ ΘΗ ἴση τε καὶ παράλληλός ἐστιν, ἀλλὰ καὶ ἡ ΘΗ τῇ ΜΛ, καὶ ἡ ΚΖ ἄρα τῇ ΜΛ ἴση τε καὶ παράλληλός ἐστιν· καὶ ἐπιζευγνύουσιν αὐτὰς εὐθεῖαι αἱ ΚΜ, ΖΛ, καὶ αἱ ΚΜ, ΖΛ ἴσαι τε καὶ παράλληλοί εἰσι· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΚΖΛΜ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΒΔ τρίγωνον τῷ ΘΖ παραλληλογράμμῳ, τὸ δὲ ΑΒΓ τῷ ΗΜ· ὅλον ἄρα τὸ ΑΒΓΔ εὐθύγραμμον ὅλῳ τῷ ΚΖΛΜ παραλληλογράμμῳ ἴσον ἐστί.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓΔ ἴσον παραλληλόγραμμον συνέσταται τὸ ΚΖΛΜ, ἐν γωνίᾳ τῇ ὑπὸ ΖΚΜ, ἥ ἐστιν ἴση δοθείσῃ τῇ Ε. ὅπερ ἔδει ποιῆσαι.

li igitur ΖΚΘ, ΚΘΗ *angulis* ΚΘΗ, ΗΘΜ *ſunt æquales. ſed* ΖΚΘ, ΚΘΗ [per 29. prop.] *ſunt æquales duobus rectis: ergo &* ΚΘΗ, ΗΘΜ *duobus rectis æquales erunt. itaque quoniam ad rectam lineam* ΗΘ, *& ad punctum in ea* Θ, *duæ rectæ lineæ* ΚΘ, ΘΜ, *non ad eaſdem partes poſitæ, angulos deinceps duobus rectis æquales efficiunt,* [per 14. prop.] *in directum eſt* ΚΘ *ipſi* ΘΜ. *& quoniam in parallelas* ΚΜ, ΖΗ *recta linea* ΘΗ *incidit, alterni anguli* ΜΘΗ, ΘΗΖ [per 29. prop.] *æquales ſunt. communis addatur* ΘΗΛ: *anguli igitur* ΜΘΗ, ΘΗΛ *angulis* ΘΗΖ, ΘΗΛ *ſunt æquales. at anguli* ΜΘΗ, ΘΗΛ [per 29. prop.] *ſunt æquales duobus rectis: quare & anguli* ΘΗΖ, ΘΗΛ *duobus rectis æquales erunt: in directum igitur eſt* ΖΗ *ipſi* ΗΛ. *& quoniam* ΚΖ *ipſi* ΘΗ *& æqualis eſt & parallela, &* ΘΗ *etiam ipſi* ΜΛ, *erit* [per 1. ax. & 30. prop.] ΚΖ *ipſi* ΜΛ *& æqualis & parallela; ipſaſque conjungunt rectæ lineæ* ΚΜ, ΖΛ: *ergo &* ΚΜ, ΖΛ [per 33. prop.] *ſunt æquales & parallelæ: parallelogrammum igitur eſt* ΚΖΛΜ. *cum autem triangulum quidem* ΑΒΔ *æquale ſit parallelogrammo* ΘΖ, *triangulum vero* ΑΒΓ *parallelogrammo* ΗΜ; *erit totum* ΑΒΓΔ *rectilineum toti parallelogrammo* ΚΖΛΜ *æquale.*

Dato igitur rectilineo ΑΒΓΔ æquale parallelogrammum conſtitutum eſt ΚΖΛΜ, in angulo ΖΚΜ, qui eſt æqualis angulo Ε dato. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ μϛ'.

Ἀπὸ τῆ δοθείσης εὐθείας τετράγωνον ἀναγράψαι.

PROP. XLVI. PROBL.

A data recta linea quadratum deſcribere.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· δεῖ δὴ ἀπὸ τῆ ΑΒ εὐθείας τετράγωνον ἀναγράψαι.



Ἤχθω τῇ ΑΒ εὐθεῖα, ἀπὸ δὲ τοῦ πρὸς αὐτῇ σημείου τοῦ Α, πρὸς ὀρθὰς ἡ ΑΓ· καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΑΔ· καὶ διὰ μὲν τοῦ Δ σημείου τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΕ· διὰ δὲ τοῦ Β σημείου τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΒΕ.

Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΑΔΕΒ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΑΔ τῇ ΒΕ. ἀλλὰ καὶ ἡ ΑΒ τῇ ΑΔ ἐστιν ἴση, αἱ τέσσαρες ἄρα αἱ ΒΑ, ΑΔ, ΔΕ, ΒΕ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΔΕΒ παραλληλόγραμμον. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ εἰς παραλλήλους τὰς ΑΒ, ΔΕ εὐθεῖα ἐνέπεσεν ἡ ΑΔ· αἱ ἄρα ὑπὸ ΒΑΔ, ΑΔΕ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΔ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΔΕ. τῶν δὲ παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὀρθὴ ἄρα καὶ ἑκατέρα τῶν ἀπεναντίον τῶν ὑπὸ ΑΒΕ, ΒΕΔ γωνιῶν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΔΕΒ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.

Τετράγωνον ἄρα ἐστί, καὶ ἔστιν ἀπὸ τῆ ΑΒ εὐθείας ἀναγεγραμμένον. ὅπερ ἔδει ποιῆσαι.

SIT data recta linea ΑΒ: oportet ab ipſa ΑΒ quadratum deſcribere.

Ducatur [per 11. prop.] rectæ lineæ ΑΒ, à puncto in ea dato Α, ad rectos angulos ΑΓ; & ipſi ΑΒ æqualis [per 3. prop.] ponatur ΑΔ; perque punctum Δ ducatur [per 31. prop.] ΔΕ ipſi ΑΒ parallela; & per Β ipſi ΑΔ parallela ducatur ΒΕ.

Parallelogrammum igitur eſt ΑΔΕΒ. ideo & ΑΒ quidem eſt æqualis ΔΕ, ΑΔ vero ipſi ΒΕ. ſed & ΑΒ ipſi ΑΔ eſt æqualis: quatuor igitur ΒΑ, ΑΔ, ΔΕ, ΕΒ inter ſe ſunt æquales: ideoque æquilaterum eſt ΑΔΕΒ parallelogrammum. dico etiam rectangulum eſſe. quoniam enim in parallelas ΑΒ, ΔΕ recta linea incidit ΑΔ: anguli ΒΑΔ, ΑΔΕ [per 29. prop.] duobus rectis ſunt æquales. rectus autem eſt [per conſtruct.] ΒΑΔ: ergo & ΑΔΕ rectus erit. parallelogrammorum autem tam latera quam anguli oppoſiti [per 34. prop.] æquantur: rectus igitur eſt uterque oppoſitorum ΑΒΕ, ΒΕΔ angulorum; & ob id rectangulum eſt ΑΔΕΒ. oſtenſum autem eſt & æquilaterum eſſe.

Quadratum igitur ſit neceſſe eſt; atque à recta linea ΑΒ deſcribitur. quod erat faciendum.

PROP. XLVII. THEOR.

In rectangulis triangulis, quadratum, quod à latere rectum angulum ſubtendente deſcribitur, æquale eſt quadratis, quæ à lateribus rectum angulum comprehendentibus deſcribuntur.

SIT triangulum rectangulum ABΓ, rectum habens BAΓ angulum: dico quadratum, deſcriptum à recta BΓ, æquale eſſe quadratis, quæ ab ipſis BA, AΓ deſcribuntur.

Deſcribatur enim à BΓ quidem quadratum BΔEΓ; ab ipſis vero BA, AΓ quadrata HB, ΘΓ; perque A alterutri ipſarum BΔ, ΓE parallela ducatur AΛ; & ducantur AΔ, ZΓ.



Quoniam igitur uterque angulorum BAΓ, BAH rectus eſt; & ad eandem rectam lineam BA, & ad punctum in ea A, duæ rectæ lineæ AΓ, AH, non ad eaſdem partes poſitæ, faciunt angulos deinceps duobus rectis æquales: ΓA recta eſt in directum ipſi AH. eadem ratione, & AB eſt in directum ipſi AΘ. & quoniam angulus ΔBΓ [per 10. ax.] eſt æqualis angulo ZBA, rectus enim eſt uterque, communis addatur ABΓ: totus igitur ΔBA angulus toti ZBΓ eſt æqualis. cum autem duæ ΔB, BA duabus ΓB, BZ ſint æquales, altera alteri, & angulus ΔBA æqualis angulo ZBΓ: erit [per 4. prop.] & baſis AΔ baſi ZΓ æqualis, & ABΔ triangulum triangulo ZBΓ æquale. eſtque trianguli quidem ABΔ [per 41. prop.] duplum BΛ parallelogrammum; baſim enim eandem habent BΔ, & ſunt in eiſdem parallelis BΔ, AΛ: trianguli vero ZBΓ duplum eſt HB quadratum; rurſus enim baſim habent eandem ZB, & ſunt in eiſdem parallelis ZB, HΓ; æqualium autem dupla ſunt inter ſe æqualia: æquale eſt igitur parallelogrammum BΛ ipſi HB quadrato. ſimiliter, ductis AE, BK, oſtendetur etiam ΓΛ parallelogrammum æquale quadrato ΘΓ: totum igitur BΔEΓ quadratum duobus quadratis HB, ΘΓ eſt æquale. & eſt quidem BΔEΓ quadratum à recta linea BΓ deſcriptum; quadrata vero HB, ΘΓ ab ipſis BA, AΓ: quadratum igitur BE, à latere BΓ deſcriptum, æquale eſt quadratis, quæ deſcribuntur à lateribus BA, AΓ.

Ergo in rectangulis triangulis, quadratum, quod à latere rectum angulum ſubtendente deſcribitur, æquale eſt quadratis, quæ à lateribus rectum angulum comprehendentibus deſcribuntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ μζ'.

Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν, τετραγώνοις.

ΕΣτω τρίγωνον ὀρθογώνιον τὸ ABΓ, ὀρθὴν ἔχον τὴν ὑπὸ BAΓ· λέγω ὅτι τὸ ἀπὸ τῆς BΓ τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν BA, AΓ τετραγώνοις.

Ἀναγεγράφθω γὰρ ἀπὸ μὲν τῆς BΓ τετράγωνον τὸ BΔEΓ· ἀπὸ δὲ τῶν BA, AΓ τὰ HB, ΘΓ· καὶ διὰ μὲν τοῦ A ὁποτέρα τῶν BΔ, ΓE παράλληλος ἤχθω ἡ AΛ· καὶ ἐπεζεύχθωσαν αἱ AΔ, ZΓ.

Καὶ ἐπεὶ ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ BAΓ, BAH γωνιῶν· πρὸς δή τινι τῇ BA, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A, δύο εὐθεῖαι αἱ AΓ, AH, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι, τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΓA τῇ AH. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ AB τῇ AΘ ἐστιν ἐπ' εὐθείας. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔBΓ γωνία τῇ ὑπὸ ZBA, ὀρθὴ γὰρ ἑκατέρα, κοινὴ προσκείσθω ἡ ὑπὸ ABΓ· ὅλη ἄρα ἡ ὑπὸ ΔBA ὅλῃ τῇ ὑπὸ ZBΓ ἐστιν ἴση. καὶ ἐπεὶ δύο αἱ ΔB, BA δυσὶ ταῖς ΓB, BZ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΔBA γωνίᾳ τῇ ὑπὸ ZBΓ ἴση ἐστίν· βάσις ἄρα ἡ AΔ βάσει τῇ ZΓ ἐστιν ἴση, καὶ τὸ ABΔ τρίγωνον τῷ ZBΓ τριγώνῳ ἐστὶν ἴσον. καὶ ἔστι μὲν ABΔ τριγώνου διπλάσιον τὸ BΛ παραλληλόγραμμον, βάσιν τε γὰρ τὴν αὐτὴν ἔχουσι τὴν BΔ καὶ ἐν ταῖς αὐταῖς εἰσι παραλλήλοις ταῖς BΔ, AΛ· ἔστι δὲ καὶ τὸ ZBΓ τριγώνου διπλάσιον τὸ HB τετράγωνον, βάσιν τε γὰρ πάλιν τὴν αὐτὴν ἔχουσι τὴν ZB καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις εἰσὶ ταῖς ZB, HΓ· τὰ δὲ τῶν ἴσων διπλάσια ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ καὶ τὸ BΛ παραλληλόγραμμον τῷ HB τετραγώνῳ. ὁμοίως δὴ, ἐπιζευγνυμένων τῶν AE, BK, δειχθήσεται καὶ τὸ ΓΛ παραλληλόγραμμον ἴσον τῷ ΘΓ τετραγώνῳ· ὅλον ἄρα τὸ ΔBΓE τετράγωνον δυσὶ τοῖς HB, ΘΓ τετραγώνοις ἴσον ἐστί. καὶ ἔστι τὸ μὲν BΔEΓ τετράγωνον ἀπὸ τῆς BΓ ἀναγραφέν, τὰ δὲ HB, ΘΓ ἀπὸ τῶν BA, AΓ· τὸ ἄρα ἀπὸ τῆς ΒΓ πλευρᾶς τετράγωνον BE ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν BA, AΓ πλευρῶν τετραγώνοις.

Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνοις. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ μή.

Ἐὰν τριγώνου τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις· ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ὀρθή ἐστι.

Prop. XLVIII. Theor.

Si quadratum, quod deſcribitur ab uno laterum trianguli, æquale ſit quadratis, quæ à reliquis trianguli lateribus deſcribuntur: angulus à reliquis duobus trianguli lateribus comprehenſus rectus erit.

Τριγώνου γὰρ τοῦ ΑΒΓ τὸ ἀπὸ μιᾶς τῶν ΒΓ τετράγωνον ἴσον ἔστω τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις· λέγω ὅτι ὀρθή ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία.

Ἤχθω γὰρ ἀπὸ τοῦ Α σημείου τῇ ΑΓ πρὸς ὀρθὰς εὐθεῖα ἡ ΑΔ, καὶ κείσθω τῇ ΒΑ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΓ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΒ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΔΑ τετράγωνον τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ τετράγωνα ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΔΑ, ΑΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΔΓ, ὀρθὴ γὰρ ἐστὶν ἡ ὑπὸ ΔΑΓ γωνία· τοῖς δὲ ἀπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ, ὑπόκειται γάρ· τὸ ἄρα ἀπὸ τῆς ΔΓ τετράγωνον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΓ τετραγώνῳ· ὥστε καὶ πλευρὰ ἡ ΔΓ τῇ ΒΓ ἐστὶν ἴση· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΑΒ, κοινὴ δὲ ἡ ΑΓ, δύο δὴ αἱ ΑΔ, ΑΓ δυσὶ ταῖς ΒΑ, ΑΓ ἴσαι εἰσί, καὶ βάσις ἡ ΔΓ βάσει τῇ ΒΓ ἐστὶν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΒΑΓ ἐστὶν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΑΓ· ὀρθὴ ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΒΑΓ.

Ἐὰν ἄρα τριγώνου τὸ ἀπὸ μιᾶς τῶν πλευρῶν τετράγωνον ἴσον ᾖ τοῖς ἀπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν τετραγώνοις· ἡ περιεχομένη γωνία ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν ὀρθή ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Trianguli enim ΑΒΓ quod ab uno latere ΒΓ deſcribitur quadratum æquale ſit quadratis quæ à reliquis trianguli lateribus ΒΑ, ΑΓ deſcribuntur: dico angulum ΒΑΓ rectum eſſe.

Ducatur enim [per 11. prop.] à puncto Α ipſi ΑΓ ad rectos angulos ΑΔ, ponaturque ΑΔ ipſi ΒΑ æqualis, & ducatur ΔΓ.

Quoniam igitur ΔΑ eſt æqualis ΑΒ; erit & quadratum, quod deſcribitur ex ΔΑ, æquale quadrato rectæ ΑΒ. commune addatur quadratum quod ex ΑΓ: ergo quadrata quæ ex ΔΑ, ΑΓ æqualia ſunt quadratis quæ ex ΒΑ, ΑΓ deſcribuntur. ſed quadratis quidem quæ ex ΔΑ, ΑΓ æquale eſt [per 47. prop.] quod ex ΔΓ quadratum, rectus enim angulus eſt ΔΑΓ; quadratis vero quæ ex ΒΑ, ΑΓ æquale ponitur quadratum quod ex ΒΓ: quadratum igitur quod ex ΔΓ æquale eſt ei quod ex ΒΓ quadrato: ergo & latus ΔΓ lateri ΓΒ eſt æquale, & quoniam ΑΔ eſt æqualis ΑΒ, communis autem ΑΓ; duæ ΑΔ, ΑΓ duabus ΒΑ, ΑΓ æquales ſunt; & baſis ΔΓ eſt æqualis baſi ΓΒ: angulus igitur ΔΑΓ [per 8. prop.] angulo ΒΑΓ eſt æqualis. rectus autem eſt ΔΑΓ: ergo & ΒΑΓ rectus erit.

Si igitur quadratum, quod deſcribitur ab uno laterum trianguli, æquale ſit quadratis, quæ à reliquis trianguli lateribus deſcribuntur: angulus à reliquis duobus trianguli lateribus comprehenſus rectus erit. quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER SECUNDUS.

DEFINITIONES.

1. OMNE parallelogrammum rectangulum contineri dicitur ſub duabus rectis lineis, quæ rectum angulum comprehendunt.

2. Omnis parallelogrammi unumquodque eorum quæ circa diametrum ipſius ſunt parallelogrammorum cum duobus complementis Gnomon vocetur.

ΟΡΟΙ.

α'. ΠΑΝ παραλληλόγραμμον ὀρθογώνιον περιέχεσθαι λέγεται ὑπὸ δύο τῶν περὶ τὴν ὀρθὴν γωνίαν περιεχουσῶν εὐθειῶν.

β'. Παντὸς δὲ παραλληλογράμμου χωρίου τῶν περὶ τὴν διάμετρον αὐτοῦ ἐν παραλληλογράμμων ὁποιονοῦν σὺν τοῖς δυσὶ παραπληρώμασι γνώμων καλείσθω.

PROPOSITIO I. THEOREMA.

Si ſint duæ rectæ lineæ, altera autem ipſarum ſecta fuerit in quotcunque partes: rectangulum ſub duabus rectis comprehenſum æquale eſt eis rectangulis, quæ ſub recta linea non ſecta & ſingulis alterius ſegmentis comprehenduntur.

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὅσα δηποτοῦν τμήματα· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τὴν ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις.

SInt duæ rectæ lineæ A, BΓ, & ſecta ſit BΓ utcunque in punctis Δ, E: dico rectangulum comprehenſum ſub rectis lineis A, BΓ æquale eſſe rectangulo quod continetur ſub A, BΔ, & rectangulo quod ſub A, ΔE, & ei quod ſub A, EΓ continetur.

Ducatur enim [per 11. prop. lib. 1.] à puncto B ipſi BΓ ad rectos angulos BZ, atque ipſi A ponatur æqualis BH, & per H quidem ipſi BΓ [per 31. 1.] parallela ducatur HΘ; per puncta vero Δ, E, Γ ducantur ΔK, EΛ, ΓΘ parallelæ ipſi BH.



Rectangulum igitur BΘ eſt æquale rectangulis BK, ΔΛ, EΘ. atque eſt quidem BΘ rectangulum, quod ſub A, BΓ continetur; etenim con-

ΕΣτωσαν δύο εὐθεῖαι αἱ A, BΓ, καὶ τετμήσθω ἡ BΓ ὡς ἔτυχε κατὰ τὰ Δ, E σημεῖα· λέγω ὅτι τὸ ὑπὸ τῶν A, BΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπό τε τῶν A, BΔ περιεχομένῳ ὀρθογωνίῳ, καὶ τῷ ὑπὸ τῶν A, ΔE, καὶ ἔτι τῷ ὑπὸ τῶν A, EΓ.

Ηχθω γὰρ ἀπὸ τοῦ B τῇ BΓ πρὸς ὀρθὰς ἡ BZ, καὶ κείσθω τῇ A ἴση ἡ BH, καὶ διὰ τοῦ H τῇ BΓ παράλληλος ἤχθω ἡ HΘ, διὰ δὲ τῶν Δ, E, Γ τῇ BH παράλληλοι ἤχθωσαν αἱ ΔK, EΛ, ΓΘ.

Ισον δή ἐστι τὸ BΘ τοῖς BK, ΔΛ, EΘ. καὶ ἔστι τὸ μὲν BΘ τὸ ὑπὸ τῶν A, BΓ, περιέχεται μὲν γὰρ ὑπὸ τῶν HB,

ΗΒ, ΒΓ, ἴση δὲ ἡ ΒΗ τῇ Α· τὸ δὲ ΒΚ τὸ ὑπὸ τῶν Α, ΒΔ, περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΗΒ, ΒΔ, ἴση δὲ ἡ ΗΒ τῇ Α· τὸ δὲ ΔΛ τὸ ὑπὸ τῶν Α, ΔΕ, ἴση γάρ ἡ ΔΚ, τοῦτ' ἔστιν ἡ ΒΗ, τῇ Α· καὶ ἔτι ὁμοίως τὸ ΕΘ τὸ ὑπὸ τῶν Α, ΕΓ· τὸ ἄρα ὑπὸ τῶν Α, ΒΓ ἴσον ἐστὶ τῷ τε ὑπὸ Α, ΒΔ, καὶ τῷ ὑπὸ Α, ΔΕ, καὶ ἔτι τῷ ὑπὸ Α, ΕΓ.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὁσαδηποτοῦν τμήματα· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις. ὅπερ ἔδει δεῖξαι.

tinetur ſub ΗΒ, ΒΓ, & ΒΗ ipſi Α eſt æqualis: rectangulum autem ΒΚ eſt quod continetur ſub ipſis Α, ΒΔ; continetur enim ſub ΗΒ, ΒΔ, quarum ΗΒ eſt æqualis Α: & rectangulum ΔΛ eſt quod continetur ſub rectis Α, ΔΕ, quoniam ΔΚ, hoc eſt ΒΗ, ipſi Α eſt æqualis: & ſimiliter rectangulum ΕΘ eſt quod ſub rectis Α, ΕΓ continetur: ergo rectangulum contentum ſub rectis Α, ΒΓ eſt æquale rectangulo contento ſub rectis Α, ΒΔ, & contento ſub rectis Α, ΔΕ, & adhuc contento ſub Α, ΕΓ.

Si igitur ſint duæ rectæ lineæ, quarum altera ſecta fuerit in quotcunque partes: rectangulum ſub duabus rectis lineis comprehenſum eſt æquale eis rectangulis, quæ ſub recta linea non ſecta, & ſingulis alterius ſegmentis comprehenduntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑκατέρου τῶν τμημάτων περιεχόμενα ὀρθογώνια ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ὅλης τετραγώνῳ.

Prop. II. Theor.

Si recta linea ſecetur utcunque, rectangula ſub tota & utroque ſegmento comprehenſa æquantur quadrato totius.

Εὐθεῖα γὰρ ἡ ΑΒ τετμήσθω ὡς ἔτυχε κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον, μετὰ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΓ περιεχομένου ὀρθογωνίου, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ ἤχθω διὰ τοῦ Γ ὁποτέρᾳ τῶν ΑΔ, ΒΕ παράλληλος ἡ ΓΖ.



Ἴσον δή τὸ ΑΕ τοῖς ΑΖ, ΓΕ· καί ἐστι τὸ μὲν ΑΕ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον, τὸ δὲ ΑΖ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ περιεχόμενον ὀρθογώνιον· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΔΑ, ΑΓ, ἴση δὲ ἡ ΑΔ τῇ ΑΒ· τὸ δὲ ΓΕ τὸ ὑπὸ ΑΒ, ΒΓ, ἴση γὰρ ἡ ΒΕ τῇ ΑΒ· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ, μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑκατέρου τῶν τμημάτων περιεχόμενα ὀρθογώνια ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ὅλης τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Recta enim linea ΑΒ ſecetur utcunque in puncto Γ: dico rectangulum quod ſub rectis ΑΒ, ΒΓ comprehenditur, una cum rectangulo comprehenſo ſub ΒΑ, ΑΓ, æquari quadrato rectæ ΑΒ.

Deſcribatur enim [per 46. 1.] ex ΑΒ quadratum ΑΔΕΒ, & per Γ ducatur [per 31. 1.] alterutri ipſarum ΑΔ, ΒΕ parallela ΓΖ.

Eſt igitur ΑΕ æquale rectangulis ΑΖ, ΓΕ: eſt autem ΑΕ quadratum rectæ ΑΒ; ΑΖ vero rectangulum comprehenditur ſub rectis ΒΑ, ΑΓ, comprehenditur enim ſub rectis ΔΑ, ΑΓ, quarum ΑΔ æquatur ipſi ΑΒ: & rectangulum ΓΕ comprehenditur ſub rectis ΑΒ, ΒΓ, cum recta ΒΕ ſit æqualis rectæ ΑΒ: rectangulum igitur comprehenſum ſub rectis ΒΑ, ΑΓ, una cum rectangulo ſub ΑΒ, ΒΓ, æquatur quadrato rectæ ΑΒ.

Si igitur recta linea ſecetur utcunque, rectangula ſub tota & utroque ſegmento comprehenſa æquantur quadrato totius. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν εὐθεῖα γραμμὴ ὡς ἔτυχε τμηθῇ, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τοῦ προειρημένου τμήματος τετραγώνῳ.

Prop. III. Theor.

Si recta linea ſecetur utcunque, rectangulum ſub tota & uno ſegmento comprehenſum æquatur rectangulo ſub ſegmentis comprehenſo, & prædicti ſegmenti quadrato.

Εὐθεῖα γὰρ ἡ ΑΒ τετμήσθω ὡς ἔτυχε κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ, μετὰ τοῦ ἀπὸ ΒΓ τετραγώνου.

Recta enim linea ΑΒ ſecta ſit utcunque in puncto Γ: dico rectangulum ſub ΑΒ, ΒΓ æquale eſſe rectangulo ſub ΑΓ, ΓΒ, una cum quadrato rectæ ΒΓ.

Deſcriba-

Deſcribatur enim [per 46. 1.] ex ΒΓ quadratum ΓΔΕΒ, producaturque ΕΔ in Ζ, & per Α alterutri ipſarum ΓΔ, ΒΕ [per 31. 1.] parallela ducatur ΑΖ.



Æquale utique erit rectangulum ΑΕ ipſis ΑΔ, ΓΕ: & eſt ΑΕ [quidem rectangulum contentum ſub rectis ΑΒ, ΒΓ; continetur etenim ſub rectis ΑΒ, ΒΕ, quarum ΒΕ eſt æqualis ΒΓ: rectangulum vero ΑΔ eſt quod continetur ſub rectis ΑΓ, ΓΒ, cum ΔΓ ipſi ΓΒ ſit æqualis: & ΔΒ eſt quadratum quod fit ex ex ΒΓ: ergo rectangulum ſub ΑΒ, ΒΓ, eſt æquale rectangulo ſub ΑΓ, ΓΒ, una cum quadrato quod ex ΒΓ.

Si igitur recta linea ſecetur utcunque, rectangulum ſub tota & uno ſegmento comprehenſum æquatur rectangulo ſub ſegmentis comprehenſo, & prædicti ſegmenti quadrato. quod erat demonſtrandum.

Αναγεγράφθω γὰρ ἀπὸ τῆς ΒΓ τετράγωνον τὸ ΓΔΕΒ, καὶ ἤχθω ἡ ΕΔ ἐπὶ τὸ Ζ, καὶ διὰ μὲν Α ὁποτέρα τῶν ΓΔ, ΒΕ παράλληλος ἤχθω ἡ ΑΖ.

Ἴσον δή ἐστι τὸ ΑΕ τοῖς ΑΔ, ΓΕ· καὶ ἔστι τὸ μὲν ΑΕ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον, περιέχεται γὰρ ὑπὸ τῶν ΑΒ, ΒΕ, ἴση δὲ ἡ ΒΕ τῇ ΒΓ· τὸ δὲ ΑΔ ὑπὸ τῶν ΑΓ, ΓΒ, ἴση γὰρ ἡ ΔΓ τῇ ΓΒ· τὸ δὲ ΔΒ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΓΒ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ, μετὰ δὲ ἀπὸ τῆς ΒΓ τετραγώνου.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ὑπὸ τῆς ὅλης καὶ ἑνὸς τῶν τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ δὴ τοῦ προειρημένου τμήματος τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

Prop. IV. Theor.

Si recta linea ſecetur utcunque, quadratum totius æquatur quadratis ſegmentorum & rectangulo bis comprehenſo ſub ſegmentis.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

Recta enim linea ΑΒ ſecta ſit utcunque in Γ: dico quadratum quod fit ex ΑΒ æquale eſſe & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis comprehenditur ſub ſegmentis ΑΓ, ΓΒ.

Deſcribatur enim [per 46. 1.] ex ΑΒ quadratum ΑΔΕΒ, jungaturque ΒΔ, & per Γ quidem alterutri ipſarum ΑΔ, ΒΕ [per 31. 1.] parallela ducatur ΓΗΖ, per Η vero alterutri ipſarum ΑΒ, ΔΕ ducatur parallela ΘΚ.



Et quoniam ΓΖ eſt parallela ipſi ΑΔ, & in ipſas incidit ΒΔ, erit exterior angulus ΒΗΓ [per 29. 1.] interiori & oppoſito ΑΔΒ æqualis. angulus autem ΑΔΒ [per 5. 1.] eſt æqualis angulo ΑΒΔ, quod & latus ΒΑ æquale eſt lateri ΑΔ: quare ΓΗΒ angulus angulo ΗΒΓ eſt æqualis: ac propterea latus ΒΓ [per 6. 1.] lateri ΓΗ æquale. ſed & latus ΓΒ æquale eſt [per 34. 1.] lateri ΗΚ, & ΓΗ ipſi ΒΚ: ergo & ΗΚ eſt æquale ΚΒ: & ΓΗΚΒ eſt æquilaterum. dico inſuper etiam rectangulum eſſe. quoniam enim ΓΗ eſt parallela ipſi ΒΚ, & in ipſas incidit ΓΒ; anguli ΚΒΓ, ΗΓΒ [per 29. 1.] duobus rectis ſunt æquales. rectus autem eſt [per 30. def. 1.] ΚΒΓ angulus: ergo & rectus ΗΓΒ: quare & anguli oppoſiti ΓΗΚ, ΗΚΒ [per 34. 1.] recti erunt: rectangulum igitur eſt ΓΗΚΒ. ſed oſtenſum fuit & æquilaterum eſſe: quadratum

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ ἐπεζεύχθω ἡ ΒΔ, καὶ διὰ μὲν τοῦ Γ ὁποτέρα τῶν ΑΔ, ΒΕ παράλληλος ἤχθω ἡ ΓΗΖ,* διὰ δὲ Η ὁποτέρα τῶν ΑΒ, ΔΕ παράλληλος ἤχθω ἡ ΘΚ.

Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΖ τῇ ΑΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΔ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΗΓ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΔΒ. ἀλλ' ἡ ὑπὸ ΑΔΒ τῇ ὑπὸ ΑΒΔ ἐστὶν ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΒΑ τῇ ΑΔ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΓΗΒ ἄρα γωνία τῇ ὑπὸ ΗΒΓ ἐστὶν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΒΓ πλευρᾷ τῇ ΓΗ ἐστὶν ἴση. ἀλλὰ καὶ ἡ ΓΒ τῇ ΗΚ ἐστὶν ἴση, ἡ δὲ ΓΗ τῇ ΒΚ, καὶ ἡ ΗΚ ἄρα τῇ ΚΒ ἐστὶν ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΗΚΒ. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΓΗ τῇ ΒΚ, καὶ εἰς αὐτὰς ἐνέπεσεν ἡ ΓΒ· αἱ ἄρα ὑπὸ ΚΒΓ, ΗΓΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΚΒΓ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΗΓΒ. ὥστε καὶ αἱ ἀπεναντίον, αἱ ὑπὸ ΓΗΚ, ΗΚΒ ὀρθαί εἰσιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΓΗΚΒ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τε-

* Videtur deeſſe ad ſenſum explendum, τέμνουσι τὴν ΒΔ καὶ τὸ Η σημεῖον. & ſic non raro in ſequentibus, quod ſemel admonuiſſe ſat eſto.

τράγωνον

τραγωνον ἄρα ἐστὶ, καὶ ἔστιν ἀπὸ τῆς ΒΓ. Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΘΖ τετράγωνόν ἐστι, καὶ ἔστιν ἀπὸ τῆς ΘΗ, τουτ' ἔστιν ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ΘΖ, ΓΚ τετράγωνα ἀπὸ τῶν ΑΓ, ΓΒ εἰσι. Ἐπεὶ ἴσον ἐστὶ τὸ ΑΗ τῷ ΗΕ, ἔστι δὲ καὶ τὸ ΑΗ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ, ἴση γὰρ ἡ ΗΓ τῇ ΓΒ· καὶ τὸ ΗΕ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα ΑΗ, ΗΕ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἔστι δὲ καὶ τὰ ΘΖ, ΓΚ τετράγωνα ἀπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα τέσσαρα τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ. ἀλλὰ τὰ ΘΖ, ΓΚ, ΑΗ, ΗΕ ὅλον ἐστὶ τὸ ΑΔΕΒ, ὃ ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον· τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ. ὅπερ ἔδει δεῖξαι.

ΕΤΕΡΑ ΔΕΙΞΙΣ.

Λέγω ὅτι τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπὶ γὰρ τῆς αὐτῆς καταγραφῆς ἐπεὶ ἴση ἐστὶν ἡ ΒΑ τῇ ΑΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΒΔ τῇ ὑπὸ ΑΔΒ· καὶ ἐπεὶ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν· καὶ τριγώνου ἄρα τοῦ ΑΒΔ αἱ τρεῖς γωνίαι, αἱ ὑπὸ ΑΒΔ, ΑΔΒ, ΒΑΔ, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΔ, λοιπαὶ ἄρα αἱ ὑπὸ ΑΒΔ, ΑΔΒ μιᾷ ὀρθῇ ἴσαι εἰσί· καί εἰσιν ἴσαι, ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΒΔ, ΑΔΒ ἡμίσειά ἐστιν ὀρθῆς. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΓΗ, ἴση γάρ ἐστι τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ πρὸς τῷ Α, λοιπὴ ἄρα ἡ ὑπὸ ΓΗΒ ἡμίσειά ἐστιν ὀρθῆς· ἴση ἄρα ἡ ὑπὸ ΓΗΒ γωνία τῇ ὑπὸ ΓΒΗ, ὥστε καὶ πλευρὰ ἡ ΒΓ τῇ ΓΗ ἐστιν ἴση. ἀλλ' ἡ μὲν ΓΒ τῇ ΚΗ ἐστιν ἴση, ἡ δὲ ΓΗ τῇ ΒΚ· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΚ. ἔχει δὲ ὀρθὴν τὴν ὑπὸ ΓΒΚ γωνίαν· τετράγωνον ἄρα ἐστὶ τὸ ΓΚ, καὶ ἔστιν ἀπὸ τῆς ΓΒ. Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΘΖ τετράγωνόν ἐστι, καὶ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὰ ἄρα ΓΚ, ΘΖ τετράγωνά ἐστι, καὶ ἔστιν ἴσα τοῖς ἀπὸ τῶν ΑΓ, ΓΒ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΑΗ τῷ ΕΗ, καὶ ἔστι τὸ ΑΗ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ, ἴση γὰρ ἡ ΓΗ τῇ ΓΒ, καὶ τὸ ΕΗ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα ΑΗ, ΗΕ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἔστι δὲ καὶ τὰ ΓΚ, ΘΖ ἴσα τοῖς ἀπὸ τῶν ΑΓ, ΓΒ· τὰ ἄρα ΓΚ, ΘΖ, ΑΗ, ΗΕ ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. ἀλλὰ τὰ ΓΚ, ΘΖ καὶ τὰ ΑΗ, ΗΕ ὅλον ἐστὶ τὸ ΑΕ, ὃ ἐστιν ἀπὸ τῆς ΑΒ τετράγωνον·

Τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ περιεχομένῳ ὀρθογωνίῳ. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτων φανερόν ἐστιν, ὅτι ἐν τοῖς τετραγώνοις χωρίοις τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα τετράγωνά ἐστιν.

igitur est, & est ex ΒΓ. eadem ratione & ΘΖ est quadratum, & est ex ΘΗ, hoc est ex ΑΓ: ergo ΘΖ, ΓΚ ex ipsis ΑΓ, ΓΒ quadrata sunt. & quoniam rectangulum ΑΗ [per 43. 1.] est æquale rectangulo ΗΕ, atque est ΑΗ quod sub rectis ΑΓ, ΓΒ continetur, est enim ΗΓ ipsi ΓΒ æqualis: erit & ΗΕ æquale ei quod continetur sub ΑΓ, ΓΒ: quare rectangula ΑΗ, ΗΕ æqualia sunt ei quod bis continetur sub rectis ΑΓ, ΓΒ. sunt autem & ΘΖ, ΓΚ quadrata ex ΑΓ, ΓΒ: quatuor igitur ΘΖ, ΓΚ, ΑΗ, ΗΕ sunt æqualia & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis continetur sub rectis ΑΓ, ΓΒ. sed ΘΖ, ΓΚ, ΑΗ, ΗΕ sunt totum ΑΔΕΒ, quod est quadratum ex ΑΒ: quadratum igitur ex ΑΒ æquale est & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis continetur sub rectis ΑΓ, ΓΒ.

Quare si recta linea secetur utcunque, quadratum totius æquatur quadratis segmentorum & rectangulo bis comprehenso sub segmentis. quod erat demonstrandum.

ALITER.

Dico quadratum ex ΑΒ æquale esse & quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis sub ΑΓ, ΓΒ continetur.

Quoniam enim, in eadem figura, æqualis est ΒΑ ipsi ΑΔ, & angulus ΑΒΔ [per 5. 1.] angulo ΑΔΒ æqualis erit: & cum [per 32. 1.] omnis trianguli tres anguli duobus rectis sint æquales, erunt trianguli ΑΒΔ tres anguli ΑΒΔ, ΑΔΒ, ΒΑΔ æquales duobus rectis. rectus autem est angulus ΒΑΔ; ergo reliqui ΑΒΔ, ΑΔΒ sunt uni recto æquales: & sunt æquales inter se; uterque igitur ipsorum ΑΒΔ, ΑΔΒ est recti dimidius. sed rectus est ΒΓΗ, æqualis namque est angulo interiori & opposito qui ad Α, reliquus igitur ΓΗΒ dimidius est recti: ac propterea ΓΗΒ angulus angulo ΓΒΗ est æqualis, & latus ΒΓ [per 6. 1.] æquale lateri ΓΗ. sed ΓΒ [per 34. 1.] est æqualis ΚΗ, & ΓΗ ipsi ΒΚ; æquilaterum igitur est ΓΚ. habet autem rectum angulum ΓΒΚ: igitur est quadratum, & fit ex ΓΒ. eadem ratione & ΘΖ quadratum est, & æquale quadrato quod ex ΑΓ: quadrata igitur sunt ΓΚ, ΘΖ, & quadratis ex ΑΓ, ΓΒ æqualia. rursus quoniam [per 43. 1.] rectangulum ΑΗ est æquale ipsi ΕΗ, atque est ΑΗ id quod sub rectis ΑΓ, ΓΒ continetur, est enim ΓΗ ipsi ΓΒ æqualis: erit & ΕΗ æquale contento sub rectis ΑΓ, ΓΒ: quare ΑΗ, ΗΕ æqualia sunt ei quod bis continetur sub rectis ΑΓ, ΓΒ. sunt autem & ΓΚ, ΘΖ æqualia quadratis ex ΑΓ, ΓΒ: ergo ΓΚ, ΘΖ, ΑΗ, ΗΕ æqualia sunt & quadratis ex ΑΓ, ΓΒ & ei quod bis continetur sub rectis ΑΓ, ΓΒ. sed ΓΚ, ΘΖ & ΑΗ, ΗΕ sunt totum ΑΕ, quod est quadratum ex ΑΒ:

Quadratum igitur ex ΑΒ est æquale quadratis ex ΑΓ, ΓΒ & ei rectangulo quod bis continetur sub rectis ΑΓ, ΓΒ. quod erat demonstrandum.

Corollarium.

Ex his manifestum est, in quadratis parallelogramma quæ sunt circa diametrum esse quadrata.

Prop. V. Theor.

Si recta linea ſecetur in æqualia & inæqualia, rectangulum ſub inæqualibus totius ſegmentis comprehenſum una cum quadrato rectæ inter puncta ſectionum æquatur quadrato dimidiæ.

REcta enim linea quæcunque AB ſecta ſit in partes æquales ad punctum Γ, & in partes inæquales ad Δ: dico rectangulum comprehenſum ſub rectis AΔ, ΔB una cum quadrato quod fit ex ΓΔ æquale eſſe ei quod fit ex ΓB quadrato.

Deſcribatur enim [per 46. 1.] ex BΓ quadratum ΓEZB, jungaturque BE; & per Δ quidem alterutri ipſarum ΓE, BZ [per 31. 1.] parallela ducatur ΔΘH, per Θ vero ducatur KΛM parallela alterutri ipſarum ΓB, EZ: & rurſus per A ducatur alterutri ΓΛ, BM parallela AK.



Et quoniam [per 43. 1.] ΓΘ complementum æquale eſt complemento ΘZ, commune addatur ΔM: totum igitur ΓM toti ΔZ eſt æquale. ſed ΓM [per 36. 1.] eſt æquale AΛ, quoniam AΓ æquatur ipſi ΓB: ergo & AΛ æquale eſt ΔZ. commune addatur ΓΘ: totum igitur AΘ ipſis ΔZ, ΔΛ æquale erit. ſed AΘ quidem eſt quod ſub rectis AΔ, ΔB continetur, eſt enim ΔΘ ipſi ΔB æqualis; ZΔ, ΔΛ vero eſt gnomon NΞO: gnomon igitur NΞO æqualis eſt ei quod ſub rectis AΔ, ΔB continetur. commune addatur ΛH, quod æquale eſt [per cor. 4. 2.] quadrato ex ΓΔ: ergo NΞO gnomon & ΛH æqualia ſunt rectangulo quod continetur ſub rectis AΔ, ΔB & ei quod fit ex ΓΔ quadrato. ſed NΞO gnomon & ΛH ſunt totum quadratum ΓEZB, quod quidem fit ex ΓB: ergo rectangulum ſub AΔ, ΔB una cum quadrato quod ex ΓΔ æquale eſt ei quod ex ΓB quadrato.

Si igitur recta linea ſecetur in æqualia & inæqualia, rectangulum ſub inæqualibus totius ſegmentis comprehenſum una cum quadrato rectæ inter puncta ſectionum æquatur quadrato dimidiæ. quod erat demonſtrandum.

Prop. VI. Theor.

Si recta linea ſecetur bifariam & illi recta quæcunque linea in directum adjiciatur, rectangulum comprehenſum ſub compoſita ex tota cum adjecta

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὑπὸ τῶν ἀνίσων τοῦ ὅλης τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τετραγώνῳ.

Εὐθεῖα γάρ τις ἡ AB τετμήσθω εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Δ· λέγω ὅτι τὸ ὑπὸ τῶν AΔ, ΔB περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓB τετραγώνῳ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς BΓ τετράγωνον τὸ ΓEZB, καὶ ἐπεζεύχθω ἡ BE· καὶ διὰ μὲν τοῦ Δ ὁποτέρα τῶν ΓE, BZ παράλληλος ἤχθω ἡ ΔΘH, διὰ δὲ τοῦ Θ ὁποτέρα τῶν ΓB, EZ παράλληλος ἤχθω πάλιν ἡ KΛM· καὶ πάλιν διὰ τοῦ A ὁποτέρα τῶν ΓΛ, BM παράλληλος ἤχθω ἡ AK.

Καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΓΘ παραλληλόγραμμα τῷ ΘZ παραλληλογράμμῳ, κοινὸν προσκείσθω τὸ ΔM· ὅλον ἄρα τὸ ΓM ὅλῳ τῷ ΔZ ἴσον ἐστίν. ἀλλὰ τὸ ΓM τῷ AΛ ἴσον ἐστίν, ἐπεὶ καὶ ἡ AΓ τῇ ΓB ἴση ἐστί· καὶ τὸ AΛ ἄρα τῷ ΔZ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΓΘ· ὅλον ἄρα τὸ AΘ τῷ ΔZ καὶ ΔΛ ἴσον ἐστί. ἀλλὰ τὸ μὲν AΘ τὸ ὑπὸ τῶν AΔ, ΔB ἐστίν, ἴση γὰρ ἡ ΔΘ τῇ ΔB· τὸ δὲ ZΔ, ΔΛ ἐστὶν ὁ NΞO γνώμων· καὶ ὁ NΞO ἄρα γνώμων ἴσος ἐστὶ τῷ ὑπὸ AΔ, ΔB. κοινὸν προσκείσθω τὸ ΛH, ὅ ἐστιν ἴσον τῷ ἀπὸ τῆς ΓΔ· ὁ ἄρα NΞO γνώμων καὶ τὸ ΛH ἴσον ἐστὶ τῷ ὑπὸ τῶν AΔ, ΔB περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ. ἀλλὰ ὁ NΞO γνώμων καὶ τὸ ΛH ὅλον ἐστὶ τὸ ΓEZB τετράγωνον, ὅ ἐστιν ἀπὸ τῆς ΓB· τὸ ἄρα ὑπὸ τῶν AΔ, ΔB περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓB τετραγώνῳ.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἴσα καὶ ἄνισα, τὸ ὑπὸ τῶν ἀνίσων τῆς ὅλης τμημάτων περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς μεταξὺ τῶν τομῶν τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τετραγώνῳ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ δίχα, προστεθῇ δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας· τὸ ὑπὸ τῆς ὅλης σὺν τῇ προσκειμένῃ καὶ τῆς προσκειμένης περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ἡμισείας

στείας πετραγώνῳ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς συγκειμένης ἐκ τῆς ἡμισείας καὶ τῆς προσκειμένης ὡς ἀπὸ μιᾶς ἀναγραφέντι τετραγώνῳ.

& adjecta una cum quadrato dimidiæ æquatur quadrato compositæ ex dimidia & adjecta tanquam una linea.

Εὐθεῖα γάρ τις ἡ ΑΒ τετμήσθω δίχα κατὰ τὸ Γ σημεῖον, προσκείσθω δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας ἡ ΒΔ· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΓΒ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ.

Recta enim linea quæcunque AB secetur bifariam in puncto Γ, adjiciaturque ipsi in directum recta quæcunque BΔ: dico rectangulum sub AΔ, ΔB una cum quadrato à ΓB æquale esse ei quod fit ex ΓΔ quadrato.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΓΔ τετράγωνον τὸ ΓΕΖΔ, καὶ ἐπεζεύχθω ἡ ΔΕ, καὶ διὰ μὲν τοῦ Β σημείου ὁπτέρα τῶν ΓΕ, ΔΖ παράλληλος ἤχθω ἡ ΒΘΗ· διὰ δὲ τοῦ Θ σημείου ὁπτέρα τῶν ΑΔ, ΕΖ παράλληλος ἤχθω ἡ ΚΛΜ· καὶ ἔτι διὰ τοῦ Α ὁπτέρα τῶν ΓΛ, ΔΜ παράλληλος ἤχθω ἡ ΑΚ.

Describatur enim [per 46. 1.] ex ΓΔ quadratum ΓΕΖΔ, & jungatur ΔΕ; perque B [per 31. 1.] alterutri ipsarum ΓΕ, ΔΖ parallela ducatur BΘH: & per Θ ducatur KΛM parallela alterutri ipsarum AΔ, EZ: & adhuc per A alterutri ΓΛ, ΔM parallela AK.



Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ἴση ἐστὶν ἡ Ε Α τῇ Ε Β, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ Ε Α Ζ τῇ ὑπὸ Ε Β Ζ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ Α Ζ Ε ὀρθῇ τῇ ὑπὸ Β Ζ Ε ἴση· δύο ἄρα τρίγωνά ἐστι τὰ Ε Α Ζ, Ε Β Ζ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, κοινὴν αὐτῶν τὴν Ε Ζ, ὑποτείνουσαν

πάντων ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα ταῖς λοιπαῖς ταῖς λοιπαῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΑΖ τῇ ΒΖ.

Ἐὰν ἄρα ἐν κύκλῳ εὐθεῖά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· καὶ ἐὰν πρὸς ὀρθὰς τέμνῃ, καὶ δίχα αὐτὴν τεμεῖ. ὅπερ ἔδει δεῖξαι.

licet utrique, quod uni angulorum æqualium ſubtenditur: ergo & reliqua latera reliquis lateribus [per 26. 1.] æqualia habebunt; æqualis igitur eſt ΑΖ ipſi ΒΖ.

Si igitur in circulo recta linea per centrum ducta rectam lineam non ductam per centrum bifariam ſecet, & ad angulos rectos ipſam ſecabit: & ſi ad angulos rectos ipſam ſecet, & bifariam ſecabit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ διὰ τοῦ κέντρου οὖσαι· οὐ τέμνουσιν ἀλλήλας δίχα.

Prop. IV. Theor.

Si in circulo duæ rectæ lineæ, non ductæ per centrum, ſe invicem ſecent; ſeſe bifariam non ſecabunt.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε, μὴ διὰ τοῦ κέντρου οὖσαι· λέγω ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.

SIT circulus ΑΒΓΔ; & in ipſo duæ rectæ lineæ ΑΓ, ΒΔ, non ductæ per centrum, ſe invicem ſecent in puncto Ε: dico eas ſeſe bifariam non ſecare.

Εἰ γὰρ δυνατόν, τεμνέτωσαν ἀλλήλας δίχα, ὥστε ἴσον εἶναι τὸ μὲν ΑΕ τῇ ΕΓ, τὸ δὲ ΒΕ τῇ ΕΔ· καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ κύκλου, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΕ.

Si enim fieri poteſt, ſecent ſeſe bifariam, ita ut ΑΕ ſit æqualis ΕΓ, & ΒΕ ipſi ΕΔ: ſumaturque [per 1. 3.] centrum circuli ΑΒΓΔ, & ſit Ζ, jungaturque ΖΕ.



Ἐπεὶ οὖν εὐθεῖά τις ἡ ΖΕ εὐθεῖάν τινα τὴν ΒΔ μὴ διὰ τοῦ κέντρου ἡγμένην τὴν ΑΓ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΕΑ. πάλιν, ἐπεὶ εὐθεῖά τις ἡ ΖΕ εὐθεῖάν τινα τὴν ΒΔ μὴ διὰ τοῦ κέντρου δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τεμεῖ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΖΕΒ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΕΑ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ΖΕΑ τῇ ὑπὸ ΖΕΒ, ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα αἱ ΑΓ, ΒΔ τέμνουσιν ἀλλήλας δίχα.

Quoniam igitur recta linea ΖΕ per centrum ducta rectam lineam ΑΓ non ductam per centrum bifariam ſecat, [per 3. 3.] & ad rectos angulos ipſam ſecabit: quare rectus eſt ΖΕΑ angulus. rurſus, quoniam recta linea ΖΕ rectam lineam ΒΔ non ductam per centrum bifariam ſecat, & ad angulos rectos ipſam ſecabit: rectus igitur angulus eſt ΖΕΒ. oſtenſus autem eſt rectus & ΖΕΑ: ergo ΖΕΑ angulus ipſi ΖΕΒ æqualis erit, minor majori, quod fieri non poteſt. non igitur ΑΓ, ΒΔ ſeſe bifariam ſecant.

Ἐὰν ἄρα ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ διὰ τοῦ κέντρου οὖσαι· οὐ τέμνουσιν ἀλλήλας δίχα. ὅπερ ἔδει δεῖξαι.

Quare ſi in circulo duæ rectæ lineæ, non ductæ per centrum, ſe invicem ſecent; ſeſe bifariam non ſecabunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Prop. V. Theor.

Si duo circuli ſe invicem ſecent, non erit ipſorum idem centrum.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΗ τεμνέτωσαν ἀλλήλους κατὰ τὰ Β, Γ σημεῖα· λέγω ὅτι οὐκ ἔστιν αὐτῶν τὸ αὐτὸ κέντρον.

DUO enim circuli ΑΒΓ, ΓΔΗ ſe invicem ſecent in punctis Β, Γ: dico ipſorum idem centrum non eſſe.



Εἰ γὰρ δυνατόν, ἔστω τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΓ, καὶ διήχθω ἡ ΕΖΗ ὡς ἔτυχε.

Si enim fieri poteſt, ſit illud Ε, jungaturque ΕΓ, & ΕΖΗ utcunque ducatur.

Καὶ ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΖ. πάλιν, ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΗ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΗ. ἐδείχθη δὲ καὶ ἡ ΕΓ τῇ ΕΖ ἴση· καὶ ἡ ΕΖ ἄρα τῇ ΕΗ ἴση ἐστίν, ἡ ἐλάσσων τῇ μείζονι, ὅπερ ἀδύνατον.

Et quoniam Ε centrum eſt circuli ΑΒΓ, erit ΕΓ [per 15. def. 1.] ipſi ΕΖ æqualis. rurſus, quoniam Ε centrum eſt ΓΔΗ circuli, æqualis eſt ΕΓ ipſi ΕΗ. ſed oſtenſa eſt ΕΓ æqualis ΕΖ: ergo ΕΖ ipſi ΕΗ æqualis erit, minor majori, quod fieri non

poteſt. non eſt igitur punctum E centrum circulorum ABΓ, ΓΔH.

Quare ſi duo circuli ſe invicem ſecent, non erit ipſorum idem centrum. quod erat demonſtrandum.

PROP. VI. THEOR.

Si duo circuli ſeſe intra contingant, ipſorum idem centrum non erit.

DUO enim circuli ABΓ, ΓΔE ſeſe intra contingant in puncto Γ: dico ipſorum non eſſe idem centrum.

Si enim fieri poteſt, ſit Z, jungaturque ZΓ, & ducatur utcunque ZEB.



Quoniam igitur Z centrum eſt circuli ABΓ, æqualis eſt ZΓ ipſi ZB. rurſus, quoniam Z centrum eſt circuli ΓΔE, erit ZΓ æqualis ZE. oſtenſa autem eſt ZΓ æqualis ZB: ergo & ZE ipſi ZB eſt æqualis, minor majori, quod fieri non poteſt. non eſt igitur Z punctum centrum circulorum ABΓ, ΓΔE.

Quare ſi duo circuli ſeſe intra contingant, ipſorum idem centrum non erit. quod erat demonſtrandum.

PROP. VII. THEOR.

Si in circuli diametro aliquod punctum ſumatur quod non ſit centrum circuli, & ab eo in circulum cadant quædam rectæ lineæ; maxima quidem erit in qua centrum, reliqua vero minima: aliarum autem, ſemper propinquior ei quæ per centrum major eſt remotiore; duæque tantum æquales ab eodem puncto in circulum cadent, ex utraque parte minimæ.

SIT circulus ABΓΔ, ejus autem diameter ſit AΔ, & in ipſa AΔ ſumatur aliquod punctum Z quod non ſit centrum circuli, ſit autem circuli centrum E, & à puncto Z in circulum ABΓΔ cadant rectæ lineæ ZB, ZΓ, ZH: dico ZA maximam eſſe, ZΔ vero minimam; aliarum autem, ZB quidem majorem quam ZΓ, & ZΓ quam ZH.

Jungantur enim BE, ΓE, HE.

Et quoniam omnis trianguli duo latera [per 20. 1.] reliquo ſunt majora, erunt EB, EZ majores quam BZ. eſt autem AE æqualis BE, ergo BE, EZ ipſi AZ ſunt æquales: major igitur eſt AZ quam BZ. rurſus, quoniam BE eſt æqualis ΓE, communis autem ZE, duæ BE, EZ duabus ΓE, EZ ſunt æquales. ſed BEZ

ὐκ ἄρα τὸ E σημεῖον κέντρον ἐστὶ τῶν ABΓ, ΓΔH κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Δύο γὰρ κύκλοι οἱ ABΓ, ΓΔE ἐφαπτέσθωσαν ἀλλήλων κατὰ τὸ Γ σημεῖον· λέγω ὅτι οὐκ ἔστιν αὐτῶν τὸ αὐτὸ κέντρον.

Εἰ γὰρ δυνατὸν, ἔστω τὸ Z, καὶ ἐπεζεύχθω ἡ ZΓ, καὶ διήχθω ὡς ἔτυχεν ἡ ZEB.

Ἐπεὶ οὖν τὸ Z σημεῖον κέντρον ἐστὶ τοῦ ABΓ κύκλου, ἴση ἐστὶν ἡ ZΓ τῇ ZB. πάλιν, ἐπεὶ τὸ Z σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔE κύκλου, ἴση ἐστὶν ἡ ZΓ τῇ ZE. ἐδείχθη δὲ καὶ ἡ ZΓ τῇ ZB ἴση· καὶ ἡ ZE ἄρα τῇ ZB ἴση ἐστὶν, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα τὸ Z σημεῖον κέντρον ἐστὶ τῶν ABΓ, ΓΔE κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν κύκλου ὁποιονοῦν ληφθῇ τι σημεῖον ὃ μή ἐστι κέντρον τοῦ κύκλου, ἀπὸ δὲ τοῦ σημείου προσπίπτωσιν εὐθεῖαί τινες πρὸς τὸν κύκλον· μεγίστη μὲν ἔσται ἐφ' ἧς τὸ κέντρον, ἐλαχίστη δὲ ἡ λοιπή· τῶν δ' ἄλλων, ἀεὶ ἡ ἐγγίον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστί· δύο δὲ μόνον εὐθεῖαι ἴσαι ἀπὸ τοῦ αὐτοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον, ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

Ἔστω κύκλος ὁ ABΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ AΔ, καὶ ἐπὶ τῆς AΔ εἰλήφθω τι σημεῖον τὸ Z, ὃ μὴ ἔστι κέντρον τοῦ κύκλου, κέντρον δὲ τοῦ κύκλου ἔστω τὸ E, καὶ ἀπὸ τοῦ Z πρὸς τὸν ABΓΔ κύκλον προσπιπτέτωσαν εὐθεῖαί τινες αἱ ZB, ZΓ, ZH· λέγω ὅτι μεγίστη μὲν ἐστιν ἡ ZA, ἐλαχίστη δὲ ἡ ZΔ· τῶν δὲ ἄλλων, ἡ μὲν ZB τῆς ZΓ μείζων, ἡ δὲ ZΓ τῆς ZH.

Ἐπεζεύχθωσαν γὰρ αἱ BE, ΓE, HE.

Καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, αἱ ἄρα EB, EZ τῆς BZ μείζονές εἰσιν. ἴση δὲ ἡ AE τῇ BE, αἱ ἄρα BE, EZ ἴσαι εἰσὶ τῇ AZ· μείζων ἄρα ἡ AZ τῆς BZ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ BE τῇ ΓE, κοινὴ προσκείσθω ἡ ZE, δύο δὴ αἱ BE, EZ δυσὶ ταῖς ΓE, EZ ἴσαι εἰσίν. ἀλλὰ καὶ γωνία ἡ

ὑπὸ

ὑπὸ ΒΕΖ γωνίας τῆς ὑπὸ ΓΕΖ μείζων· βάσις ἄρα ἡ ΒΖ βάσεως τῆς ΓΖ μείζων ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΖ τῆς ΖΗ μείζων.

ΠΑΛΙΝ, ἐπεὶ αἱ ΗΖ, ΖΕ τῆς ΕΗ μείζονές εἰσιν, ἴση δὲ ἡ ΕΗ τῇ ΕΔ· αἱ ἄρα ΗΖ, ΖΕ τῆς ΒΔ μείζονές εἰσι. κοινὴ ἀφῃρήσθω ἡ ΕΖ· λοιπὴ ἄρα ἡ ΗΖ λοιπῆς τῆς ΖΔ μείζων ἐστί. μεγίστη μὲν ἄρα ἡ ΖΑ, ἐλαχίστη δὲ ἡ ΖΔ· μείζων δὲ ἡ μὲν ΖΒ τῆς ΖΓ, ἡ δὲ ΖΓ τῆς ΖΗ.

ΛΕΓΩ ὅτι [illegible] σημεῖα δύο μόνον ἴσαι [illegible] ἐστὶν ἀπὸ τοῦ σημείου πρὸς τὴν ΑΒΓΔ κύκλου, ἐφ' ἑκάτερα τῆς ΖΔ ἐλαχίστης [illegible] ἐξάτω γὰρ πρὸς τῇ ΕΖ [illegible] τῷ πρὸς αὐτῇ [illegible] ἡ ὑπὸ ΗΕΖ γωνία [illegible] ΖΕΘ, καὶ ἐπεζεύχθω [illegible] ἴση ἐστὶν ἡ ΗΕ τῇ ΕΘ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΗΕ ΕΖ [illegible] ΘΕ, ΕΖ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΘΕΖ ἴση· βάσις ἄρα ἡ ΖΗ βάσει τῇ ΖΘ ἴση ἐστίν. λέγω δὴ ὅτι καὶ ἄλλη ἴση ἀπὸ τοῦ σημείου πρὸς τὸν κύκλον οὐκ ἔστιν. εἰ γὰρ δυνατόν, προσπιπτέτω ἡ ΖΚ. καὶ ἐπεὶ ἡ ΖΚ τῇ ΖΗ ἴση ἐστίν, ἀλλὰ καὶ ἡ ΖΘ τῇ ΖΗ ἴση ἐστί· καὶ ἡ ΖΚ ἄρα τῇ ΖΘ ἴση ἐστίν, ἡ ἐγγὺς τῆς ἀπὸ τοῦ κέντρου τῇ ἀπώτερον ἴση, ὅπερ ἀδύνατον.



Η ΚΑΙ ΟΥΤΩΣ. ἐπεζεύχθω ἡ ΕΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΕ τῇ ΕΚ, κοινὴ δὲ ἡ ΖΕ, καὶ βάσις ἡ ΗΖ βάσει τῇ ΖΚ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΚΕΖ ἴση ἐστίν. ἀλλὰ ἡ ὑπὸ ΗΕΖ γωνία τῇ ὑπὸ ΘΕΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΘΕΖ ἄρα τῇ ὑπὸ ΚΕΖ ἐστιν ἴση, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐπὶ τὸ Ζ σημεῖον ἑτέρα τις προσπεσεῖται πρὸς τὸν κύκλον ἴση τῇ ΗΖ· μία ἄρα μόνη.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

angulus major est angulo ΓΕΖ: basis igitur ΒΖ [per 24. 1.] basi ΓΖ est major. eadem ratione & ΓΖ major est quam ΖΗ.

Rursus, quoniam ΗΖ, ΖΕ majores sunt quam ΕΗ, æqualis autem ΕΗ ipsi ΕΔ: erunt ΗΖ, ΖΕ majores quam ΕΔ. communis auferatur ΕΖ: ergo reliqua ΗΖ major est quam reliqua ΖΔ. maxima igitur est ΖΑ, & ΖΔ minima: major vero ΖΒ quam ΖΓ, & ΖΓ quam ΖΗ.

Dico etiam à puncto Ζ duas tantum æquales rectas cadere in circulum ΑΒΓΔ, ex utraque parte minimæ ΖΔ. constituatur enim [per 23. 1.] ad lineam ΕΖ, atque ad datum in ea punctum Ε, angulo ΗΕΖ æqualis angulus ΖΕΘ, & ducatur ΖΘ. quoniam igitur ΗΕ est æqualis ΕΘ, communis autem ΕΖ, duæ ΗΕ, ΕΖ duabus ΘΕ, ΕΖ sunt æquales, & angulus ΗΕΖ [per constr.] æqualis angulo ΘΕΖ: basis igitur ΖΗ [per 4. 1.] basi ΖΘ æqualis erit. dico à puncto Ζ in circulum non cadere aliam ipsi ΖΗ æqualem. si enim fieri potest, cadat ΖΚ. & quoniam ΖΚ est æqualis ΖΗ, estque ipsi ΖΗ æqualis ΖΘ: erit & ΖΚ ipsi ΖΘ æqualis, videlicet propinquior ei quæ per centrum æqualis remotiori, quod fieri non potest.

Vel hoc modo. jungatur ΕΚ. & quoniam ΗΕ ipsi ΕΚ est æqualis, communis autem ΖΕ, & basis ΗΖ æqualis basi ΖΚ; erit & angulus ΗΕΖ [per 8. 1.] æqualis angulo ΚΕΖ. sed angulus ΗΕΖ angulo ΘΕΖ est æqualis: angulus igitur ΘΕΖ ipsi ΚΕΖ æqualis erit, minor majori, quod fieri non potest. quare à puncto Ζ in circulum non cadet alia recta linea æqualis ipsi ΗΖ: ergo una tantum cadet.

Si igitur in circuli diametro aliquod punctum sumatur, & quæ sequuntur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαί τινες, ὧν μία μὲν διὰ τοῦ κέντρου, αἱ δὲ λοιπαὶ ὡς ἔτυχε· τῶν μὲν πρὸς τὸν κοίλην περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεγίστη μὲν ἡ διὰ τοῦ κέντρου· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγὺς τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν· τῶν δὲ πρὸς τὴν κυρτὴν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγὺς τῆς ἐλαχίστης τῆς ἀπώτερον ἐστιν ἐλάττων. δύο δὲ μόνον εὐθεῖαι ἴσαι προσπεσοῦνται ἀπὸ τοῦ σημείου πρὸς τὸν κύκλον, ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

PROP. VIII. THEOR.

Si extra circulum aliquod punctum sumatur, atque ab eo ad circulum ducantur quædam rectæ lineæ, quarum una per centrum transeat, reliquæ vero utcunque. earum quidem, quæ in concavam circumferentiam cadunt, maxima est quæ per centrum transit: aliarum autem, semper propinquior ei quæ per centrum major est remotiore: earum vero, quæ in convexam circumferentiam cadunt, minima est quæ inter punctum & diametrum interjicitur: aliarum autem, semper quæ propinquior minimæ minor est remotiore: duæque tantum æquales à puncto in circulum cadunt, ex utraque parte minimæ.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ ἀπὸ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπ' αὐτοῦ διήχθωσαν

SIT circulus ΑΒΓ, & extra circulum sumatur aliquod punctum Δ, ab eo autem in

circulum ducantur rectæ lineæ ΔA, ΔE, ΔZ, ΔΓ, ſitque ΔA per centrum: dico earum quidem, quæ in AEZΓ concavam circumferentiam cadunt, maximam eſſe ΔA, quæ per centrum tranſit; & quæ propinquior eſt ei quæ per centrum ſemper erit major remotiore, videlicet ΔE quam ΔZ, & ΔZ quam ΔΓ; earum vero, quæ in convexam circumferentiam ΘΛKH cadunt, minima eſt ΔH, quæ inter Δ & diametrum AH interjicitur; & quæ propinquior minimæ ſemper eſt minor remotiore, videlicet ΔK quam ΔΛ, & ΔΛ quam ΔΘ.

Sumatur enim [per 1. 3.] centrum circuli ABΓ, quod ſit M; junganturque ME, MZ, MΓ, MK, MΛ, MΘ.

Et quoniam AM eſt æqualis EM, communis addatur MΔ: ergo AΔ eſt æqualis ipſis EM, MΔ. ſed EM, MΔ [per 20. 1.] ſunt majores quam EΔ: ergo & AΔ quam EΔ eſt major. rurſus, quoniam æqualis eſt ME ipſi MZ, MΔ vero communis; erunt EM, MΔ ipſis MZ, MΔ æquales, & angulus EMΔ major eſt angulo ZMΔ: baſis igitur EΔ [per 24. 1.] baſi ZΔ major erit. ſimiliter demonſtrabimus & ZΔ majorem eſſe quam ΓΔ: ergo maxima eſt ΔA; major autem ΔE quam ΔZ, & ΔZ quam ΔΓ.



PRÆTEREA quoniam MK, KΔ [per 20. 1.] ſunt majores quam MΔ, & MH eſt æqualis MK, erit reliqua KΔ major reliqua HΔ: quare HΔ minor quam KΔ, & idcirco minima eſt. & quoniam ſuper trianguli MΛΔ uno latere MΔ duæ rectæ lineæ MK, KΔ intus conſtituuntur, erunt MK, KΔ [per 21. 1.] minores ipſis MΛ, ΛΔ, quarum MK eſt æqualis MΛ: reliqua igitur ΔK minor eſt quam reliqua ΔΛ. ſimiliter oſtendemus & ΔΛ quam ΔΘ minorem eſſe: eſt ergo ΔH minima, minor vero ΔK quam ΔΛ, & ΔΛ quam ΔΘ.

DICO etiam duas tantum æquales à puncto Δ in circulum cadere, ex utraque parte minimæ. conſtituatur [per 23. 1.] ad rectam lineam MΔ, & ad datum in ea punctum M, angulo KMΔ æqualis angulus ΔMB, & ΔB jungatur; itaque quoniam MK eſt æqualis MB, communis autem MΔ, duæ KM, MΔ duabus BM, MΔ æquales ſunt, utraque utrique; & angulus KMΔ æqualis angulo BMΔ: baſis igitur ΔK [per 4. 1.] baſi ΔB eſt æqualis. dico autem à puncto Δ nullam aliam ipſi ΔK æqualem in circulum cadere. ſi enim fieri poteſt, cadat ΔN, & quoniam ΔK eſt æqualis ΔN, & ΔB ipſi ΔK æqualis; erit & ΔB æqualis ΔN, propinquior ſcilicet minimæ æqualis remotiori, quod fieri non poſſe oſtenſum eſt.

εὐθεῖαι πίπτουσι πρὸς τὸν κύκλον αἱ ΔA, ΔE, ΔZ, ΔΓ, ἔστω δὲ ἡ ΔA διὰ τοῦ κέντρου· λέγω ὅτι μεγίστη μὲν ἐστὶ τῶν πρὸς τῷ AEZΓ κοίλῳ τῆς περιφερείας πεσουσῶν εὐθειῶν μεγίστη μὲν ἐστιν ἡ διὰ τοῦ κέντρου ἡ ΔA· ἀεὶ δὲ ἡ ἐγγίον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, ἡ μὲν ΔE τῆς ΔZ, ἡ δὲ ΔZ τῆς ΔΓ· τῶν δὲ πρὸς τῷ ΘΛKH κυρτῷ τῆς περιφερείας πεσουσῶν εὐθειῶν ἐλαχίστη μὲν ἡ ΔH, ἡ μεταξὺ τοῦ σημείου Δ καὶ τῆς διαμέτρου AH· ἀεὶ δὲ ἡ ἐγγίον τῆς ΔH ἐλαχίστης ἐλάττων ἐστὶ τοῦ ἀπώτερον, ἡ μὲν ΔK τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ABΓ κύκλου, καὶ ἔστω τὸ M· καὶ ἐπεζεύχθωσαν αἱ ME, MZ, MΓ, MK, MΛ, MΘ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AM τῇ EM, κοινὴ προσκείσθω ἡ MΔ· ἡ ἄρα AΔ ἴση ἐστὶ ταῖς EM, MΔ. ἀλλ' αἱ EM, MΔ τῆς EΔ μείζονές εἰσι· καὶ ἡ AΔ ἄρα τῆς EΔ μείζων ἐστί. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ME τῇ MZ, κοινὴ δὲ ἡ MΔ, αἱ EM, MΔ ἄρα ταῖς MZ, MΔ ἴσαι εἰσί, καὶ γωνία ἡ ὑπὸ EMΔ γωνίας τῆς ὑπὸ ZMΔ μείζων ἐστί· βάσις ἄρα ἡ EΔ βάσεως τῆς ZΔ μείζων ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ZΔ τῆς ΓΔ μείζων ἐστί· μεγίστη μὲν ἄρα ἡ ΔA, μείζων δὲ ἡ μὲν ΔE τῆς ΔZ, ἡ δὲ ΔZ τῆς ΔΓ.

ΚΑΙ ἐπεὶ αἱ MK, KΔ τῆς MΔ μείζονές εἰσιν, ἴση δὲ ἡ MH τῇ MK, λοιπὴ ἄρα ἡ KΔ λοιπῆς τῆς HΔ μείζων ἐστίν· ὥστε ἡ HΔ τῆς KΔ ἐλάσσων ἐστίν, ἐλαχίστη ἄρα ἐστί. καὶ ἐπεὶ τριγώνου τοῦ MΛΔ ἑνὸς τῶν πλευρῶν τῆς MΔ δύο εὐθεῖαι ἐντὸς συνεστάθησαν αἱ MK, KΔ, αἱ ἄρα MK, KΔ τῶν MΛ, ΛΔ ἐλάττονές εἰσιν, ὧν ἐστὶν ἴση ἡ MK τῇ MΛ· λοιπὴ ἄρα ἡ ΔK λοιπῆς τῆς ΔΛ ἐλάττων ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΔΛ τῆς ΔΘ ἐλάττων ἐστίν· ἐλαχίστη μὲν ἄρα ἡ ΔH, ἐλάττων δὲ ἡ μὲν ΔK τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

ΛΕΓΩ ὅτι καὶ δύο μόνον ἴσαι εὐθεῖαι ἀπὸ τοῦ Δ σημείου συμπεσοῦνται πρὸς τὸν κύκλον, ἐφ' ἑκάτερα τῆς ΔH ἐλαχίστης. συνεστάτω πρὸς τῇ MΔ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ M, τῇ ὑπὸ KMΔ γωνίᾳ ἴση γωνία ἡ ὑπὸ ΔMB, καὶ ἐπεζεύχθω ἡ ΔB. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ MK τῇ MB, κοινὴ δὲ ἡ MΔ, δύο δὴ αἱ KM, MΔ δυσὶ ταῖς BM, MΔ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ KMΔ γωνίᾳ τῇ ὑπὸ BMΔ ἴση ἐστί· βάσις ἄρα ἡ ΔK βάσει τῇ ΔB ἴση ἐστί. λέγω δὴ ὅτι τῇ ΔK εὐθείᾳ ἄλλη ἴση ἀπὸ τοῦ αὐτοῦ σημείου οὐ συμπεσεῖται πρὸς τὸν κύκλον ἐπὶ τὰ αὐτὰ μέρη. εἰ γὰρ δυνατὸν συμπιπτέτω, καὶ ἔστω ἡ ΔN. ἐπεὶ οὖν ἡ ΔK τῇ ΔN ἐστιν ἴση, ἀλλὰ ἡ ΔK τῇ ΔB ἐστιν ἴση· καὶ ἡ ΔB ἄρα τῇ ΔN ἴση ἐστίν, ἡ ἐγγὺς τῆς ΔH ἐλαχίστης τῇ ἀπώτερον ἐστιν ἴση, ὅπερ ἀδύνατον ἐδείχθη.

Η ΚΑΙ ΑΛΛΩΣ. ἐπεζεύχθω ἡ ΜΝ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΚΜ τῇ ΜΝ, κοινὴ δὲ ἡ ΜΔ, καὶ βάσις ἡ ΔΚ βάσει τῇ ΔΝ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΚΜΔ γωνίᾳ τῇ ὑπὸ ΔΜΝ ἴση ἐστίν. ἀλλ' ἡ ὑπὸ ΚΜΔ τῇ ὑπὸ ΒΜΔ ἴση ἐστί· καὶ ἡ ὑπὸ ΒΜΔ ἄρα τῇ ὑπὸ ΝΜΔ ἴση, ἡ ἐλάττονι τῇ μείζονι, ὅπερ ἔστιν ἀδύνατον. οὐκ ἄρα παλίν ἢ δύο εὐθεῖαι πρὸς τ ΑΒΓ κύκλον ἀπὸ τοῦ Δ σημείου ἐφ' ἑκάτερα τ ΗΔ ἐλαχίστης προσπεσοῦνται).

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐντὸς, ἀπ' αὐτοῦ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν πλείους ἢ δύο εὐθεῖαι ἴσαι, τὸ ληφθὲν σημεῖον κέντρον ἐστὶ τοῦ κύκλου.

Ἔστω κύκλος ὁ ΑΒΓ, ἐντὸς δὲ αὐτοῦ σημεῖον τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τ ΑΒΓ κύκλον προσπιπτέτωσαν πλείους ἢ δύο εὐθεῖαι ἴσαι, αἱ ΔΑ, ΔΒ, ΔΓ· λέγω ὅτι τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΒ, ΒΓ, καὶ τετμήσθωσαν δίχα κατὰ τὰ Ε, Ζ σημεῖα, καὶ διῃχθωσαν αἱ ΕΔ, ΔΖ διήχθωσαν δὲ τὰ Η, Κ, Θ, Λ σημεῖα.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, κοινὴ δὲ ἡ ΕΔ· δύο δὴ αἱ ΑΕ, ΕΔ δυσὶ ταῖς ΒΕ, ΕΔ ἴσαι εἰσί. καὶ βάσις ἡ ΔΑ βάσει τῇ ΔΒ ἴση ἐστί· γωνία ἄρα ἡ ὑπὸ ΑΕΔ γωνίᾳ τῇ ὑπὸ ΒΕΔ ἴση ἐστίν· ὀρθὴ ἄρα ἑκατέρα τ ὑπὸ ΑΕΔ, ΒΕΔ γωνιῶν· ἡ ΗΚ ἄρα τὴν ΑΒ δίχα τέμνουσα καὶ πρὸς ὀρθὰς τέμνει. καὶ ἐπεὶ, ἐὰν ἐν κύκλῳ τις εὐθεῖα εὐθεῖάν τινα δίχα τε καὶ πρὸς ὀρθὰς τέμνῃ, ἐπὶ τ τεμνούσης ἐστὶ τὸ κέντρον τοῦ κύκλου· ἐπὶ τ ΗΚ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. διὰ τὰ αὐτὰ δὴ καὶ ἐπὶ τ ΘΛ ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ. καὶ οὐδὲν ἕτερον κοινὸν ἔχουσιν αἱ ΗΚ, ΘΛ εὐθεῖαι, ἢ τὸ Δ σημεῖον· τὸ Δ ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.



Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐντὸς, καὶ τὰ ἑξῆς τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαι παλίν ἢ δύο ἴσαι, τὸ ληφθὲν σημεῖον κέντρον ἐστὶ τοῦ κύκλου. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐντὸς τὸ Δ, ἀπὸ δὲ τοῦ Δ πρὸς τ ΑΒΓ κύκλον προσπιπτέτωσαν πλείους ἢ δύο ἴσαι εὐθεῖαι, αἱ ΔΑ, ΔΒ, ΔΓ· λέγω ὅτι τὸ ληφθὲν σημεῖον τὸ Δ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω τὸ Ε, καὶ διῃχθω ἡ ΔΕ διήχθω ἐπὶ τὰ Ζ, Η σημεῖα, καὶ ἔστω ἡ ΖΗ διάμετρος ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ



VEL ALITER. jungatur MN. & quoniam æqualis est KM ipsi MN, communis autem MΔ, & basis ΔK basi ΔN æqualis: angulus KMΔ æqualis erit [per 8. 1.] angulo ΔMN. sed KMΔ angulus est æqualis angulo BMΔ: angulus igitur BMΔ angulo NMΔ æqualis erit, minor majori, quod fieri non potest. quare non plures quam duæ rectæ lineæ à puncto Δ in circulum ABΓ cadent, ex utraq; parte minimæ HΔ.

Si igitur extra circulum aliquod punctum sumatur, & quæ sequuntur. quod erat demonstrandum.

PROP. IX. THEOR.

Si intra circulum sumatur aliquod punctum, atque ab eo in circulum cadant plures quam duæ rectæ lineæ æquales, punctum quod sumitur erit centrum circuli.

SIT circulus ABΓ, & intra ipsum sumatur punctum Δ, à quo in circulum cadant plures quam duæ rectæ lineæ æquales, videlicet ΔA, ΔB, ΔΓ: dico punctum Δ centrum esse circuli ABΓ.

Jungantur enim AB, BΓ, secenturque bifariam [per 10. 1.] in punctis E, Z, & junctæ EΔ, ΔZ ad puncta H, K, Θ, Λ producantur.

Quoniam igitur AE est æqualis EB, communis autem EΔ: erunt duæ AE, EΔ duabus BE, EΔ æquales. & basis ΔA est æqualis basi ΔB: angulus igitur AEΔ angulo BEΔ [per 8. 1.] æqualis erit: & idcirco [per 10. def. 1.] uterque angulorum AEΔ, BEΔ est rectus: ergo HK bifariam secans AB, & ad angulos rectos ipsam secat. & quoniam, si in circulo recta linea rectam lineam bifariam & ad rectos angulos secet, circuli centrum est [per cor. 1. 3.] in secante: erit in HK centrum circuli ABΓ. eadem ratione & in ΘΛ erit centrum circuli ABΓ. nullum autem aliud commune habent rectæ lineæ HK, ΘΛ præter punctum Δ: est ergo Δ centrum circuli ABΓ.

Si igitur intra circulum sumatur aliquod punctum, atque ab eo in circulum cadant plures quam duæ rectæ lineæ æquales, punctum quod sumitur erit centrum circuli. quod erat demonstrandum.

ALITER.

Sumatur enim intra circulum ABΓ punctum aliquod Δ, atque à puncto Δ in circulum ABΓ cadant plures quam duæ rectæ lineæ æquales ΔA, ΔB, ΔΓ: dico assumptum punctum Δ centrum esse circuli ABΓ.

Si enim non sit, fieri si potest, sit E, & juncta ΔE producatur in Z, H: ergo ZH diameter est circuli ABΓ. itaque quoniam in

ZH diametro circuli ABΓ ſumptum eſt aliquod punctum Δ, quod non eſt centrum circuli; [per 7. 3.] maxima quidem erit ΔH, major autem ΔΓ quam ΔB, & ΔB quam ΔA. ſed & æquales, quod fieri non poteſt: non eſt igitur E centrum circuli ABΓ. ſimiliter oſtendemus neque aliud punctum centrum eſſe præter ipſum Δ: erit igitur Δ centrum circuli ABΓ.

PROP. X. THEOR.

Circulus circulum in pluribus quam duobus punctis non ſecat.

SI enim fieri poteſt, circulus ABΓ circulum ΔEZ ſecet in pluribus punctis quam duobus, videlicet in B, H, Θ, & junctæ BH, BΘ bifariam ſecentur in K, Λ, atque à punctis K, Λ ipſis BH, BΘ ad rectos angulos ductæ KΓ, ΛM in puncta A, E producantur.



Quoniam igitur in circulo ABΓ, recta linea AΓ rectam lineam BΘ bifariam & ad angulos rectos ſecat, in ipſa AΓ [per cor. 1. 3.] erit centrum circuli ABΓ. rurſus, quoniam in eodem circulo ABΓ recta linea NΞ rectam lineam BH bifariam ſecat & ad angulos rectos, in ipſa NΞ centrum erit circuli ABΓ. oſtenſum autem eſt & in ipſa AΓ centrum eſſe, & in nullo alio puncto conveniant inter ſe rectæ lineæ AΓ, NΞ, præterquam in O: eſt igitur O centrum circuli ABΓ. ſimiliter oſtendemus punctum O centrum eſſe circuli ΔEZ: ergo duorum circulorum ſeſe ſecantium ABΓ, ΔEZ idem erit centrum O, quod [per 5. 3.] fieri non poteſt.

Circulus igitur non ſecat circulum in pluribus punctis quam duobus, quod erat demonſtrandum.

ALITER.

Circulus enim ABΓ rurſus circulum ΔEZ ſecet in pluribus punctis quam duobus, nempe in B, H, Z, & circuli ABΓ centrum ſumatur quod ſit K, & KZ, KH, KB jungantur.



Quoniam igitur intra circulum ΔEZ ſumptum eſt punctum K, à quo in circulum ΔEZ incidunt plures quam duæ rectæ lineæ æquales, KB, [per 7. 3.] punctum K erit [per 9. 3.] centrum circuli ΔEZ. eſt autem K centrum circuli ABΓ: duorum igitur circulorum, qui ſeſe ſecant, erit idem centrum K, quod [per 5. 3.] fieri non poteſt.

Quare circulus circulum in pluribus quam duobus punctis non ſecat. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ι'.

Κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο.

Εἰ γὰρ δυνατὸν, κύκλος ὁ ΑΒΓ κύκλον τὸν ΔΕΖ τεμνέτω κατὰ πλείονα σημεῖα ἢ δύο, τὰ Β, Η, Θ, καὶ ἤχθωσαν αἱ ΒΗ, ΒΘ δίχα τετμημέναι κατὰ τὰ Κ, Λ σημεῖα. καὶ ἀπὸ τῶν Κ, Λ τῇ ΒΗ, ΒΘ πρὸς ὀρθὰς ἀχθεῖσαι αἱ ΚΓ, ΛΜ ἐπὶ τὰ Α, Ε διήχθωσαν σημεῖα.

Ἐπεὶ οὖν ἐν κύκλῳ τῷ ΑΒΓ εὐθεία τις ἡ ΑΓ εὐθεῖάν τινα τὴν ΒΘ δίχα τέμνει καὶ πρὸς ὀρθὰς, ἐπὶ τοῦ ΑΓ ἄρα ἐστὶ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου. πάλιν, ἐπεὶ ἐν κύκλῳ τῷ αὐτῷ τῷ ΑΒΓ εὐθεία τις ἡ ΝΞ εὐθεῖάν τινα τὴν ΒΗ δίχα καὶ πρὸς ὀρθὰς τέμνει, ἐπὶ τοῦ ΝΞ ἄρα τὸ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ἐδείχθη δὲ καὶ ἐπὶ τοῦ ΑΓ, καὶ κατ' οὐδὲν συμβάλλουσιν αἱ ΑΓ, ΝΞ εὐθεῖαι ἀλλήλαις ἢ κατὰ τὸ Ο· τὸ Ο ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τοῦ ΔΕΖ κύκλου κέντρον ἐστὶ τὸ Ο· δύο ἄρα κύκλων τεμνόντων ἀλλήλους, τῶν ΑΒΓ, ΔΕΖ, τὸ αὐτὸ ἐστὶ κέντρον τὸ Ο, ὅπερ ἐστὶν ἀδύνατον.

Οὐκ ἄρα κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Κύκλος γὰρ πάλιν ὁ ΑΒΓ κύκλον τὸν ΔΕΖ τεμνέτω κατὰ πλείονα σημεῖα ἢ δύο, τὰ Β, Η, Ζ, Ĉ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΖ, ΚΗ, ΚΒ.

Ἐπεὶ οὖν κύκλου τοῦ ΔΕΖ εἴληπταί τινα σημεῖα ἐντὸς, τὸ Κ, Ĉ ἀπὸ τοῦ Κ πρὸς τὸν ΔΕΖ κύκλον προσπεπτώκασι τρεῖς ἴσαι εὐθεῖαι, αἱ ΚΒ, ΚΖ, ΚΗ· τὸ Κ ἄρα σημεῖόν ἐστι κέντρον τοῦ ΔΕΖ κύκλου. ἔστι δὲ Ĉ τὸ ΑΒΓ κύκλου κέντρον τὸ Κ· δύο ἄρα κύκλων τεμνόντων ἀλλήλους τὸ αὐτὸ κέντρον ἐστὶ τὸ Κ, ὅπερ ἀδύνατον.

Οὐκ ἄρα κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ ια'.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, καὶ λη-φθῇ αὐτῶν τὰ κέντρα, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη ἐπὶ τὴν συναφὴν πεσεῖται τῶν κύκλων.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἁπτέσθωσαν ἀλλήλων ἐντὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κύκλου κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η. λέγω ὅτι ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη ἐπὶ τὸ Α σημεῖον πεσεῖται.

Μὴ γάρ, εἰ δυνατὸν, πιπτέτω ὡς ἡ ΖΗΑΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.



Ἐπεὶ οὖν αἱ ΑΗ, ΗΖ τῆς ΖΑ τυτέστι τῆς ΖΘ (ἴση γάρ ἐστι ἡ ΖΑ τῇ ΖΘ, ἀπὸ κέντρου γὰρ ἀμφω) μείζονές εἰσιν, κοινὴ ἀφῃρήσθω ἡ ΖΗ· λοιπὴ ἄρα ἡ ΑΗ λοιπῆς τῆς ΗΘ μείζων ἐστίν. ἴση δὲ ἡ ΑΗ τῇ ΗΔ· καὶ ἡ ΗΔ ἄρα τῆς ΗΘ μείζων ἐστὶν, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα ἐκπίπτει κατὰ τὸ Α συναφὴς πεσεῖται· ἐπ' αὐτῷ ἄρα.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐντὸς, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα καὶ ἐκβαλλομένη ἐπὶ τὴν συναφὴν πεσεῖται τῶν κύκλων. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Ἀλλὰ δὴ πιπτέτω ὡς ἡ ΗΖΓ, καὶ ἐπεζεύχθω ἐπ' εὐθείας ἡ ΓΖΗ ἐπὶ τὸ Θ σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΑΖ.

Ἐπεὶ οὖν αἱ ΑΗ, ΗΖ μείζονές εἰσι τῆς ΑΖ, ἀλλὰ ἡ ΑΖ τῇ ΓΖ, τουτέστιν ἐπὶ τῆς ΖΘ, κοινὴ ἀφῃρήσθω ἡ ΖΗ· λοιπὴ ἄρα ἡ ΑΗ λοιπῆς τῆς ΗΘ μείζων ἐστὶ, τουτέστιν ἡ ΗΔ τῆς ΗΘ, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ ἐστὶν ἀδύνατον. ὁμοίως δὴ ἐκπεσεῖται ἡ τοῦ μικροῦ τὸ κέντρον τοῦ μείζονος κύκλου, δείξομεν τὸ αὐτὸ ἄτοπον.

PROP. XI. THEOR.

Si duo circuli sese intus contingant, & sumantur centra ipsorum; recta linea ipsorum centra conjungens producta in circulorum contactum cadet.

DUO enim circuli ABΓ, AΔE sese intus contingant in puncto A, & sumatur circuli quidem ABΓ centrum, quod sit Z, circuli vero AΔE centrum H: dico rectam lineam à puncto H ad Z ductam, si producatur, in punctum A cadere.

Si enim non, fieri si potest, cadat ut ZHΔΘ, & jungantur AZ, AH.

Quoniam igitur AH, HZ majores sunt [per 20. 1.] quam ZA, hoc est quam ZΘ, (est enim ZA æqualis ZΘ, ambæ ab eodem centro) communis auferatur ZH, reliqua igitur AH major est quam reliqua HΘ. sed AH est æqualis HΔ: ergo HΔ major est ipsa HΘ, minor majore, quod fieri non potest. non igitur à puncto Z ad H ducta recta linea extra contactum A cadet: quare in ipsum cadat necesse est.

Si igitur duo circuli sese intus contingant, recta linea ipsorum centra conjungens, si producatur, in contactum circulorum cadet. quod erat demonstrandum.

ALITER.

Sed cadat ut HZΓ, & producatur in directum ΓZH ad punctum Θ, junganturque AH, AZ.

Quoniam igitur AH, HZ majores sunt quam AZ, & AZ est æqualis ΓZ, hoc est ipsi ZΘ, communis auferatur ZH: reliqua igitur AH reliqua HΘ est major; hoc est HΔ major ipsa HΘ, minor majore, quod fieri non potest. similiter & si extra circulum parvum sit centrum majoris circuli, idem sequi absurdum ostendemus.

Hæc demonstratio vix differt à priori, adeo ut videatur non esse Euclidis.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν δύο κύκλοι ἅπτωνται ἀλλήλων ἐκτὸς, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς ἁφῆς ἐλεύσεται.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἁπτέσθωσαν ἀλλήλων ἐκτὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κύκλου κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η· λέγω ὅτι ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα διὰ τοῦ κατὰ τὸ Α σημείου τῆς ἁφῆς ἐλεύσεται.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν, ἐρχέσθω ὡς αἱ ΖΓΔΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.

PROP. XII. THEOR.

Si duo circuli sese extra contingant, recta linea ipsorum centra conjungens per contactum transibit.

DUO enim circuli ABΓ, AΔE sese extra contingant in puncto A; & sumatur circuli quidem ABΓ centrum quod sit Z, circuli vero AΔE centrum H: dico rectam lineam, quæ à puncto Z ad H ducitur, per contactum A transire.

Si enim non, fieri si potest, cadat ut ZΓΔH; & AZ, AH jungantur.

Quoniam igitur Z centrum eſt circuli ABΓ, erit ZA æqualis ZΓ. rurſus, quoniam H centrum eſt AΔE circuli, erit AH ipſi HΔ æqualis. oſtenſa eſt autem & ZA æqualis ZΓ. ſunt igitur ZA, AH ipſis ZΓ, ΔH æquales: ergo tota ZH major eſt quam ZA, AH. ſed & [per 20. 1.] minor; quod fieri non poteſt. non igitur à puncto Z ad H ducta recta linea per contactum A non tranſibit: quare per ipſum tranſeat neceſſe eſt.



Si igitur duo circuli ſeſe extra contingant, recta linea ipſorum centra conjungens per contactum tranſibit. quod erat demonſtrandum.

Επὶ ἴσν τὸ Z σημεῖον κέντρον ἐσὶ τοῦ ΑΒΓ κύκλυ, ἴση ἐσὶν ἡ ΖΑ τῇ ΖΓ. πάλιν, ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐσὶ τοῦ ΑΔΕ κύκλυ, ἴση ἐσὶν ἡ ΑΗ τῇ ΗΔ. ἐδείχθη δὲ καὶ ἡ ΖΑ τῇ ΖΓ ἴση· αἱ ἄρα ΖΑ, ΑΗ τῇ ΖΓ, ΔΗ ἴσαι εἰσίν· ὥστε ὅλη ἡ ΖΗ τῶν ΖΑ, ΑΗ μείζων ἐστίν. ἀλλὰ καὶ ἐλάσσων· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη τῆς κατὰ τὸ Α ἐπαφῆς οὐκ ἐλεύσεται· δι' αὐτῆς ἄρα.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐκτὸς, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς ἐπαφῆς ἐλεύσεται. ὅπερ ἔδει δεῖξαι.

Prop. XIII. Theor.

Circulus circulum non contingit in pluribus punctis quam uno, ſive intus ſive extra contingat.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Κύκλος κύκλυ οὐκ ἐφάπτεται κατὰ πλείονα σημεῖα ἢ κατ' ἕν, ἐάν τε ἐκτὸς ἐάν τε ἐντὸς ἐφάπτηται.

Si enim fieri poteſt, circulus ABΔΓ circulum EBZΔ contingat primum intus in pluribus punctis quam uno, videlicet in B, Δ.

Et ſumatur [per 1. 3.] circuli quidem ABΔΓ centrum H, circuli vero EBZΔ centrum Θ.

Ergo recta linea, quæ à puncto H ad Θ ducitur, [per 11. 3.] in puncta B, Δ cadet. cadat ut BHΘΔ. & quoniam H centrum eſt circuli ABΔΓ, erit BH ipſi HΔ æqualis: major eſt igitur BH quam ΘΔ, & BΘ quam ΘΔ multo major. rurſus, quoniam Θ centrum eſt EBZΔ circuli, æqualis eſt BΘ ipſi ΘΔ. atqui oſtenſa eſt ipſa multo major, quod fieri non poteſt: non igitur circulus circulum intus contingit in pluribus punctis quam uno.



Dico etiam neque extra. ſi enim fieri poteſt, circulus AΓK circulum ABΔΓ extra contingat in pluribus punctis quam uno, videlicet in A, Γ, & ducatur AΓ.

Quoniam igitur in circumferentia circulorum ABΔΓ, AΓK ſumpta ſunt duo quælibet puncta A, Γ; recta linea quæ ipſa conjungit [per 2. 3.] intra utrumq; ipſorum cadet. ſed [per 3. def. 3.] quæ intra circulum quidem ABΔΓ cadit, extra circulum AΓK cadet, quod abſurdum: circulus igitur non contingit circulum extra in pluribus punctis quam uno. oſtenſum autem eſt neque intus contingere.

Circulus igitur circulum non contingit in pluribus punctis quam uno, ſive intus ſive extra contingat. quod erat demonſtrandum.

Εἰ γὰρ δυνατὸν, κύκλος ὁ ΑΒΔΓ κύκλυ τοῦ ΕΒΖΔ ἁπλόθω πρότερον ἐντὸς κατὰ πλείονα σημεῖα ἢ ἓν, τὰ Β, Δ.

Καὶ εἰλήφθω τοῦ μὲν ΑΒΔΓ κύκλυ κέντρον, τὸ Η· τοῦ δὲ ΕΒΖΔ, τὸ Θ.

Η ἄρα ἀπὸ τοῦ Η ἐπὶ τὸ Θ ἐπιζευγνυμένη εὐθεῖα ἐπὶ τὰ Β, Δ πεσεῖται. πιπτέτω ὡς ἡ ΒΗΘΔ. Καὶ ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐσὶ τοῦ ΑΒΔΓ κύκλυ, ἴση ἐσὶν ἡ ΒΗ τῇ ΗΔ· μείζων ἄρα ἡ ΒΗ τῆς ΘΔ· πολλῷ ἄρα μείζων ἡ ΒΘ τῆς ΘΔ. πάλιν, ἐπεὶ τὸ Θ σημεῖον κέντρον ἐσὶ τοῦ ΕΒΖΔ κύκλυ, ἴση ἐσὶν ἡ ΒΘ τῇ ΘΔ. ἐδείχθη δὲ αὐτῆς καὶ πολλῷ μείζων, ὅπερ ἐσὶν ἀδύνατον· οὐκ ἄρα κύκλος κύκλυ ἐφάπτεται ἐντὸς κατὰ πλείονα σημεῖα ἢ ἕν.

ΛΕΓΩ δὴ ὅτι οὐδὲ ἐκτός. εἰ γὰρ δυνατὸν, κύκλος ὁ ΑΓΚ κύκλυ ἡ ΑΒΔΓ ἐφαπτέσθω ἐκτὸς κατὰ πλείονα σημεῖα ἢ ἓν, τὰ Α, Γ, καὶ ἐπεζεύχθω ἡ ΑΓ.

Ἐπεὶ οὖν κύκλων τῶν ΑΒΔΓ, ΑΓΚ εἴληπταί τινα ἐπὶ τῆς περιφερείας ἑκατέρας δύο τυχόντα σημεῖα τὰ Α, Γ, ἡ ἐπὶ τὰ αὐτὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς ἑκατέρας πεσεῖται. ἀλλὰ τοῦ μὲν ΑΒΔΓ ἐντὸς ἔπεσε, τοῦ δὲ ΑΓΚ ἐκτὸς, ὅπερ ἄτοπον· οὐκ ἄρα κύκλος κύκλυ ἐφάπτεται ἐκτὸς κατὰ πλείονα σημεῖα ἢ ἕν. ἐδείχθη δὲ, ὅτι οὐδὲ ἐντός.

Κύκλος ἄρα κύκλυ οὐκ ἐφάπτεται κατὰ πλείονα σημεῖα ἢ ἕν, ἐάν τε ἐντὸς ἐάν τε ἐκτὸς ἐφάπτηται. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Εν κύκλῳ αἱ ἴσαι εὐθεῖαι ἴσον ἀπέχουσι ἀπὸ τοῦ κέντρου, καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου ἴσαι ἀλλήλαις εἰσίν.

PROP. XIV. THEOR.

In circulo æquales rectæ lineæ æqualiter distant à centro, & quæ æqualiter distant à centro sunt inter se æquales.

ΕΣτω κύκλος ὁ ΑΒΔΓ, καὶ ἐν αὐτῷ ἴσαι εὐθεῖαι ἔστωσαν αἱ ΑΒ, ΓΔ· λέγω ὅτι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΔΓ κύκλου, καὶ ἔστω τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὰς ΑΒ, ΓΔ κάθετοι ἤχθωσαν αἱ ΕΖ, ΕΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΓ.



Ἐπεὶ οὖν εὐθεία τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθείαν τινὰ μὴ διὰ τοῦ κέντρου τὴν ΑΒ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει· ἴση ἄρα ἡ ΑΖ τῇ ΖΒ, διπλῆ ἄρα ἡ ΑΒ τῆς ΑΖ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΔ τῆς ΓΗ ἐστὶ διπλῆ, καὶ ἔστιν ἴση ἡ ΑΒ τῇ ΓΔ· ἴση ἄρα καὶ ἡ ΑΖ τῇ ΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ, ἴσον καὶ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΕΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΕ ἴσα τὰ ἀπὸ τῶν ΑΖ, ΖΕ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Ζ γωνία· τῷ δὲ ἀπὸ τῆς ΕΓ ἴσα τὰ ἀπὸ τῶν ΕΗ, ΗΓ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Η γωνία· τὰ ἄρα ἀπὸ τῶν ΑΖ, ΖΕ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΕ, ὧν τὸ ἀπὸ τῆς ΑΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΗ, ἴση γὰρ ἐστὶν ἡ ΑΖ τῇ ΓΗ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΖΕ λοιπῷ τῷ ἀπὸ τῆς ΕΗ ἴσον ἐστίν, ἴση ἄρα ἡ ΖΕ τῇ ΕΗ. ἐν δὲ κύκλῳ ἴσον ἀπέχειν ἀπὸ τοῦ κέντρου εὐθείας λέγεται, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσιν· αἱ ἄρα ΑΒ, ΓΔ ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου.

Sit circulus ΑΒΔΓ, & in ipso æquales rectæ lineæ ΑΒ, ΓΔ: dico eas à centro æqualiter distare.

Sumatur enim circuli ΑΒΔΓ centrum quod sit Ε, & ab ipso ad ΑΒ, ΓΔ perpendiculares ducantur ΕΖ, ΕΗ, & jungantur ΑΕ, ΕΓ.

Quoniam igitur recta linea per centrum ducta ΕΖ rectam lineam ΑΒ non ductam per centrum ad rectos angulos secat, & bifariam [per 3. 3.] ipsam secat: quare ΑΖ est æqualis ΖΒ, ideoque ΑΒ ipsius ΑΖ dupla. eadem ratione & ΓΔ dupla est ΓΗ, atque est ΑΒ ipsi ΓΔ æqualis: æqualis igitur & ΑΖ ipsi ΓΗ. & quoniam ΑΕ est æqualis ΕΓ, erit & quadratum ex ΑΕ quadrato ex ΕΓ æquale. sed quadrato ex ΑΕ æqualia sunt [per 47. 1.] ex ΑΖ, ΖΕ quadrata, rectus est enim angulus ad Ζ: quadrato autem ex ΕΓ æqualia sunt quadrata ex ΕΗ, ΗΓ, cum angulus ad Η sit rectus: quadrata igitur ex ΑΖ, ΖΕ æqualia sunt quadratis ex ΓΗ, ΗΕ, è quibus quadratum ex ΑΖ quadrato ex ΓΗ est æquale; æqualis enim est ΑΖ ipsi ΓΗ: reliquum igitur quod fit ex ΖΕ quadratum æquale est reliquo ex ΕΗ; ac propterea ΖΕ ipsi ΕΗ est æqualis. in circulo autem æqualiter distare à centro rectæ lineæ dicuntur, [per 4. def. 3.] quando à centro ad ipsas perpendiculares ductæ sunt æquales: ergo ΑΒ, ΓΔ à centro æqualiter distant.

ΑΛΛΑ δὴ αἱ ΑΒ, ΓΔ εὐθεῖαι ἴσον ἀπεχέτωσαν ἀπὸ τοῦ κέντρου, τοῦτ' ἔστιν, ἴση ἔστω ἡ ΖΕ τῇ ΕΗ· λέγω ὅτι ἴση ἐστὶ καὶ ἡ ΑΒ τῇ ΓΔ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δὴ δείξομεν, ὅτι διπλῆ ἐστιν ἡ μὲν ΑΒ τῆς ΑΖ, ἡ δὲ ΓΔ τῆς ΓΗ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΕΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΕ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΖ, ΖΑ, τῷ δὲ ἀπὸ τῆς ΕΓ ἴσα τὰ ἀπὸ τῶν ΕΗ, ΗΓ· τὰ ἄρα ἀπὸ τῶν ΕΖ, ΖΑ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΕΗ, ΗΓ, ὧν τὸ ἀπὸ τῆς ΕΗ τῷ ἀπὸ τῆς ΕΖ ἴσον ἐστίν. ἴση γὰρ ἡ ΕΖ τῇ ΕΗ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΑΖ λοιπῷ τῷ ἀπὸ τῆς ΓΗ ἴσον ἐστίν· ἴση ἄρα ἡ ΑΖ τῇ ΓΗ, καὶ ἔστι τῆς μὲν ΑΖ διπλῆ ἡ ΑΒ, τῆς δὲ ΓΗ διπλῆ ἡ ΓΔ· ἴση ἄρα ἡ ΑΒ τῇ ΓΔ.

Sed ΑΒ, ΓΔ æqualiter distent à centro, hoc est, sit ΖΕ æqualis ipsi ΕΗ: dico ΑΒ ipsi ΓΔ æqualem esse.

Iisdem enim constructis similiter ostendemus, ΑΒ duplam esse ipsius ΑΖ, & ΓΔ duplam ipsius ΓΗ: & quoniam æqualis est ΑΕ ipsi ΕΓ, erit & ex ΑΕ quadratum quadrato ex ΕΓ æquale. sed quadrato quidem ex ΑΕ æqualia sunt [per 47. 1.] quadrata ex ΕΖ, ΖΑ, quadrato autem ex ΕΓ æqualia quadrata ex ΕΗ, ΗΓ: quadrata igitur ex ΕΖ, ΖΑ quadratis ex ΕΗ, ΗΓ sunt æqualia, è quibus quadratum ex ΕΗ æquale est quadrato ex ΕΖ. est autem ΕΖ ipsi ΕΗ æqualis: reliquum igitur ex ΑΖ quadratum æquale est reliquo ex ΓΗ; ergo ΑΖ ipsi ΓΗ est æqualis. atque est ΑΒ ipsius ΑΖ dupla, & ΓΔ dupla ipsius ΓΗ: quare ΑΒ ipsi ΓΔ æqualis erit.

Ἐν κύκλῳ ἄρα αἱ ἴσαι εὐθεῖαι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου, καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου ἴσαι ἀλλήλαις εἰσίν· ὅπερ ἔδει δεῖξαι.

In circulo igitur æquales rectæ lineæ æqualiter à centro distant, & quæ æqualiter à centro distant inter se sunt æquales. quod erat demonstrandum.

PROP.

PROP. XV. THEOR.

In circulo maxima quidem eſt diameter: aliarum vero, ſemper propinquior centro major eſt remotiore.

SIT circulus ABΓΔ, cujus diameter AΔ, centrum E, & propinquior quidem centro E ſit BΓ, remotior vero ZH: dico AΔ maximam eſſe, & BΓ majorem quam ZH.

Ducantur enim à centro ad BΓ, ZH perpendiculares EΘ, EK. & quoniam BΓ propinquior eſt centro, remotior autem ZH; erit [per 5. def. 3.] EK major quam EΘ. ponatur ipſi EΘ æqualis EΛ, & per Λ ipſi EK ad rectos angulos ducta AM producatur in N, & jungantur EM, EN, EZ, EH.



Quoniam igitur EΘ eſt æqualis EΛ, erit [per 14. 3.] & BΓ ipſi MN æqualis. rurſus, quoniam æqualis eſt AE ipſi EM, & EΔ ipſi EN: erit AΔ ipſis ME, EN æqualis. ſed ME, EN majores ſunt quam MN: ergo & AΔ major eſt quam MN. at MN eſt æqualis BΓ: eſt igitur AΔ major quam BΓ. & quoniam duæ ME, EN duabus ZE, EH ſint æquales, anguluſque MEN major angulo ZEH; & baſis MN [per 24. 1.] baſi ZH major erit. oſtenſa autem eſt MN æqualis BΓ: ergo & BΓ eſt major quam ZH. maxima igitur eſt AΔ diameter, & BΓ eſt major quam ZH.

Quare in circulo maxima eſt diameter: aliarum vero, ſemper propinquior centro major eſt remotiore. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐν κύκλῳ μεγίστη μέν ἐστιν ἡ διάμετρος· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, κέντρον δὲ τὸ Ε, καὶ ἐγγιον μὲν τοῦ Ε κέντρου ἔστω ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ· λέγω ὅτι μεγίστη μέν ἐστιν ἡ ΑΔ, μείζων δὲ ἡ ΒΓ τῆς ΖΗ.

Ἤχθωσαν γὰρ ἀπὸ τοῦ κέντρου ἐπὶ τὰς ΒΓ, ΖΗ κάθετοι αἱ ΕΘ, ΕΚ. καὶ ἐπεὶ ἐγγιον μὲν τοῦ κέντρου ἐστὶν ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ, μείζων ἄρα ἡ ΕΚ τῆς ΕΘ. κείσθω τῇ ΕΘ ἴση ἡ ΕΛ, καὶ διὰ τοῦ Λ τῇ ΕΚ πρὸς ὀρθὰς ἀχθεῖσα ἡ ΛΜ διήχθω ἐπὶ τὸ Ν, καὶ ἐπεζεύχθωσαν αἱ ΕΜ, ΕΝ, ΕΖ, ΕΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΘ τῇ ΕΛ, ἴση ἐστὶ καὶ ἡ ΒΓ τῇ ΜΝ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΜ, ἡ δὲ ΕΔ τῇ ΕΝ, ἡ ἄρα ΑΔ τῶν ΜΕ, ΕΝ ἴση ἐστίν. ἀλλ' αἱ ΜΕ, ΕΝ τῆς ΜΝ μείζονές εἰσι, καὶ ἡ ΑΔ ἄρα τῆς ΜΝ μείζων ἐστίν. ἴση δὲ ἡ ΜΝ τῇ ΒΓ, ἡ ΑΔ ἄρα τῆς ΒΓ μείζων ἐστί. καὶ ἐπεὶ δύο αἱ ΜΕ, ΕΝ δυσὶ ταῖς ΖΕ, ΕΗ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΜΕΝ, γωνίας τῆς ὑπὸ ΖΕΗ μείζων ἐστί· βάσις ἄρα ἡ ΜΝ βάσεως τῆς ΖΗ μείζων ἐστίν. ἀλλὰ ἡ ΜΝ τῇ ΒΓ ἐδείχθη ἴση, καὶ ἡ ΒΓ τῆς ΖΗ μείζων ἐστίν. μεγίστη ἄρα ἡ ΑΔ διάμετρος, μείζων δὲ ἡ ΒΓ τῆς ΖΗ.

Ἐν κύκλῳ ἄρα μεγίστη μὲν ἐστιν ἡ διάμετρος· τῶν δὲ ἄλλων, ἀεὶ ἡ ἐγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν. ὅπερ ἔδει δεῖξαι.

PROP. XVI. THEOR.

Recta diametro circuli ad rectos angulos ab extremitate ducta cadit extra circulum: & in locum qui inter rectam lineam & circumferentiam interjicitur altera recta linea non cadet: & ſemicirculi angulus major eſt quovis angulo rectilineo acuto: reliquus autem minor.

SIT circulus ABΓ circa centrum Δ & diametrum AB: dico rectam lineam, quæ à puncto A ipſi AB ad rectos angulos ducitur, extra circulum cadere.

Si enim non, fieri ſi poteſt, cadat intus ut AΓ, & jungatur ΔΓ.

Quoniam igitur æqualis eſt ΔA ipſi ΔΓ, erit & angulus ΔAΓ [per 5. 1.] angulo AΓΔ æqualis. rectus autem eſt ΔAΓ, ergo & AΓΔ eſt rectus: ac propterea anguli ΔAΓ, AΓΔ duobus rectis ſunt æquales, quod [per 17. 1.] fieri

ΠΡΟΤΑΣΙΣ ιϛ'.

Ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐκτὸς πεσεῖται τοῦ κύκλου· καὶ εἰς τὸν μεταξὺ τόπον τῆς τε εὐθείας καὶ τῆς περιφερείας ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται· καὶ ἡ μὲν τοῦ ἡμικυκλίου γωνία ἁπάσης ὀξείας γωνίας εὐθυγράμμου μείζων ἐστίν· ἡ δὲ λοιπὴ ἐλάττων.

Ἔστω κύκλος ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ καὶ διάμετρον τὴν ΑΒ· λέγω ὅτι ἡ ἀπὸ τοῦ Α τῇ ΑΒ πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐκτὸς πεσεῖται τοῦ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν πιπτέτω ἐντὸς, ὡς ἡ ΑΓ καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΑ τῇ ΔΓ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΑΓΔ. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΑΓ, ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΓΔ· αἱ ἄρα ὑπὸ ΔΑΓ, ΑΓΔ δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ὅπερ ἐστὶν ἀδύνατον.

non potest. recta igitur à puncto A ipsi BA ad rectos angulos ducta non cadet intra circulum. similiter ostendemus neque in circumferentiam cadere: extra igitur cadat necesse est, ut AE.

DICO in locum, qui inter rectam lineam AE & circumferentiam ΓΘA interjicitur, alteram rectam lineam non cadere.

Si enim fieri potest, cadat ut ZA, & à puncto Δ ad ZA perpendicularis ducatur ΔH.

Et quoniam rectus est angulus AHΔ, minor autem recto ΔAH, erit AΔ [per 19. 1.] major quam AH. æqualis autem est ΔA ipsi AΘ: major igitur est AΘ ipsa AH, minor majore: quod fieri non potest. in locum igitur, qui inter rectam lineam & circumferentiam interjicitur, altera recta linea non cadet.



DICO præterea angulum semicirculi, qui à recta linea BA & circumferentia ΓΘA comprehenditur, quovis angulo acuto rectilineo majorem esse; reliquum vero, comprehensum à circumferentia ΓΘA & recta linea AE, quovis angulo acuto rectilineo esse minorem.

Si enim est aliquis angulus rectilineus major comprehenso à recta linea BA & circumferentia ΓΘA, vel aliquis minor comprehenso à ΓΘA circumferentia & recta linea AE; in locum, qui inter circumferentiam ΓΘA & rectam lineam AE interjicitur, cadet aliqua recta linea quæ faciet angulum majorem quidem comprehenso à recta linea BA & ΓΘA circumferentia, qui scilicet rectis lineis comprehenditur, minorem vero comprehenso à circumferentia ΓΘA & AE recta linea. non cadit autem: angulus igitur acutus, qui à rectis lineis comprehenditur, non est major angulo comprehenso à recta linea BA & ΓΘA circumferentia, neque minor comprehenso à circumferentia ΓΘA & AE recta linea. quod erat demonstrandum.

Corollarium.

Ex his manifestum est, quod recta linea, quæ ad rectos angulos ducitur diametro circuli ab extremitate ejusdem, circulum contingit: & quod recta linea circulum contingit in unico tantum puncto. quoniam quæ circulo in duobus punctis occurrit [per 2. 3.] intra ipsum cadere ostendebatur.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἀπὸ τοῦ δοθέντος σημείου τοῦ δοθέντος κύκλου ἐφαπτομένην εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

PROP. XVII. PROBL.

A dato puncto rectam lineam ducere, quæ datum circulum contingat.

ΕΣτω τὸ μὲν δοθὲν σημεῖον τὸ A, ὁ δὲ δοθεὶς κύκλος ὁ ΒΓΔ· δεῖ δὴ ἀπὸ τοῦ A σημείου τοῦ ΒΓΔ κύκλου ἐφαπτομένην εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Εἰλήφθω γὰρ κέντρον τοῦ κύκλου τὸ E, καὶ ἐπεζεύχθω ἡ AE, καὶ κέντρῳ μὲν τῷ E διαστήματι δὲ τῷ EA κύ-

SIT datum quidem punctum A, datus autem circulus ΒΓΔ: oportet à puncto A rectam lineam ducere, quæ circulum ΒΓΔ contingat.

Sumatur enim centrum circuli E, & jungatur AE, & centro quidem E intervallo autem EA [per 3. post.]

poſt.] circulus AZH deſcribatur; & à puncto A ipſi EA ad rectos angulos [per 11. 1.] ducatur ΔZ, junganturque EBZ, AB: dico à puncto A ductam eſſe AB, quæ circulum BΓΔ contingit.



Quoniam enim E centrum eſt circulorum BΓΔ, AZH, erit EA æqualis EZ, & EΔ ipſi EB: duæ igitur AE, EB duabus ZE, EΔ ſunt æquales, & angulum communem continent, qui eſt ad E: baſis igitur ΔZ [per 4. 1.] baſi AB eſt æqualis, triangulumque ΔEZ æquale triangulo EBA, & reliqui anguli reliquis angulis: æqualis igitur eſt angulus EBA angulo EΔZ. rectus autem eſt EΔZ, quare & EBA rectus. atque eſt EB ex centro: quæ autem diametro circuli ab extremitate ad rectos angulos ducitur [per 16. 3.] circulum contingit: ergo AB contingit circulum.

A dato igitur puncto A ducta eſt recta linea AB, quæ circulum BΓΔ contingit. quod erat faciendum.

Prop. XVIII. Theor.

Si recta linea circulum contingat, à centro autem ad contactum recta linea ducatur, ea perpendicularis erit tangenti.

CIrculum enim ABΓ contingat recta linea ΔE in puncto Γ, & circuli ABΓ centrum ſumatur Z, à quo ad Γ ducatur ZΓ: dico ZΓ perpendicularem eſſe ad ipſam ΔE.

Si enim non ſit ita, ducatur [per 12. 1.] à puncto Z ad ΔE perpendicularis ZH.

Quoniam igitur angulus ZHΓ rectus eſt, erit [per 17. 1.] HΓZ acutus: majorem autem angulum [per 19. 1.] majus latus ſubtendit, major igitur eſt ZΓ quam ZH. eſt autem ZΓ æqualis ipſi ZB: ergo ZB eſt major ipſa ZH, minor majore, quod fieri non poteſt. non eſt igitur ZH perpendicularis rectæ ΔE. ſimiliter oſtendemus neque aliam quampiam eſſe præter ipſam ZΓ: ergo ZΓ ad ΔE eſt perpendicularis.



Si igitur recta linea circulum contingat, à centro autem ad contactum recta linea ducatur, ea perpendicularis erit tangenti. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπιζευχθῇ τις εὐθεῖα, ἡ ἐπιζευχθεῖσα κάθετος ἔσται ἐπὶ τὴν ἐφαπτομένην.

Κύκλου γὰρ τοῦ ΑΒΓ ἁπτέσθω τις εὐθεῖα ἡ ΔΕ κατὰ τὸ Γ σημεῖον, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Γ ἐπεζεύχθω ἡ ΖΓ· λέγω ὅτι ἡ ΖΓ κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ.

Εἰ γὰρ μή, ἤχθω ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΔΕ κάθετος ἡ ΖΗ.

Ἐπεὶ οὖν ἡ ὑπὸ ΖΗΓ γωνία ὀρθή ἐστιν, ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΗΓΖ· ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει, μείζων ἄρα ἡ ΖΓ τῆς ΖΗ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· μείζων ἄρα ἡ ΖΒ τῆς ΖΗ, ἡ ἐλάττων τοῦ μείζονος, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΖΗ κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΖΓ· ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπιζευχθῇ τις εὐθεῖα, ἡ ἐπιζευχθεῖσα κάθετος ἐστιν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν κύκλου ἁφάπηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς τῇ ἁφαπομένῃ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἀχθῇ, ἐπὶ ταύτης ἔσται τὸ κέντρον τοῦ κύκλου.

Prop. XIX. Theor.

Si recta linea circulum contingat, à contactu autem recta linea ducatur ad angulos rectos tangenti, centrum circuli erit in eadem.

Κύκλου γὰρ τοῦ ΑΒΓ ἁπτέσθω τις εὐθεῖα ἡ ΔΕ κατὰ τὸ Γ σημεῖον, καὶ ἀπὸ τοῦ Γ τῇ ΔΕ πρὸς ὀρθὰς τῇ ΑΓ ἤχθω ἡ ΓΑ· λέγω ὅτι ἐπὶ τῆς ΑΓ ἐστὶ τὸ κέντρον τοῦ κύκλου.

CIrculum enim ABΓ contingat quædam recta linea ΔE in Γ, & à puncto Γ ipsi ΔE ad rectos angulos ducatur ΓA: dico circuli centrum esse in ipsa AΓ.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἐκτὸς τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΓΖ.

Si enim non, fieri si potest, sit Z centrum, & jungatur ΓZ.



Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἁπτεταί τις εὐθεῖα ἡ ΔΕ, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν τὴν Γ ἐπέζευκται ἡ ΖΓ, ἡ ΖΓ ἄρα καθέτος ἐστὶν ἐπὶ τὴν ΔΕ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΕ. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΓΕ ὀρθή· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΕ τῇ ὑπὸ ΑΓΕ, ἡ ἐλάσσων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ζ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλό τι πλὴν ἐπὶ τῆς ΑΓ.

Quoniam igitur circulum ABΓ contingit quædam recta linea ΔE, & à centro ad contactum ducta est ZΓ, erit [per 18. 3.] ZΓ ad ipsam ΔE perpendicularis: rectus igitur est angulus ZΓE. est autem & AΓE rectus: ergo ZΓE angulus est æqualis angulo AΓE, minor majori, quod fieri non potest. non est igitur Z centrum circuli ABΓ. similiter ostendemus neque aliud aliquod esse, præterquam in ipsa AΓ.

Ἐὰν ἄρα κύκλου ἁφάπηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς τῇ ἁφαπομένῃ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἀχθῇ, ἐπὶ ταύτης ἔσται τὸ κέντρον τοῦ κύκλου. ὅπερ ἔδει δεῖξαι.

Quare si recta linea circulum contingat, à contactu autem recta linea ducatur ad angulos rectos tangenti, centrum circuli erit in eadem. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κ'.

Prop. XX. Theor.

Ἐν κύκλῳ ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν αἱ γωνίαι.

In circulo, angulus qui ad centrum duplus est ejus qui ad circumferentiam, quando circumferentiam eandem habent pro basi.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ πρὸς μὲν τῷ Ε κέντρῳ γωνία ἔστω ἡ ὑπὸ ΒΕΓ, πρὸς δὲ τῇ περιφερείᾳ ἡ ὑπὸ ΒΑΓ, ἐχέτωσαν δὲ τὴν αὐτὴν περιφέρειαν βάσιν τὴν ΒΓ· λέγω ὅτι διπλασίων ἐστὶν ἡ ὑπὸ ΒΕΓ γωνία τῆς ὑπὸ ΒΑΓ.

SIT circulus ABΓ, ad cujus centrum sit angulus BEΓ, ad circumferentiam vero BAΓ, & eandem circumferentiam BΓ habeant pro basi: dico angulum BEΓ anguli BAΓ duplum esse.



Ἐπεζεύχθω ἡ ΑΕ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ζ σημεῖον. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΕΑΒ τῇ ὑπὸ ΕΒΑ· αἱ ἄρα ὑπὸ ΕΑΒ, ΕΒΑ γωνίαι τῆς ὑπὸ ΕΑΒ διπλασίαι εἰσίν. ἴση δέ ἐστιν ἡ ὑπὸ ΒΕΖ τῇ ὑπὸ ΕΑΒ, ΕΒΑ· καὶ ἡ ὑπὸ ΒΕΖ ἄρα τῆς ὑπὸ ΕΑΒ ἐστὶ διπλῆ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΖΕΓ τῆς ὑπὸ ΕΑΓ ἐστὶ διπλῆ· ὅλη ἄρα ἡ ὑπὸ ΒΕΓ ὅλης τῆς ὑπὸ ΒΑΓ ἐστὶ διπλῆ.

Jungatur enim AE & ad Z producatur.

Itaque quoniam EA est æqualis EB, erit & angulus EAB [per 5. 1.] angulo EBA æqualis: anguli igitur EAB, EBA dupli sunt ipsius anguli EAB. sed angulus BEZ est [per 32. 1.] æqualis angulis EAB, EBA: ergo angulus BEZ duplus est anguli EAB. eadem ratione & angulus ZEΓ duplus est ipsius EAΓ: totus igitur BEΓ totius BAΓ duplus erit.

Κεκλάσθω δὴ πάλιν, καὶ ἔστω γωνία ἑτέρα ἡ

Rursus inclinetur, & sit alter angulus BΔΓ,

junctaque ΔE ad H producatur. similiter ostendemus angulum HEΓ anguli HΔΓ duplum esse, è quibus HEB duplus est ipsius HΔB: ergo reliquus BEΓ reliqui BΔΓ est duplus.

In circulo igitur, angulus qui ad centrum duplus est ejus qui ad circumferentiam, quando circumferentiam eandem habent pro basi. quod erat demonstrandum.

PROP. XXI. THEOR.

Anguli in eodem circuli segmento sunt inter se æquales.

SIT circulus ABΓΔ, & in eodem segmento BAEΔ anguli sint BAΔ, BEΔ: dico eos inter se esse æquales.



Sumatur enim [per 1. 3.] circuli ABΓΔ centrum quod sit Z, jungunturque BZ, ZΔ.

Quoniam autem angulus BZΔ est ad centrum, angulus vero BAΔ ad circumferentiam, & circumferentiam eandem BΓΔ habent pro basi, erit [per 20. 3.] angulus BZΔ duplus anguli BAΔ. eadem ratione angulus BZΔ duplus est etiam anguli BEΔ: ergo angulus BAΔ [per 7. ax.] angulo BEΔ æqualis erit.

Anguli igitur in eodem circuli segmento sunt inter se æquales. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κα'.

Εν κύκλῳ αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Ἔστω κύκλος ὁ ABΓΔ, καὶ ἐν τῷ τμήματι τῷ BAEΔ γωνίαι ἔστωσαν αἱ ὑπὸ BAΔ, BEΔ· λέγω ὅτι αἱ ὑπὸ BAΔ, BEΔ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Εἰλήφθω γὰρ τὸ Z ΑΒΓΔ κύκλου τὸ κέντρον, καὶ ἐπεζεύχθωσαν αἱ BZ, ZΔ.

Καὶ ἐπεὶ ἡ μὲν ὑπὸ BZΔ γωνία πρός τῷ κέντρῳ ἐστίν, ἡ δὲ ὑπὸ BAΔ πρὸς τῇ περιφερείᾳ, ἐπὶ τὸν αὐτὸν περιφέρειαν βάσιν ἔχουσιν τὴν BΓΔ· ἡ ἄρα ὑπὸ BZΔ διπλασίων ἐστὶ τῆς ὑπὸ BAΔ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ BZΔ τῆς ὑπὸ BEΔ ἐστὶ διπλασίων· ἴση ἄρα ἡ ὑπὸ BAΔ τῇ ὑπὸ BEΔ.

Εν κύκλῳ ἄρα αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXII. THEOR.

Quadrilaterorum, quæ circulis inscribuntur, anguli oppositi sunt duobus rectis æquales.

SIT circulus ABΓΔ, & in ipso quadrilaterum ABΓΔ: dico angulos ipsius oppositos duobus rectis esse æquales.



Jungantur AΓ, BΔ.

Quoniam igitur omnis trianguli tres anguli sunt [per 32. 1.] duobus rectis æquales, erunt trianguli ABΓ tres anguli ΓAB, ABΓ, BΓA æquales duobus rectis. sed angulus ΓAB est [per 21. 3.] æqualis angulo BΔΓ, in eodem enim sunt segmento BAΔΓ, & angulus AΓB æqualis ipsi AΔB, quod sint in eodem AΔΓB segmento: totus igitur angulus AΔΓ angulis BAΓ, AΓB est æqualis. communis apponatur ABΓ angulus: sunt igitur anguli ABΓ, BAΓ, AΓB, angulis ABΓ, AΔΓ æquales. sed ABΓ, BAΓ, AΓB sunt duobus rectis æquales: ergo & anguli ABΓ, AΔΓ sunt duobus rectis æquales. similiter ostendemus angulos quoque BAΔ, ΔΓB duobus rectis esse æquales.

ΠΡΟΤΑΣΙΣ κβ'.

Τῶν ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἔστω κύκλος ὁ ABΓΔ, καὶ ἐν αὐτῷ τετράπλευρον ἔστω τὸ ABΓΔ· λέγω ὅτι αἱ ἀπεναντίον αὐτοῦ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Επεζεύχθωσαν αἱ AΓ, BΔ.

Καὶ ἐπεὶ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, τοῦ ABΓ αἱ τρεῖς γωνίαι αἱ ὑπὸ ΓAB, ABΓ, BΓA δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἴση δὲ ἡ μὲν ὑπὸ ΓAB τῇ ὑπὸ BΔΓ, ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι τῷ BAΔΓ, ἡ δὲ ὑπὸ AΓB τῇ ὑπὸ AΔB, ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι τῷ AΔΓB· ὅλη ἄρα ἡ ὑπὸ AΔΓ ἴση ἐστὶ ταῖς ὑπὸ BAΓ, AΓB ἴσῃ. κοινὴ προσκείσθω ἡ ὑπὸ ABΓ· αἱ ἄρα ὑπὸ ABΓ, BAΓ, AΓB τρισὶ ταῖς ὑπὸ ABΓ, AΔΓ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ABΓ, BAΓ, AΓB δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ABΓ, AΔΓ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ ὑπὸ BAΔ, ΔΓB γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Τῶν

Τῶν ἄρα ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. ὅπερ ἔδει δεῖξαι.

Quadrilaterorum igitur, quæ circulis inſcribuntur, anguli oppoſiti ſunt duobus rectis æquales. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Ἐπὶ τῆς αὐτῆς εὐθείας δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα οὐ συσταθήσονται ὁμοίως πρὸς τὰ αὐτὰ μέρη.

Prop. XXIII. Theor.

Super eadem recta linea duo circulorum ſegmenta ſimilia & inæqualia ex eadem parte non conſtituentur.

Εἰ γὰρ δυνατόν, ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα συνεστάτω ἐπὶ τὰ αὐτὰ μέρη τὰ ΑΓΒ, ΑΔΒ, καὶ διήχθω ἡ ΑΔΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΒ, ΔΒ.



Si enim fieri poteſt, ſuper eadem recta linea ΑΒ duo circulorum ſegmenta ſimilia & inæqualia conſtituantur ex eadem parte ΑΓΒ, ΑΔΒ, ducaturque ΑΔΓ, & jungantur ΓΒ, ΔΒ.

Ἐπεὶ οὖν ὅμοιόν ἐστι τὸ ΑΓΒ τμῆμα τῷ ΑΔΒ τμήματι, ὅμοια δὲ τμήματα κύκλων ἐστὶ τὰ δεχόμενα γωνίας ἴσας· ἡ ἄρα ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΑΔΒ, ἡ ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον· ὅπερ ἐστὶν ἀδύνατον.

Quoniam igitur ſegmentum ΑΓΒ ſimile eſt ſegmento ΑΔΒ, ſimilia autem circulorum ſegmenta ſunt [per 11. def. 3.] quæ angulos capiunt æquales; erit ΑΓΒ angulus æqualis angulo ΑΔΒ, exterior interiori, quod [per 16. 1.] fieri non poteſt.

Οὐκ ἄρα ἐπὶ τῆς αὐτῆς εὐθείας δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα συσταθήσεται ὁμοίως πρὸς τὰ αὐτὰ μέρη. ὅπερ ἔδει δεῖξαι.

Non igitur ſuper eadem recta linea duo circulorum ſegmenta ſimilia & inæqualia ex eadem parte conſtituentur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κδ'.

Τὰ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν.

Prop. XXIV. Theor.

Super æqualibus rectis lineis ſimilia circulorum ſegmenta ſunt inter ſe æqualia.

Ἐστωσαν ἐπὶ ἴσων εὐθειῶν τῶν ΑΒ, ΓΔ ὅμοια τμήματα κύκλων τὰ ΑΕΒ, ΓΖΔ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΕΒ τμῆμα τῷ ΓΖΔ τμήματι.

Sint enim ſuper æqualibus rectis lineis ΑΒ, ΓΔ ſimilia circulorum ſegmenta ΑΕΒ, ΓΖΔ: dico ſegmentum ΑΕΒ ſegmento ΓΖΔ eſſe æquale.

Ἐφαρμοζομένου γὰρ τοῦ ΑΕΒ τμήματος ἐπὶ τὸ ΓΖΔ, καὶ τιθεμένου τοῦ μὲν Α σημείου ἐπὶ τὸ Γ, τῆς δὲ ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ, ἐφαρμόσει καὶ τὸ Β σημεῖον ἐπὶ τὸ Δ σημεῖον, διὰ τὸ ἴσην εἶναι τὴν ΑΒ τῇ ΓΔ. ἐφαρμοσάσης δὲ τῆς ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ, ἐφαρμόσει καὶ τὸ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ. εἰ γὰρ ἡ ΑΒ εὐθεῖα ἐπὶ τὴν ΓΔ ἐφαρμόσει, τὸ δὲ ΑΕΒ τμῆμα οὐκ ἐφαρμόσει ἐπὶ τὸ ΓΖΔ, ἤτοι ἐντὸς πεσεῖται αὐτοῦ ἢ ἐκτὸς ἢ καὶ παραλλάξει, καὶ συστήσεται κύκλου τμῆμα τὸ ΓΗΔ, ὥστε τὸν αὐτὸν κύκλον πλείονα σημεῖα τέμνειν ἢ δύο· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἐφαρμοζομένης τῆς ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ οὐκ ἐφαρμόσει καὶ τὸ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ· ἐφαρμόσει ἄρα, καὶ ἴσον αὐτῷ ἔσται.



Segmento enim ΑΕΒ congruente ſegmento ΓΖΔ, & poſito puncto quidem Α ſuper Γ, recta vero linea ΑΒ ſuper ΓΔ, congruet & Β punctum puncto Δ, propterea quod ΑΒ ipſi ΓΔ ſit æqualis: congruente autem recta linea ΑΒ rectæ ΓΔ, congruet & ΑΕΒ ſegmentum ſegmento ΓΖΔ. ſi enim ΑΒ congruat ipſi ΓΔ, ſegmentum vero ΑΕΒ ſegmento ΓΖΔ non congruat, ſitum mutet ut ΓΘΗΔ. ſed circulus circulum in pluribus quam duobus punctis [per 10. 3.] non ſecat: at vero circulus ΓΘΗΔ circulum ΓΖΔ ſecat in pluribus punctis quam duobus, videlicet in punctis Γ, Η, Δ, quod fieri non poteſt. congruente igitur recta linea ΑΒ rectæ ΓΔ, non poteſt non congruere ΑΕΒ ſegmento ΓΖΔ: quare congruet, & proinde ipſi æquale erit.

Τὰ ἄρα ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι.

Super æqualibus igitur rectis lineis ſimilia circulorum ſegmenta ſunt inter ſe æqualia. quod erat demonſtrandum.

PROP. XXV. PROBL.

Dato circuli ſegmento, deſcribere circulum cujus eſt ſegmentum.

SIT datum circuli ſegmentum ABΓ: oportet autem circulum deſcribere, cujus ABΓ eſt ſegmentum.

Secetur AΓ [per 10. 1.] bifariam in Δ, & à puncto Δ ipſi AΓ ad rectos angulos [per 11. 1.] ducatur ΔB, & jungatur AB: angulus igitur ABΔ vel major eſt angulo BAΔ, vel æqualis, vel minor.



Sit primum major, & ad rectam lineam BA, atque ad datum in ea punctum A, conſtituatur [per 23. 1.] angulus BAE æqualis angulo ABΔ, & ΔB producatur ad E, jungaturque EΓ. quoniam igitur angulus ABE eſt æqualis angulo BAE, erit recta linea BE [per 6. 1.] ipſi EA æqualis. & quoniam AΔ eſt æqualis ΔΓ, communis autem ΔE, duæ AΔ, ΔE duabus ΓΔ, ΔE ſunt æquales, altera alteri; & angulus AΔE æqualis angulo ΓΔE, rectus enim eſt uterque: ergo & baſis AE [per 4. 1.] baſi EΓ eſt æqualis. ſed oſtenſa eſt AE æqualis EB: quare & BE ipſi EΓ eſt æqualis, ac propterea tres rectæ lineæ AE, EB, EΓ inter ſe ſunt æquales: centro igitur E intervallo autem æquali uni ipſarum AE, EB, EΓ circulus deſcriptus etiam per reliqua tranſibit puncta, & circulus deſcriptus erit. quare circuli ſegmento dato deſcriptus eſt [per 9 3.] circulus, cujus eſt ſegmentum. ſed & illud conſtat, ſegmentum ABΓ ſemicirculo minus eſſe; propterea quod E centrum ipſius cadit extra.



Similiter & ſi angulus ABΔ ſit æqualis angulo BAΔ, facta AΔ æquali utrivis ipſarum BΔ, ΔΓ, erunt tres rectæ lineæ ΔA, ΔB, ΔΓ inter ſe æquales, atque erit [per 9. 3.] Δ circuli completi centrum, & ſegmentum ABΓ ſemicirculus.



Si vero angulus ABΔ minor ſit angulo BAΔ, & conſtituatur ad rectam lineam BA & ad punctum in ea datum A angulus BAE æqualis angulo ABΔ, intra ſegmentum ABΓ erit centrum E, in ipſa ΔB, atque erit ABΓ ſegmentum ſemicirculo majus.

Circuli igitur ſegmento dato, deſcriptus eſt circulus cujus eſt ſegmentum. quod erat faciendum.

PROP. XXVI. THEOR.

In æqualibus circulis æquales anguli æqualibus inſiſtunt circumferentiis, ſive ad centra ſive ad circumferentias inſiſtant.

SInt æquales circuli ABΓ, ΔEZ, & in ipſis æquales anguli, ad centra quidem BHΓ,

ΠΡΟΤΑΣΙΣ κϛ'.

Κύκλου τμήματος δοθέντος, περιγράψαι τὸν κύκλον οὗ ἐστι τμῆμα.

ΕΣτω τὸ δοθὲν τμῆμα κύκλου, τὸ ABΓ· δεῖ δὴ περιγράψαι τὸν κύκλον, οὗ ἐστι τὸ ABΓ τμῆμα.

Τετμήσθω γὰρ ἡ AΓ δίχα κατὰ τὸ Δ, καὶ ἤχθω ἀπὸ τοῦ Δ σημείου τῇ AΓ πρὸς ὀρθὰς ἡ ΔB, καὶ ἐπεζεύχθω ἡ AB· ἡ ὑπὸ ABΔ ἄρα γωνία τῇ ὑπὸ BAΔ ἤτοι μείζων ἐστὶν, ἢ ἴση, ἢ ἐλάττων.

Ἔστω πρότερον μείζων, καὶ συνεστάτω πρὸς τῇ BA εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A, τῇ ὑπὸ ABΔ γωνίᾳ ἴση ἡ ὑπὸ BAE, καὶ διήχθω ἐπὶ τὸ E ἡ ΔB, καὶ ἐπεζεύχθω ἡ EΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ABE γωνία τῇ ὑπὸ BAE, ἴση ἄρα ἐστὶ καὶ ἡ BE εὐθεῖα τῇ EA. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AΔ τῇ ΔE, κοινὴ δὲ ἡ ΔE, δύο δὴ αἱ AΔ, ΔE δυσὶ ταῖς ΓΔ, ΔE ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ AΔE γωνίᾳ τῇ ὑπὸ ΓΔE ἴση ἐστὶν· ὀρθὴ γὰρ ἑκατέρα· καὶ βάσις ἄρα ἡ AE βάσει τῇ ΓE ἴση ἐστίν. ἀλλὰ ἡ AE τῇ EB ἐδείχθη ἴση· καὶ ἡ BE ἄρα τῇ ΓE ἐστὶν ἴση· αἱ τρεῖς ἄρα αἱ AE, EB, EΓ ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ E, διαστήματι δὲ ἑνὶ τῶν AE, EB, EΓ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος. κύκλου ἄρα τμήματος δοθέντος, περιγεγράπται ὁ κύκλος. καὶ δῆλον ὡς τὸ ABΓ τμῆμα ἐλάττον ἐστὶ ἡμικυκλίου, διὰ τὸ, τὸ E κέντρον αὐτοῦ ἐκτὸς τυγχάνειν.

Ὁμοίως δὲ κἂν ᾖ ἡ ὑπὸ ABΔ γωνία ἴση τῇ ὑπὸ BAΔ, τῶν AΔ ἴσης γινομένης ἑκατέρᾳ τῶν BΔ, ΔΓ, αἱ τρεῖς ἄρα αἱ ΔA, ΔB, ΔΓ ἴσαι ἀλλήλαις ἔσονται, καὶ ἔσται τὸ Δ κέντρον τοῦ περιγραφομένου κύκλου, καὶ δηλαδὴ ἔσται τὸ ABΓ ἡμικύκλιον.

Ἐὰν δὲ ἡ ὑπὸ ABΔ ἐλάττων ᾖ τῆς ὑπὸ BAΔ, καὶ συστησόμεθα πρὸς τῇ BA εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ, τῇ ὑπὸ ABΔ γωνίᾳ ἴσην, ἐντὸς τοῦ ABΓ τμήματος πεσεῖται τὸ κέντρον ἐπὶ τῆς ΔB, καὶ ἔσται δηλαδὴ τὸ ABΓ τμῆμα μεῖζον ἡμικυκλίου.

Κύκλου ἄρα τμήματος δοθέντος, περιγεγράπται ὁ κύκλος, οὗπερ ἐστὶ τὸ τμῆμα· ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἐάντε πρὸς τοῖς κέντροις ὦσι ἐάντε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.

ΕΣτωσαν ἴσοι κύκλοι οἱ ABΓ, ΔEZ, καὶ ἐν αὐτοῖς ἴσας γωνίας ἐχέτωσαν, πρὸς μὲν τοῖς κέντροις αἱ ὑπὸ

τὰ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ τ περιφερείαις αἱ ἴσαι ΒΑΓ, ΕΔΖ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΒΚΓ περιφέρεια τῇ ΕΔΖ περιφερείᾳ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΓ, ΕΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΑΒΓ, ΔΕΖ κύκλοι, ἴσαι εἰσὶν αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΗ, ΗΓ δυσὶ ταῖς ΕΘ, ΘΖ ἴσαι εἰσί, καὶ γωνία ἡ πρὸς τῷ Η γωνίᾳ τῇ πρὸς τῷ Θ ἴση ἐστί· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ πρὸς τῷ Α γωνία τῇ πρὸς τῷ Δ, ὅμοιον ἄρα ἐστὶ τὸ ΒΑΓ τμῆμα τῷ ΕΔΖ τμήματι, καί εἰσιν ἐπὶ ἴσων εὐθειῶν τῶν ΒΓ, ΕΖ· τὰ δὲ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις εἰσίν· ἴσον ἄρα τὸ ΒΑΓ τμῆμα τῷ ΕΔΖ τμήματι. ἐστὶ δὲ καὶ ὅλος ὁ ΑΒΓ κύκλος ὅλῳ τῷ ΔΕΖ κύκλῳ ἴσος, λοιπὸν ἄρα τὸ ΒΚΓ τμῆμα λοιπῷ τῷ ΕΔΖ ἴσον· ἡ ἄρα ΒΚΓ περιφέρεια τῇ ΕΔΖ περιφερείᾳ ἐστὶν ἴση.



Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἐάντε πρὸς τοῖς κέντροις ἐάντε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ὑπὸ ἴσων περιφερειῶν βεβηκυῖαι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐάντε πρὸς τοῖς κέντροις ἐάντε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.

Ἐν γὰρ ἴσοις κύκλοις τοῖς ΑΒΓ, ΔΕΖ, καὶ ἐπὶ ἴσων περιφερειῶν τ ΒΓ, ΕΖ, πρὸς μὲν τοῖς Η, Θ κέντροις γωνίαι βεβηκέτωσαν αἱ ὑπὸ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ ταῖς περιφερείαις αἱ ὑπὸ ΒΑΓ, ΕΔΖ· λέγω ὅτι ἡ μὲν ὑπὸ ΒΗΓ τῇ ὑπὸ ΕΘΖ ἐστὶν ἴση, ἡ δὲ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.



Εἰ μὲν οὖν ἡ ὑπὸ ΒΗΓ ἴση ἐστὶ τῇ ὑπὸ ΕΘΖ, φανερόν ὅτι καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν. εἰ δὲ οὔ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΒΗΓ, καὶ συνεστάτω πρὸς τῇ ΒΗ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Η, τῇ ὑπὸ ΕΘΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΗΚ· αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ὅταν πρὸς τοῖς κέντροις

ΕΘΖ, ad circumferentias vero ΒΑΓ, ΕΔΖ: dico ΒΚΓ circumferentiam circumferentiæ ΕΔΖ æqualem esse.

Jungantur enim ΒΓ, ΕΖ.

Et quoniam æquales sunt ΑΒΓ, ΔΕΖ circuli, erunt & quæ ex centris æquales: duæ igitur ΒΗ, ΗΓ duabus ΕΘ, ΘΖ sunt æquales, & angulus ad Η æqualis angulo ad Θ: ergo & basis ΒΓ [per 4. 1.] basi ΕΖ est æqualis. & quoniam æqualis est angulus ad Α angulo ad Δ, segmentum ΒΑΓ simile erit [per 11. def. 3.] segmento ΕΔΖ, & sunt super æquales rectas lineas ΒΓ, ΕΖ; quæ autem super æquales rectas lineas similia sunt circulorum segmenta [per 24. 3.] sunt inter se æqualia: segmentum igitur ΒΑΓ segmento ΕΔΖ est æquale. sed & totus ΑΒΓ circulus æqualis est toti ΔΕΖ: reliquum igitur segmentum ΒΚΓ reliquo ΕΔΖ est æquale, circumferentia igitur ΒΚΓ circumferentiæ ΕΔΖ æqualis erit.



In æqualibus igitur circulis, æquales anguli æqualibus insistunt circumferentiis, sive ad centra sive ad circumferentias insistant. quod erat demonstrandum.

PROP. XXVII. THEOR.

In æqualibus circulis anguli qui æqualibus insistunt circumferentiis sunt inter se æquales, sive ad centra sive ad circumferentias insistant.

IN æqualibus enim circulis ΑΒΓ, ΔΕΖ æqualibus circumferentiis ΒΓ, ΕΖ insistant anguli ad centra quidem ΒΗΓ, ΕΘΖ, ad circumferentias vero ΒΑΓ, ΕΔΖ: dico angulum ΒΗΓ angulo ΕΘΖ, & angulum ΒΑΓ angulo ΕΔΖ æqualem esse.



Si enim angulus ΒΗΓ æqualis sit angulo ΕΘΖ, manifestum est [per 20. 3.] angulum quoque ΒΑΓ angulo ΕΔΖ esse æqualem. sin minus, unus ipsorum est major. sit major ΒΗΓ, & constituatur [per 23. 1.] ad rectam lineam ΒΗ, & ad punctum in ipsa Η angulo ΕΘΖ æqualis angulus ΒΗΚ; æquales autem anguli [per 26. 3.] æqualibus insistunt circumferentiis, quando ad

centra

centra fuerint: ergo circumferentia BK æqualis eſt circumferentiæ EZ. ſed circumferentia EZ æqualis eſt ipſi BΓ: ergo & BK ipſi BΓ eſt æqualis, minor majori, quod fieri non poteſt. non eſt igitur inæqualis angulus BHΓ angulo EΘZ: ergo eſt æqualis. eſt autem angulus ad A [per 20. 3.] dimidius anguli BHΓ, anguli vero EΘZ dimidius qui ad Δ: angulus igitur qui ad A angulo qui ad Δ eſt æqualis.



In æqualibus igitur circulis anguli qui æqualibus inſiſtunt circumferentiis ſunt inter ſe æquales, ſive ad centra ſive ad circumferentias inſiſtant. quod erat demonſtrandum.

ἴσον· ἴση ἄρα ἡ BK τῇ EZ περιφερείᾳ. ἀλλ' ἡ EZ τῇ BΓ ἐστιν ἴση, καὶ ἡ BK ἄρα τῇ BΓ ἐστιν ἴση, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ BHΓ γωνία τῇ ὑπὸ EΘZ· ἴση ἄρα. καὶ ἐστὶ τῆς μὲν ὑπὸ BHΓ ἡμίσεια ἡ πρὸς τῷ A, τῆς δὲ ὑπὸ EΘZ ἡμίσεια ἡ πρὸς τῷ Δ· ἴση ἄρα καὶ ἡ πρὸς τῷ A γωνία τῇ πρὸς τῷ Δ.



Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἐπὶ ἴσων περιφερειῶν βεβηκυῖαι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἔστω πρὸς τοῖς κέντροις ἔστω πρὸς ταῖς περιφερείαις ἴσαι βεβηκυῖαι. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVIII. Theor.

In æqualibus circulis æquales rectæ lineæ circumferentias æquales auferunt, majorem quidem majori, minorem vero minori.

ΠΡΟΤΑΣΙΣ κη'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἴσας εὐθείας ἴσους περιφερείας ἀφαιροῦσι, τὴν μὲν μείζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι.

Sint æquales circuli ABΓ, ΔEZ, & in ipſis æquales rectæ lineæ BΓ, EZ, quæ circumferentias quidem auferant majores BAΓ, EΔZ, minores vero BHΓ, EΘZ: dico circumferentiam BAΓ majorem majori circumferentiæ EΔZ, & minorem circumferentiam BHΓ minori EΘZ æquales eſſe.

Sumantur enim [per 1. 3.] centra circulorum K, Λ, junganturque BK, KΓ, EΛ, ΛZ.



Quoniam autem circuli ſunt æquales, erunt & quæ ex centris æquales: duæ igitur BK, KΓ ſunt æquales duabus EΛ, ΛZ, & baſis BΓ æqualis eſt baſi EZ: ergo angulus BKΓ [per 8. 1.] angulo EΛZ eſt æqualis. æquales autem anguli [per 26. 3.] æqualibus inſiſtunt circumferentiis, quando ad centra fuerint: quare circumferentia BHΓ æqualis eſt circumferentiæ EΘZ. ſed & totus ABΓ circulus toti ΔEZ eſt æqualis: reliqua igitur circumferentia BAΓ reliquæ EΔZ æqualis erit.

Ergo in æqualibus circulis æquales rectæ lineæ circumferentias æquales auferunt, majorem quidem majori, minorem vero minori. quod erat demonſtrandum.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ABΓ, ΔEZ, καὶ ἐν αὐτοῖς ἴσαι εὐθεῖαι ἔστωσαν αἱ BΓ, EZ, τὰς μὲν BAΓ, EΔZ περιφερείας μείζονας ἀφαιρούσας, τὰς δὲ BHΓ, EΘZ ἐλάττονας· λέγω ὅτι ἡ μὲν BAΓ μείζων περιφέρεια ἴση ἐστὶ τῇ EΔZ μείζονι περιφερείᾳ, ἡ δὲ BHΓ ἐλάττων περιφέρεια ἴση τῇ EΘZ ἐλάττονι.

Εἰλήφθω γὰρ τὰ κέντρα τῶν κύκλων, τὰ K, Λ, καὶ ἐπεζεύχθωσαν αἱ BK, KΓ, EΛ, ΛZ.



Καὶ ἐπεὶ ἴσοι κύκλοι εἰσίν, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ BK, KΓ δυσὶ ταῖς EΛ, ΛZ ἴσαι εἰσίν, καὶ βάσις ἡ BΓ βάσει τῇ EZ ἴση· γωνία ἄρα ἡ ὑπὸ BKΓ γωνίᾳ τῇ ὑπὸ EΛZ ἐστὶν ἴση. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ὅταν πρὸς τοῖς κέντροις ὦσιν· ἴση ἄρα ἡ περιφέρεια BHΓ τῇ EΘZ περιφερείᾳ. ἔστι δὲ καὶ ὅλος ὁ ABΓ κύκλος ὅλῳ τῷ ΔEZ κύκλῳ ἴσος· λοιπὴ ἄρα ἡ BAΓ περιφέρεια λοιπῇ τῇ EΔZ περιφερείᾳ ἴση ἐστίν.

Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἴσας εὐθείας ἴσους περιφερείας ἀφαιροῦσι, τὴν μὲν μείζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐν τοῖς ἴσοις κύκλοις ὑπὸ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ ἐν αὐτοῖς ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΒΗΓ, ΕΘΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΕΖ εὐθεῖαι· λέγω ὅτι ἴση ἐστὶν ἡ ΒΓ εὐθεῖα τῇ ΕΖ.

Εἰλήφθω γὰρ τὰ κέντρα τῶν κύκλων, τὰ Κ, Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΗΓ περιφέρεια τῇ ΕΘΖ περιφερείᾳ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΚΓ τῇ ὑπὸ ΕΛΖ. καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΑΒΓ, ΔΕΖ κύκλοι, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΚ, ΚΓ δυσὶ ταῖς ΕΛ, ΛΖ ἴσαι εἰσὶ, καὶ γωνίας περιέχουσι· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστίν.

Ἐν ἄρα τοῖς ἴσοις κύκλοις ὑπὸ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXIX. Theor.

In æqualibus circulis æquales circumferentias æquales rectæ lineæ ſubtendunt.

Sint æquales circuli ΑΒΓ, ΔΕΖ, & in ipſis æquales ſumantur circumferentiæ ΒΗΓ, ΕΘΖ, & ΒΓ, ΕΖ jungantur: dico rectam lineam ΒΓ rectæ ΕΖ æqualem eſſe.

Sumantur enim centra circulorum Κ, Λ, & jungantur ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.



Quoniam igitur circumferentia ΒΗΓ eſt æqualis circumferentiæ ΕΘΖ, erit [per 27. 3.] & angulus ΒΚΓ angulo ΕΛΖ æqualis. & quoniam circuli ΑΒΓ, ΔΕΖ ſunt æquales, & quæ ex centris æquales erunt: duæ igitur ΒΚ, ΚΓ ſunt æquales duabus ΕΛ, ΛΖ, & æquales angulos continent: quare baſis ΒΓ [per 4. 1.] baſi ΕΖ eſt æqualis.

In æqualibus igitur circulis æquales circumferentias æquales rectæ lineæ ſubtendunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λ'.

Τὴν δοθεῖσαν περιφέρειαν δίχα τεμεῖν.

Ἔστω ἡ δοθεῖσα περιφέρεια ἡ ΑΔΒ· δεῖ δὴ τὴν ΑΔΒ περιφέρειαν δίχα τεμεῖν.

Ἐπεζεύχθω ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Γ, καὶ ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΒ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, κοινὴ δὲ ἡ ΓΔ· δύο δὴ αἱ ΑΓ, ΓΔ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσί. καὶ γωνία ἡ ὑπὸ ΑΓΔ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση, ὀρθὴ γὰρ ἑκατέρα· καὶ βάσις ἡ ΑΔ βάσει τῇ ΔΒ ἴση ἐστίν. αἱ δὲ ἴσην εὐθεῖαν ἴσας περιφερείας ἀφαιροῦσι, τὴν μὲν μείζονα τῇ μείζονι, τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι· καὶ ἔστιν ἑκατέρα τῶν ΑΔ, ΔΒ περιφερειῶν ἐλάττων ἡμικυκλίου· ἴση ἄρα ἡ ΑΔ περιφέρεια τῇ ΔΒ περιφερείᾳ.

Ἡ ἄρα δοθεῖσα περιφέρεια δίχα τέτμηται. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXX. Probl.

Datam circumferentiam bifariam ſecare.

Sit data circumferentia ΑΔΒ: oportet ΑΔΒ circumferentiam bifariam ſecare.

Jungatur ΑΒ, & [per 10. 1.] bifariam ſecetur in Γ: à puncto autem Γ ipſi ΑΒ [per 11. 1.] ad rectos angulos ducatur ΓΔ, & jungantur ΑΔ, ΔΒ.

Quoniam igitur ΑΓ eſt æqualis ΓΒ, communis autem ΓΔ, duæ ΑΓ, ΓΔ duabus ΒΓ, ΓΔ ſunt æquales. & angulus ΑΓΔ æqualis angulo ΒΓΔ, rectus enim eſt uterque: ergo baſis ΑΔ [per 4. 1.] baſi ΔΒ eſt æqualis. æquales autem rectæ lineæ [per 28. 3.] circumferentias æquales auferunt, majorem quidem majori, minorem vero minori; & eſt utraque ipſarum ΑΔ, ΔΒ circumferentiarum ſemicirculo minor: quare circumferentia ΑΔ circumferentiæ ΔΒ æqualis erit.

Data igitur circumferentia bifariam ſecta eſt. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐν κύκλῳ, ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν· ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ὀρθῆς· ἡ δὲ ἐν τῷ ἐλάττονι μείζων ὀρθῆς.

Prop. XXXI. Theor.

In circulo, angulus qui in ſemicirculo rectus eſt: qui vero in majori ſegmento minor eſt recto: & qui in minori

nori major recto. & insuper majoris quidem segmenti angulus recto major est; minoris vero segmenti angulus recto minor.

SIT circulus ABΓΔ, cujus diameter BΓ, centrum autem E, & jungantur BA, AΓ, AΔ, ΔΓ: dico angulum quidem, qui est in semicirculo BAΓ, rectum esse; qui vero in segmento ABΓ majore semicirculo, videlicet angulum ABΓ, minorem esse recto; & qui in segmento AΔΓ minore semicirculo, [hoc est angulum AΔΓ] recto majorem esse.



Jungatur AE, & BA ad Z producatur.

Itaque quoniam BE est æqualis EA, erit & angulus EAB [per 5. 1.] angulo EBA æqualis. rursus, quoniam EA est æqualis EΓ, & angulus AΓE angulo ΓAE æqualis erit: totus igitur angulus BAΓ est æqualis duobus angulis ABΓ, AΓB. est autem & angulus ZAΓ, extra triangulum ABΓ, [per 32. 1.] duobus ABΓ, AΓB æqualis: angulus igitur BAΓ est æqualis angulo ZAΓ, ac propterea [per 10. def. 1.] uterque ipsorum rectus: quare in semicirculo BAΓ angulus BAΓ rectus est.

Et quoniam trianguli ABΓ duo anguli ABΓ, BAΓ [per 17. 1.] duobus rectis sunt minores, rectus autem BAΓ; erit ABΓ angulus recto minor, atque est in segmento ABΓ majore semicirculo.

Cum autem in circulo quadrilaterum sit ABΓΔ, quadrilaterorum vero, qui in circulis describuntur, anguli oppositi [per 22. 3.] duobus rectis sint æquales; erunt ABΓ, AΔΓ anguli æquales duobus rectis. & angulus ABΓ minor est recto: reliquus igitur AΔΓ recto major erit, atque est in segmento AΔΓ minore semicirculo.

Dico præterea majoris segmenti angulum, comprehensum à circumferentia ABΓ & recta linea AΓ, recto esse majorem; angulum vero minoris segmenti, comprehensum à circumferentia AΔΓ & recta linea AΓ, recto minorem. quod quidem perspicue apparet. Quoniam enim angulus à rectis lineis BA, AΓ comprehensus rectus est, erit & comprehensus à circumferentia ABΓ & recta linea AΓ major recto. rursus, quoniam angulus comprehensus à rectis lineis ΓA, AZ rectus est; erit angulus, qui comprehenditur à recta ΓA & AΔΓ circumferentia, minor recto.

In circulo igitur, angulus qui in semicirculo rectus est: qui vero in majore segmento minor est recto: & qui in minore major. & insuper majoris segmenti angulus est recto major, minoris vero segmenti minor. quod erat demonstrandum.

ALITER.

Demonstratur angulum BAΓ rectum esse.

καὶ ἔτι ἡ μὲν τὸ μείζονος τμήματος γωνία μείζων ἐστὶν ὀρθῆς· ἡ δὲ τὸ ἐλάττονος τμήματος γωνία ἐλάττων ἐστὶν ὀρθῆς.

ΕΣτω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΒΓ, κέντρον δὲ τὸ Ε, καὶ ἐπεζεύχθωσαν αἱ ΒΑ, ΑΓ, ΑΔ, ΔΓ. λέγω ὅτι ἡ μὲν ὑπὸ τὸ ΒΑΓ ἡμικυκλίου γωνία ὀρθή ἐστι· ἡ δὲ ὑπὸ τὸ ΑΒΓ μείζων τοῦ ἡμικυκλίου τμήματος γωνία, ἡ ὑπὸ ΑΒΓ, ἐλάττων ὀρθῆς· ἡ δὲ ὑπὸ τὸ ΑΔΓ ἐλάττων τοῦ ἡμικυκλίου τμήματος γωνία μείζων ἐστὶν ὀρθῆς.

Ἐπεζεύχθω ἡ ΑΕ, καὶ διήχθω ἡ ΒΑ ἐπὶ τὸ Ζ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΑ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΕΑΒ τῇ ὑπὸ ΕΒΑ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΓ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΓΑΕ· ὅλη ἄρα ἡ ὑπὸ ΒΑΓ δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ ἴση ἐστίν. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΖΑΓ ἐκτὸς τοῦ ΑΒΓ τριγώνου δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαις ἴση· ἴση ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΖΑΓ, ὀρθὴ ἄρα ἑκατέρα· ἡ ἄρα ὑπὸ τὸ ΒΑΓ ἡμικυκλίου γωνία ἡ ὑπὸ ΒΑΓ ὀρθή ἐστι.

ΚΑΙ ἐπεὶ τοῦ ΑΒΓ τριγώνου δύο γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΑΓ δυσὶν ὀρθῶν ἐλάττονές εἰσιν, ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΓ γωνία· ἐλάττων ἄρα ὀρθῆς ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία, ἐστὶν ἐν τῷ ΑΒΓ μείζονι τοῦ ἡμικυκλίου τμήματι.

ΚΑΙ ἐπεὶ τὸ κύκλῳ τετράπλευρόν ἐστι τὸ ΑΒΓΔ, τῶν δὲ ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΑΒΓ, ΑΔΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσί. καὶ ἔστιν ἡ ὑπὸ ΑΒΓ ἐλάττων ὀρθῆς· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΔΓ μείζων ἐστὶν ὀρθῆς, καὶ ἔστιν ἐν τῷ ἐλάττονι τοῦ ἡμικυκλίου τμήματι.

ΛΕΓΩ δὴ ὅτι καὶ ἡ μὲν τοῦ μείζονος τμήματος γωνία, ἡ περιεχομένη ὑπὸ τῆς ΑΒΓ περιφερείας καὶ τῆς ΑΓ εὐθείας, μείζων ἐστὶν ὀρθῆς· ἡ δὲ τοῦ ἐλάττονος τμήματος γωνία, ἡ περιεχομένη ὑπὸ τῆς ΑΔΓ περιφερείας καὶ τῆς ΑΓ εὐθείας, ἐλάττων ἐστὶν ὀρθῆς. καὶ ἔστιν αὐτόθεν φανερόν. Ἐπεὶ γὰρ ἡ ὑπὸ τῶν ΒΑ, ΑΓ εὐθειῶν περιεχομένη ὀρθή γωνία ἐστίν, ἡ ἄρα ὑπὸ τῆς ΑΒΓ περιφερείας καὶ τῆς ΑΓ εὐθείας περιεχομένη μείζων ἐστὶν ὀρθῆς. πάλιν, ἐπεὶ ἡ ὑπὸ τῶν ΓΑ, ΑΖ εὐθειῶν ὀρθή ἐστιν· ἡ ἄρα ὑπὸ τῆς ΓΑ εὐθείας καὶ τῆς ΑΔΓ περιφερείας ἐλάττων ἐστὶν ὀρθῆς.

Ἐν κύκλῳ ἄρα, ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν· ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ἐστὶν ὀρθῆς· ἡ δὲ ἐν τῷ ἐλάττονι μείζων ἐστὶν ὀρθῆς. Ἔτι ἡ μὲν τοῦ μείζονος τμήματος γωνία μείζων ἐστὶν ὀρθῆς· ἡ δὲ τοῦ ἐλάττονος τμήματος ἐλάττων ἐστὶν ὀρθῆς. ὅπερ ἔδει δεῖξαι.

ΑΛΛΩΣ.

Ἀπόδειξις τοῦ ὀρθὴν εἶναι τὴν ὑπὸ ΒΑΓ. ἐπεὶ

διπλῆ

διπλῆ ἐστιν ἡ ὑπὸ ΑΕΓ τῆς ὑπὸ ΒΑΕ, ἴση γὰρ δυσὶ τοῖς ἐντὸς καὶ ἀπεναντίον· ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΕΒ διπλῆ τῆς ὑπὸ ΕΑΓ· αἱ ἄρα ὑπὸ ΑΕΒ, ΑΕΓ διπλασίονές εἰσι τῆς ὑπὸ ΒΑΓ. ἀλλὰ αἱ ὑπὸ ΑΕΒ, ΑΕΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ἡ ἄρα ὑπὸ ΒΑΓ ὀρθή ἐστιν. ὅπερ ἔδει δεῖξαι.

quoniam enim angulus AEΓ duplus eſt anguli BAE, etenim duobus interioribus & oppoſitis [per 32. 1.] eſt æqualis: eſt autem & AEB duplus ipſius EAΓ: anguli AEB, AEΓ dupli erunt anguli BAΓ. ſed AEB, AEΓ anguli [per 13. 1.] duobus rectis ſunt æquales: ergo angulus BAΓ rectus eſt. quod erat demonſtrandum.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν τριγώνου ἡ μία γωνία δυσὶν ἴση ᾖ, ὀρθή ἐστι· διὰ τὸ τὴν ἐπ' αὐτὴν ἐκβεβλημένην ἐφεξῆς τῇ αὐτῇ ἴσην εἶναι. ὅταν δὲ αἱ ἐφεξῆς γωνίαι ἴσαι ἀλλήλαις ὦσιν, ὀρθαὶ εἰσιν.

Corollarium.

Hinc manifeſtum eſt, quod ſi unus angulus trianguli ſit æqualis duobus reliquis, eſt rectus: propterea quod ejus angulus deinceps iiſdem eſt æqualis. quando autem anguli deinceps ſunt æquales, [per 10. def. 1.] ſunt recti.

ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς ἐπὶ τὸν κύκλον διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ ἴσας ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις.

Prop. XXXII. Theor.

Si recta linea circulum contingat, à contactu autem ducatur recta linea circulum ſecans; anguli quos hæc cum contingente facit æquales erunt iis qui in alternis circuli ſegmentis conſiſtunt.

Κύκλου γὰρ τοῦ ΑΒΓΔ ἐφαπτέσθω τις εὐθεῖα ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ ἀπὸ τοῦ Β σημείου διήχθω τις εὐθεῖα διχοῦ τὸν ΑΒΓΔ κύκλον τέμνουσα αὐτὸν ἡ ΒΔ· λέγω ὅτι ἃς ποιεῖ γωνίας ἡ ΒΔ μετὰ τῆς ΕΖ ἐφαπτομένης ἴσας ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τμήμασι τοῦ κύκλου γωνίαις, τουτέστιν, ὅτι ἡ μὲν ὑπὸ ΖΒΔ ἴση ἐστὶ τῇ ἐν τῷ ΔΑΒ τμήματι συνισταμένῃ γωνίᾳ, ἡ δὲ ὑπὸ ΕΒΔ ἴση ἐστὶ τῇ ἐν τῷ ΔΓΒ τμήματι.

Circulum enim ABΓΔ contingat recta linea EZ in B, & à puncto B per circulum ABΓΔ ducatur recta linea BΔ ſecans illum utcunque: dico angulos quos BΔ cum contingente EZ facit æquales eſſe iis qui in alternis circuli ſegmentis conſiſtunt; hoc eſt, angulum ZBΔ eſſe æqualem angulo qui conſtituitur in ΔAB ſegmento, angulum vero EBΔ æqualem angulo qui in ſegmento ΔΓB conſtituitur.



Ἤχθω γὰρ ἀπὸ τοῦ Β τῇ ΕΖ πρὸς ὀρθὰς ἡ ΒΑ, καὶ εἰλήφθω ἐπὶ τῆς ΒΔ περιφερείας τυχὸν σημεῖον τὸ Γ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ, ΓΒ.

Ducatur enim [per 11. 1.] à puncto B ipſi EZ ad rectos angulos BA, & in circumferentia BΔ ſumatur quodvis punctum Γ, junganturque AΔ, ΔΓ, ΓB.

Καὶ ἐπεὶ κύκλου τοῦ ΑΒΓΔ ἐφάπτεταί τις εὐθεῖα ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ ἀπὸ τοῦ Β ἀφῆς ἦκταί τις ἡ ΒΑ τεμνοῦσα τὸν κύκλον, ἡ ἄρα ὑπὸ ΖΒΑ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ΑΔΒ τμήματι τοῦ κύκλου γωνίᾳ. ἀλλὰ καὶ ἡ ὑπὸ ΑΔΒ ἐν ἡμικυκλίῳ οὖσα ὀρθή ἐστι· λοιπαὶ ἄρα αἱ ὑπὸ ΒΑΔ, ΑΒΔ μιᾷ ὀρθῇ ἴσαι εἰσίν. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΒΖ ὀρθή· ἡ ἄρα ὑπὸ ΑΒΖ ἴση ἐστὶ ταῖς ὑπὸ ΒΑΔ, ΑΒΔ. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΑΒΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΒΖ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τμήματι τοῦ κύκλου γωνίᾳ, τῇ ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ΑΒΓΔ, αἱ ἀπεναντίον αὐτοῦ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΔΒΖ, ΔΒΕ τῇ ὑπὸ ΒΑΔ, ΒΓΔ ἴσαι εἰσίν, ὧν ἡ ὑπὸ ΒΑΔ τῇ ὑπὸ ΔΒΖ ἐδείχθη ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΒΕ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ ΑΓΒ, τῇ ὑπὸ ΔΓΒ γωνίᾳ, ἐστὶν ἴση.

Circulum enim ABΓΔ contingit recta linea EZ in puncto B, & à contactu, B ad rectos angulos contingenti ducta eſt BA, erit [per 19. 3.] in ipſa BA centrum circuli ABΓΔ: angulus igitur AΔB in ſemicirculo [per 31. 3.] eſt rectus; reliqui igitur anguli BAΔ, ABΔ uni recto ſunt æquales. eſt autem [per conſtr.] ABZ rectus: ergo [per 10. ax.] angulus ABZ æqualis eſt angulis BAΔ, ABΔ. communis auferatur ABΔ: reliquus igitur ΔBZ ei qui in alterno circuli ſegmento conſiſtit, videlicet angulo BAΔ, eſt æqualis. & quoniam in circulo quadrilaterum eſt ABΓΔ, anguli ejus oppoſiti [per 22. 3.] æquales ſunt duobus rectis; erunt igitur ΔBZ, ΔBE anguli [per 13. 1.] angulis BAΔ, BΓΔ æquales, è quibus BAΔ oſtenſus eſt æqualis ipſi ΔBZ: ergo reliquus ΔBE ei qui in alterno circuli ſegmento ΔΓB conſtituitur, videlicet angulo ΔΓB, æqualis erit.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς ἐπὶ τὸν κύκλον διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ ἴσας ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις. ὅπερ ἔδει δεῖξαι.

Si igitur recta linea circulum contingat, à contactu autem ducatur recta linea ſecans; anguli quos hæc cum contingente facit æquales erunt iis qui in alternis circuli ſegmentis conſiſtunt. quod erat demonſtrandum.

PROP. XXXIII. THEOR.

Super data recta linea deſcribere ſegmentum circuli, quod capiat angulum dato angulo rectilineo æqualem.

ΠΡΟΤΑΣΙΣ λγ'.

Επὶ τ δοθείσης εὐθείας γράψαι τμῆμα κύκλυ, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

SIT data recta linea AB, datus autem angulus rectilineus qui ad Γ: itaque oportet ſuper data recta linea AB deſcribere ſegmentum circuli, quod capiat angulum æqualem angulo qui eſt ad Γ. angulus igitur ad Γ vel eſt acutus, vel rectus, vel obtuſus.

Sit primum acutus, ut in prima figura, & ad rectam lineam AB & ad punctum in ea A conſtituatur [per 23. 1.] angulus BAΔ angulo qui eſt ad Γ æqualis: acutus igitur angulus eſt BAΔ. & à puncto A ipſi AΔ [per 11. 1.] ad rectos angulos ducatur AE, ſecetur autem [per 10. 1.] AB bifariam in Z, atque à puncto Z ducatur ZH ad rectos angulos ipſi AB, & HB jungatur. quoniam igitur AZ eſt æqualis ZB, communis autem ZH, duæ AZ, ZH duabus ZB, ZH ſunt æquales, & angulus AZH æqualis angulo HZB: ergo baſis AH [per 4. 1.] baſi HB eſt æqualis. itaque centro H, intervallo autem AH, circulus deſcriptus tranſibit etiam per B. deſcribatur, & ſit ABE, jungaturque EB. Quoniam igitur à puncto A extremitate diametri AB ipſi AB ad rectos angulos ducta eſt AΔ, ipſa AΔ [per 16. 3.] circulum continget. & quoniam circulum ABE contingit recta linea AΔ, & à contactu qui eſt ad A in circulum ABE ducta eſt recta linea AB; erit [per 32. 3.] angulus ΔAB æqualis angulo qui in alterno circuli ſegmento conſtituitur, videlicet ipſi AEB. ſed angulus ΔAB angulo qui ad Γ eſt æqualis: ergo & angulus ad Γ angulo AEB æqualis erit. Super data igitur recta linea AB ſegmentum circuli deſcriptum eſt AEB, quod capiat angulum AEB, dato angulo qui ad Γ æqualem.



Sit deinde angulus qui ad Γ rectus: & oporteat rurſus ſuper rectam lineam AB deſcribere circuli ſegmentum, quod capiat angulum æqualem recto angulo qui eſt ad Γ. Conſtituatur enim rurſus angulo recto qui ad Γ [per 23. 1.] æqualis angulus BAΔ, ut in ſecunda figura; ſeceturque AB [per 10. 1.] bifariam in Z, & centro Z intervallo autem æquali alterutri ipſarum AZ, ZB circulus deſcribatur AEB. Ergo AΔ recta linea [per 16. 3.] circulum ABE contingit, propterea quod rectus eſt qui ad A angulus. & angulus BAΔ æqualis angulo, qui eſt in ſegmento AEB; rectus enim & ipſe eſt [per

Εστω ἡ δοθεῖσα εὐθεῖα ἡ AB, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Γ· δεῖ δὴ ἀπὸ τ δοθείσης εὐθείας τ AB γράψαι τμῆμα κύκλυ, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ γωνίᾳ. ἡ γὰρ πρὸς τῷ Γ ἤτοι ὀξεῖά ἐστιν, ἢ ὀρθὴ, ἢ ἀμβλεῖα.

Εστω πρότερον ὀξεῖα, ὡς ἐπὶ τ πρώτης καταγραφῆς, καὶ συνεστάτω πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ A σημείῳ τῇ πρὸς τῷ Γ γωνίᾳ ἴση ἡ ὑπὸ BAΔ· ὀξεῖα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ BAΔ. καὶ ἤχθω τῇ AΔ ἀπὸ τ A σημείου πρὸς ὀρθὰς ἡ AE, καὶ τετμήσθω ἡ AB δίχα κατὰ τὸ Z, καὶ ἤχθω ἀπὸ τ Z σημείου τῇ AB πρὸς ὀρθὰς ἡ ZH, καὶ ἐπεζεύχθω ἡ HB. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AZ τῇ ZB, κοινὴ δὲ ἡ ZH, δύο δὴ αἱ AZ, ZH δυσὶ τ ZB, ZH ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ AZH τῇ ὑπὸ HZB ἴση· βάσις ἄρα ἡ AH βάσει τῇ HB ἴση ἐστίν. ὁ ἄρα κέντρῳ μὲν τῷ H, διαστήματι δὲ τῷ AH, κύκλος γραφόμενος ἥξει καὶ διὰ τ B. γεγράφθω, καὶ ἔστω ὁ ABE, καὶ ἐπεζεύχθω ἡ EB. ἐπεὶ οὖν ἀπ' ἄκρας τ AE διαμέτρου, ἀπὸ δ' A, τῇ AE πρὸς ὀρθὰς ἐστὶν ἡ AΔ, ἡ AΔ ἄρα ἐφάπτεται τ κύκλυ. Καὶ ἐπεὶ δ' ABE κύκλυ ἐφάπτεταί τις εὐθεῖα ἡ AΔ, καὶ ἀπὸ τῆς κατὰ τὸ A ἀφῆς ἐπὶ τὸν ABE κύκλον διῆκταί τις εὐθεῖα ἡ AB· ἡ ἄρα ὑπὸ ΔAB γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τμήματι γωνίᾳ τῇ ὑπὸ AEB. ἀλλ' ἡ ὑπὸ ΔAB τῇ πρὸς τῷ Γ ἐστὶν ἴση· καὶ ἡ πρὸς τῷ Γ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ AEB. Επὶ τῆς δοθείσης ἄρα εὐθείας τῆς AB τμῆμα κύκλυ γεγραπται τὸ AEB, δεχόμενον γωνίαν τὴν ὑπὸ AEB ἴσην τῇ δοθείσῃ τῇ πρὸς τῷ Γ.

Αλλὰ δὴ ὀρθὴ ἔστω ἡ πρὸς τῷ Γ· καὶ δέον πάλιν ἔστω ἐπὶ τῆς AB γράψαι τμῆμα κύκλυ δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ ὀρθῇ. Συνεστάτω γὰρ πάλιν τῇ πρὸς τῷ Γ ὀρθῇ γωνίᾳ ἴση ἡ ὑπὸ BAΔ, ὡς ἔχει ἐπὶ τ δευτέρας καταγραφῆς, καὶ τετμήσθω ἡ AB δίχα κατὰ τὸ Z, καὶ κέντρῳ μὲν τῷ Z, διαστήματι δὲ ὁποτέρῳ τῶν AZ, ZB, κύκλος γεγράφθω ὁ AEB· Εφάπτεται ἄρα ἡ AΔ εὐθεῖα τ ABE κύκλυ, διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς τῷ A γωνίαν. καὶ ἐστὶν ἡ μὲν ὑπὸ BAΔ γωνία τῇ ἐν τῷ AEB τμήματι ἴση, ὀρθὴ γὰρ καὶ αὐτὴ ἐν ἡμικυκλίῳ

:

κλίῳ οὖσα. ἀλλὰ ἡ ὑπὸ ΒΑΔ τῇ πρὸς τῷ Γ ἐστιν ἴση. Γέγραπται ἄρα πάλιν ἐπὶ τῆς ΑΒ τμῆμα κύκλου τὸ ΑΕΒ, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ.

Αλλὰ δὴ ἡ πρὸς τῷ Γ ἀμβλεῖα ἔστω, καὶ συνεστάτω αὐτῇ ἴση πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ Α σημείῳ ἡ ὑπὸ ΒΑΔ, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ τῇ ΑΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΑΕ, καὶ τετμήσθω πάλιν ἡ ΑΒ δίχα κατὰ τὸ Ζ, καὶ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΗΒ. καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, καὶ κοινὴ ἡ ΖΗ, δύο δὴ αἱ ΖΗ, ΑΖ δυσὶ ταῖς ΒΖ, ΖΗ ἴσαι εἰσὶ, καὶ γωνία ὑπὸ ΑΖΗ γωνίᾳ τῇ ὑπὸ ΒΖΗ ἴση· βάσις ἄρα ἡ ΑΗ βάσει τῇ ΗΒ ἴση ἐστίν. ὁ ἄρα κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΑΗ, κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Β. οἰχέσθω ὡς ΑΕΒ. καὶ ἐπεὶ τῇ ΑΕ διαμέτρῳ ἀπ' ἄκρας πρὸς ὀρθὰς ἦκται ἡ ΑΔ, ἡ ΑΔ ἄρα ἐφάπτεται τοῦ ΑΕΒ κύκλου. Καὶ ἐπεὶ τοῦ κατὰ τὸ Α ἐπαφῆς διῆκται ἡ ΑΒ· ἡ ἄρα ὑπὸ ΒΑΔ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ ΑΘΒ συνιστάμενῃ γωνίᾳ. ἀλλὰ ἡ ὑπὸ ΒΑΔ γωνία τῇ πρὸς τῷ Γ ἴση ἐστί· καὶ ἡ ἐν τῷ ΑΘΒ ἄρα τμήματι γωνία ἴση ἐστὶ τῇ πρὸς τῷ Γ. Επὶ τοῦ δοθείσης ἄρα εὐθείας τῆς ΑΒ γέγραπται τμῆμα κύκλου τὸ ΑΘΒ, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ. ὅπερ ἔδει ποιῆσαι.

31. 3.] in ſemicirculo conſiſtens. ſed anguli BAΔ æqualis eſt ei qui ad Γ. Deſcripta igitur eſt rurſus ſuper recta linea AB ſegmentum circuli AEB, quod capiat angulum angulo recto qui ad Γ æqualem.

Denique ſit angulus ad Γ obtuſus, & ad rectam lineam AB & ad punctum A conſtituatur [per 23. 1.] ipſi æqualis angulus BAΔ, ut in tertia figura; & ipſi AΔ rectæ lineæ ad rectos angulos [per 11. 1.] ducatur AE, ſeceturque rurſus AB [per 10. 1.] bifariam in Z, ipſi vero AB ducatur ad rectos angulos ZH, & jungatur HB. quoniam autem AZ eſt æqualis ZB, communis autem ZH, duæ ZH, AZ duabus BZ, ZH ſunt æquales, & angulus AZH angulo BZH æqualis: baſis igitur AH [per 4. 1.] eſt æqualis baſi HB. quare centro H, intervallo autem AH, circulus deſcriptus etiam per B tranſibit. tranſeat ut AEB. Et quoniam diametro AE, ab extremitate ad rectos angulos ducta eſt AΔ, ipſa AΔ [per 16. 3.] circulum AEB continget. & à contactu qui eſt ad A ducta eſt AB: quare angulus BAΔ ei qui in alterno circuli ſegmento AΘB conſtituitur eſt æqualis. ſed BAΔ angulus æqualis eſt angulo qui ad Γ: angulus igitur qui in ſegmento AΘB angulo qui ad Γ æqualis erit. Ergo ſuper data recta linea AB deſcriptum eſt AΘB circuli ſegmentum, quod capiat angulum æqualem ei qui eſt ad Γ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λδ'.

Απὸ τοῦ δοθέντος κύκλου τμῆμα ἀφελεῖν, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

PROP. XXXIV. PROBL.

A dato circulo ſegmentum abſcindere, quod capiat angulum dato angulo rectilineo æqualem.

Εστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Δ· δεῖ δὴ δὴ τοῦ ΑΒΓ κύκλου τμῆμα ἀφελεῖν, δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Δ γωνίᾳ.

Ηχθω τοῦ ΑΒΓ κύκλου ἐφαπτομένη ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ συνεστάτω πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ πρὸς τῷ Δ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΒΓ.



Επεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΕΖ, καὶ ἀπὸ τοῦ κατὰ τὸ Β ἐπαφῆς διῆκται ἡ ΒΓ· ἡ ὑπὸ ΖΒΓ ἄρα ἴση ἐστὶ τῇ ἐν τῷ ΒΑΓ ἐναλλὰξ τμήματι συνισταμένῃ γωνίᾳ. ἀλλ' ἡ ὑπὸ ΖΒΓ τῇ πρὸς τῷ Δ ἐστιν ἴση· καὶ ἡ ἐν τῷ ΒΑΓ ἄρα τμήματι γωνία ἴση ἐστὶ τῇ πρὸς τῷ Δ.

Απὸ τοῦ δοθέντος ἄρα κύκλου τοῦ ΑΒΓ τμῆμα ἀφῄρηται τὸ ΒΑΓ, δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ πρὸς τῷ Δ. ὅπερ ἔδει ποιῆσαι.

SIT datus circulus ABΓ, datus autem angulus rectilineus qui ad Δ: oportet à circulo ABΓ ſegmentum abſcindere, quod capiat angulum angulo qui ad Δ æqualem.

Ducatur [per 17. 3.] recta linea EZ contingens circulum ABΓ in puncto B, & ad rectam lineam ZE: & ad punctum in ea B conſtituatur [per 23. 1.] angulus ZBΓ angulo qui eſt ad Δ æqualis.

Quoniam igitur circulum ABΓ contingit recta linea EZ, & à contactu B ducta eſt BΓ, erit [per 32. 3.] angulus ZBΓ æqualis ei qui in BAΓ alterno circuli ſegmento conſtituitur. ſed ZBΓ angulus angulo qui ad Δ eſt æqualis: ergo & angulus qui in ſegmento BAΓ angulo qui ad Δ æqualis erit.

A dato igitur circulo ABΓ abſciſſum eſt ſegmentum BAΓ, quod capiat angulum dato angulo rectilineo qui eſt ad Δ æqualem. quod erat faciendum.

PROP. XXXV. THEOR.

Si in circulo duæ rectæ lineæ seſe mutuo secent, rectangulum sub segmentis unius comprehensum æquale est ei quod sub alterius segmentis comprehenditur.

IN circulo enim ΑΒΓΔ duæ rectæ lineæ ΑΓ, ΒΔ seſe mutuo secent in puncto Ε: dico rectangulum comprehensum sub ΑΕ, ΕΓ æquale esse ei quod comprehenditur sub ΔΕ, ΕΒ.

Si igitur ΑΓ, ΒΔ per centrum transeant, ita ut Ε sit centrum circuli ΑΒΓΔ; manifestum est, æqualibus existentibus ΑΕ, ΕΓ, ΔΕ, ΕΒ, & rectangulum comprehensum sub ΑΕ, ΕΓ æquale esse ei quod sub ΔΕ, ΕΒ comprehenditur.

Rectæ autem ΑΓ, ΔΒ non transeant per centrum, & sumatur [per 1. 3.] centrum circuli ΑΒΓΔ quod sit Ζ, & à Ζ ad rectas lineas ΑΓ, ΔΒ [per 12. 1.] perpendiculares ducantur ΖΗ, ΖΘ, junganturque ΖΒ, ΖΓ, ΖΕ.



Quoniam igitur recta linea ΗΖ per centrum ducta rectam lineam ΑΓ non ductam per centrum ad rectos angulos secat, [per 3. 3.] & bifariam ipsam secabit: quare ΑΗ ipsi ΗΓ est æqualis. & quoniam recta linea ΑΓ secta est in partes æquales in puncto Η, & in partes inæquales in Ε, erit [per 5. 2.] rectangulum sub ΑΕ, ΕΓ comprehensum una cum ipsius ΗΕ quadrato æquale quadrato ex ΗΓ. commune addatur ex ΗΖ quadratum: ergo rectangulum sub ΑΕ, ΕΓ una cum iis quæ ex ΗΕ, ΗΖ quadratis æquale est quadratis ex ΓΗ, ΗΖ. sed quadratis quidem ex ΕΗ, ΗΖ æquale est [per 47. 1.] quadratum ex ΖΕ; quadratis vero ex ΓΗ, ΗΖ æquale quod ex ΖΓ quadratum: rectangulum igitur sub ΑΕ, ΕΓ una cum quadrato ex ΖΕ æquale est quadrato ex ΖΓ. est autem ΖΓ æqualis ΖΒ: ergo rectangulum sub ΑΕ, ΕΓ una cum quadrato ex ΕΖ æquale est ei quod ex ΖΒ quadrato. eadem ratione & rectangulum sub ΔΕ, ΕΒ una cum quadrato ex ΖΕ æquale est quadrato ex ΖΒ. ostensum autem est & rectangulum sub ΑΕ, ΕΓ una cum quadrato ex ΖΕ æquale ei quod ex ΖΒ quadrato: ergo rectangulum sub ΑΕ, ΕΓ una cum quadrato ex ΖΕ æquale est rectangulo sub ΔΕ, ΕΒ una cum quadrato ex ΖΕ. commune auferatur quod ex ΖΒ quadratum: reliquum igitur rectangulum sub ΑΕ, ΕΓ reliquo sub ΔΕ, ΕΒ rectangulo æquale erit.

Quare si in circulo duæ rectæ lineæ seſe mutuo secent, rectangulum sub segmentis unius

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τῆς ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

ΕΝ γὰρ τῷ κύκλῳ τῷ ΑΒΓΔ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Εἰ μὲν οὖν αἱ ΑΓ, ΒΔ διὰ τοῦ κέντρου εἰσίν, ὥστε τὸ Ε κέντρον εἶναι τοῦ ΑΒΓΔ κύκλου· φανερὸν ὅτι, ἴσων ὄντων τῶν ΑΕ, ΕΓ, ΔΕ, ΕΒ, καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐσωσαν δὴ αἱ ΑΓ, ΔΒ μὴ διὰ τοῦ κέντρου, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ, καὶ ἔστω τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὰς ΑΓ, ΔΒ εὐθείας κάθετοι ἤχθωσαν αἱ ΖΗ, ΖΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΓ, ΖΕ.



Καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΗΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τεμεῖ· ἴση ἄρα ἡ ΑΗ τῇ ΗΓ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΓ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ε, τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΗΕ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΓ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΗΖ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τῶν ἀπὸ τῶν ΗΕ, ΗΖ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΖ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΕΗ, ΗΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΕ, τοῖς δὲ ἀπὸ τῶν ΓΗ, ΗΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΓ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. ἐδείχθη δὲ ὅτι καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐὰν ἄρα ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον

μένου ὀρθογωνίου ἴσου ἐστὶ τῷ ἀπὸ τῶν τῆς ἐκτὸς τμημάτων περιεχομένῳ ὀρθογωνίῳ. ὅπερ ἔδει δεῖξαι.

comprehenſum æquale eſt ei quod ſub alterius ſegmentis comprehenditur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, καὶ ἀπ' αὐτοῦ πρὸς τὸν κύκλον προσπίπτωσιν δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτηται· ἔσται τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας περιεχόμενον ὀρθογώνιον ἴσον τῷ ἀπὸ τῆς ἐφαπτομένης τετραγώνῳ.

Prop. XXXVI. Theor.

Si extra circulum aliquod punctum ſumatur, & ab eo in circulum cadant duæ rectæ lineæ, quarum altera circulum ſecet, altera vero contingat; rectangulum, comprehenſum ſub tota ſecante & exteriore ſegmento inter punctum & convexam circumferentiam, æquale erit ei quod à contingente fit quadrato.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓΑ, ΔΒ, καὶ ἡ μὲν ΔΓΑ τεμνέτω τὸν ΑΒΓ κύκλον, ἡ δὲ ΔΒ ἐφαπτέσθω· λέγω ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ τετραγώνῳ. ἡ ΔΓΑ ἤτοι διὰ τοῦ κέντρου ἐστὶν, ἢ οὔ.

Ἐστω πρότερον διὰ τοῦ κέντρου, καὶ ἔστω τὸ Ζ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἐπεζεύχθω ἡ ΖΒ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΒΔ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ δίχα τέτμηται κατὰ τὸ Ζ, προσκεῖται δὲ αὐτῇ ἡ ΓΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. ἴσον δὲ τὸ ἀπὸ τῆς ΖΔ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΔ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΖΒΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ ἐφαπτομένης.



Ἀλλὰ δὴ ἡ ΔΓΑ μὴ ἔστω διὰ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου, καὶ εἰλήφθω τὸ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΓ κάθετος ἤχθω ἡ ΕΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΕΓ, ΕΔ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΕΖΔ. καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τεμεῖ· ἡ ΑΖ ἄρα τῇ ΖΓ ἐστὶν ἴση. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ τέτμηται δίχα κατὰ τὸ Ζ, προσκεῖται δὲ αὐτῇ ἡ ΓΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. κοινὸν προσ-

Extra circulum enim ΑΒΓ ſumatur aliquod punctum Δ, & ab eo ad dictum circulum cadant duæ rectæ lineæ ΔΓΑ, ΔΒ; & ΔΓΑ quidem circulum ΑΒΓ ſecet; ΔΒ vero contingat: dico rectangulum ſub ΑΔ, ΔΓ æquale eſſe quadrato quod fit ex ΔΒ. vel igitur ΔΓΑ per centrum tranſit, vel non.

Tranſeat primum per centrum circuli ΑΒΓ, quod ſit Ζ, & jungatur ΖΒ: erit igitur [per 18. 3.] angulus ΖΒΔ rectus. itaque, quoniam recta linea ΑΓ bifariam ſecta eſt in Ζ & ipſi adjicitur ΓΔ, rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΓ æquale erit [per 6. 2.] ei quod fit ex ΖΔ quadrato. æqualis autem eſt ΖΓ ipſi ΖΒ: ergo rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΒ æquale eſt quadrato ex ΖΔ. ſed quadratum ex ΖΔ [per 47. 1.] eſt æquale quadratis ipſarum ΖΒ, ΒΔ, rectus enim eſt angulus ΖΒΔ: rectangulum igitur ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΒ æquale eſt ipſarum ΖΒ, ΒΔ quadratis. communi auferatur quadratum ex ΖΒ: ergo reliquum ſub ΑΔ, ΔΓ rectangulum æquale erit quadrato quod fit à contingente ΔΒ.



Sed ΔΓΑ non tranſeat per centrum circuli ΑΒΓ, ſumaturque centrum Ε, & ab ipſo Ε ad ΑΓ [per 12. 1.] perpendicularis agatur ΕΖ, & jungantur ΕΒ, ΕΓ, ΕΔ: rectus igitur eſt ΕΖΔ angulus. & quoniam recta linea ΕΖ per centrum ducta rectam lineam ΑΓ non ductam per centrum ad rectos angulos ſecat, [per 3. 3.] & bifariam ipſam ſecabit: quare ΑΖ ipſi ΖΓ eſt æqualis. rurſus, quoniam recta linea ΑΓ bifariam ſecta eſt in Ζ atque ipſi adjicitur ΓΔ, erit [per 6. 2.] rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΖΓ æquale quadrato ex ΖΔ. com-

mune

mune addatur ex ΖΕ quadratum: rectangulum igitur ſub ΑΔ, ΔΓ una cum quadratis ex ΓΖ, ΖΕ eſt æquale quadratis ex ΔΖ, ΖΕ. ſed quadratis quidem ex ΔΖ, ΖΕ æquale eſt [per 47. 1.], ex ΔΕ quadratum, etenim rectus eſt angulus ΕΖΔ; quadratis vero ex ΓΖ, ΖΕ æquale eſt quadratum ex ΓΕ: ergo rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΓΕ eſt æquale quadrato ex ΕΔ. æqualis autem eſt ΓΕ ipſi ΕΒ: rectangulum igitur ſub ΑΔ, ΔΓ una cum quadrato ex ΕΒ æquale eſt ei quod ex ΕΔ fit quadrato. ſed quadrato ex ΕΔ æqualia ſunt [per 47. 1.] quadrata ex ΕΒ, ΒΔ, ſiquidem rectus eſt angulus ΕΒΔ: ergo rectangulum ſub ΑΔ, ΔΓ una cum quadrato ex ΕΒ æquale eſt eis quæ ex ΕΒ, ΒΔ fiunt quadratis. commune auferatur quadratum ex ΕΒ: reliquum igitur ſub ΑΔ, ΔΓ rectangulum quadrato quod fit ex ΔΒ æquale erit.



Si igitur extra circulum aliquod punctum ſumatur, & quæ ſequuntur. quod erat demonſtrandum.

κύκλου τὸ ἀπὸ τῆς ΖΕ. τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τῶν ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΔΖ, ΖΕ. τοῖς δὲ ἀπὸ τῶν ΔΖ, ΖΕ ἴσον τὸ ἀπὸ τῆς ΔΕ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΕΖΔ· τοῖς δὴ ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΕ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΔ. ἴση δὲ ἡ ΓΕ τῇ ΕΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΔ. τῷ δὲ ἀπὸ τῆς ΕΔ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΒ, ΒΔ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΕΒΔ γωνία· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΕΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΕΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ.



Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, καὶ ἀπὸ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, ἡ δὲ τὸ ὑπὸ τῆς ὅλης τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης· ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου.

Prop. XXXVII. Theor.

Si extra circulum ſumatur aliquod punctum, atque ab eo in circulum cadant duæ rectæ lineæ, quarum altera quidem circulum ſecet, altera vero in eum incidat, ſit autem rectangulum comprehenſum ſub tota ſecante & exteriore ſegmento inter punctum & convexam circumferentiam æquale ei quod ab incidente fit quadrato; incidens linea circulum continget.

EXtra circulum enim ΑΒΓ ſumatur aliquod punctum Δ, atque à puncto Δ in circulum ΑΒΓ cadant duæ rectæ lineæ ΔΓΑ, ΔΒ, & ΔΓΑ quidem circulum ſecet, ΔΒ vero in illum incidat, ſitque rectangulum ſub ΑΔ, ΔΓ æquale quadrato quod fit ex ΔΒ: dico ipſam ΔΒ circulum ΑΒΓ contingere.

Ducatur enim [per 17. 3.] recta linea ΔΕ contingens circulum ΑΒΓ, & ſumatur [per 1. 3.] circuli ΑΒΓ centrum quod ſit Ζ, jungunturque ΖΕ, ΖΒ, ΖΔ: ergo [per 18. 3.] angulus ΖΕΔ rectus eſt.

Et quoniam ΔΕ circulum ΑΒΓ contingit, ſecat autem ΔΓΑ, rectangulum ſub ΑΔ, ΔΓ æquale erit [per 36. 3.] quadrato ex ΔΕ. ſed rectangulum ſub ΑΔ, ΔΓ ponitur æquale quadrato ex ΔΒ: quadratum igitur

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, ἡ δὲ τὸ ὑπὸ τῆς ὅλης τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης· ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓΑ, ΔΒ, καὶ ἡ μὲν ΔΓΑ τεμνέτω τὸν κύκλον, ἡ δὲ ΔΒ προσπιπτέτω, ἔστω δὲ τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον τῷ ἀπὸ τῆς ΔΒ· λέγω ὅτι ἡ ΔΒ ἐφάπτεται τοῦ ΑΒΓ κύκλου.

Ἤχθω γὰρ τοῦ ΑΒΓ ἐφαπτομένη ἡ ΔΕ, καὶ εἰλήφθω τὸ Ζ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἐπεζεύχθωσαν αἱ ΖΕ, ΖΒ, ΖΔ· ἡ ἄρα ὑπὸ ΖΕΔ ὀρθή ἐστι.

Καὶ ἐπεὶ ἡ ΔΕ ἐφάπτεται τοῦ ΑΒΓ κύκλου, τέμνει δὲ ἡ ΔΓΑ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΕ. ὑπόκειται δὲ τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον τῷ ἀπὸ τῆς ΔΒ· τὸ ἄρα ἀπὸ τῆς

ΔΕ

ΔΕ ἴσον τῷ ἀπὸ τῆς ΔΒ· ἴση ἄρα ἡ ΔΕ τῇ ΔΒ. ἔστι δὲ καὶ ἡ ΖΕ τῇ ΖΒ ἴση, δύο δὴ αἱ ΔΕ, ΕΖ δυσὶ ταῖς ΔΒ, ΒΖ ἴσαι εἰσὶ, καὶ βάσις αὐτῶν κοινὴ ἡ ΖΔ· γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίᾳ τῇ ὑπὸ ΔΒΖ ἐστὶν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΕΖ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΔΒΖ. ἡ δέ ἐστιν ἡ ΖΒ ἐκβαλλομένη διάμετρος, ἡ δὲ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐφάπτεται τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δειχθήσεται κἂν τὸ κέντρον ἐπὶ τῆς ΑΓ τυγχάνῃ.



ex Δ Β quadrato ex Δ Β æquale erit, ac propterea linea Δ Ε ipſi Δ Β æqualis. eſt autem & Ζ Ε æqualis Ζ Β: duæ igitur Δ Ε, Ε Ζ duabus Δ Β, Β Ζ ſunt æquales, & baſis ipſarum communis Ζ Δ: angulus igitur Δ Ε Ζ [per 8. 1.] eſt æqualis angulo Δ Β Ζ. rectus autem eſt Δ Ε Ζ: ergo & Δ Β Ζ eſt rectus. atque Ζ Β producta eſt diameter: quæ vero diametro circuli ad rectos angulos ab extremitate ducitur [per 16. 3.] contingit circulum Α Β Γ. ſimiliter etiam demonſtrabitur ſi centrum ſit in ipſa Α Γ.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτὸς, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

Si igitur extra circulum ſumatur aliquod punctum, & quæ ſequuntur. quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER QUARTUS.

DEFINITIONES.

1. FIGURA rectilinea in figura rectilinea inſcribi dicitur, quando unuſquiſque figuræ inſcriptæ angulus contingit unumquodque latus ejus in qua inſcribitur.

2. Figura ſimiliter circa figuram circumſcribi dicitur, quando unumquodque latus circumſcriptæ contingit unumquemque angulum ejus circa quam circumſcribitur.

3. Figura rectilinea in circulo inſcribi dicitur, quando unuſquiſque inſcriptæ figuræ angulus circuli circumferentiam contingit.

4. Figura rectilinea circa circulum circumſcribi dicitur, quando unumquodque latus circumſcriptæ circuli circumferentiam contingit.

5. Circulus ſimiliter in figura rectilinea inſcribi dicitur, quando circuli circumferentia unumquodque latus ejus in qua inſcribitur contingit.

6. Circulus circa figuram rectilineam circumſcribi dicitur, quando circuli circumferentia unumquemque angulum ejus circa quam circumſcribitur contingit.

7. Recta linea in circulo aptari dicitur, quando ejus termini in circuli circumferentia fuerint.

ΟΡΟΙ.

α'. ΣΧΗΜΑ εὐθύγραμμον εἰς σχῆμα εὐθύγραμμον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη τῶν ἐγγραφομένου σχήματος γωνιῶν ἑκάστης πλευρᾶς ἓν εἰς ὃ ἐγγράφεται ἅπτηται.

β. Σχῆμα δὲ ὁμοίως εἰς σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τῶν περιγραφομένου ἑκάστης γωνίας ἓν ἐφ' ὃ περιγράφεται ἅπτηται.

γ'. Σχῆμα δὲ εὐθύγραμμον εἰς κύκλον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη γωνία τοῦ ἐγγραφομένου ἅπτηται τῆς τοῦ κύκλου περιφερείας.

δ'. Σχῆμα δὲ εὐθύγραμμον περὶ κύκλον περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τῆς τοῦ κύκλου περιφερείας τοῦ περιγραφομένου ἐφάπτηται.

ε'. Κύκλος δὲ ὁμοίως εἰς σχῆμα λέγεται ἐγγράφεσθαι, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης πλευρᾶς ἓν εἰς ὃ ἐγγράφεται ἅπτηται.

ϛ'. Κύκλος δὲ περὶ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης γωνίας ἓν περὶ ὃ περιγράφεται ἅπτηται.

ζ'. Εὐθεῖα εἰς κύκλον ἐναρμόζεσθαι λέγεται, ὅταν τὰ πέρατα αὐτῆς ὦσι ἐπὶ τῆς περιφερείας ἡ τοῦ κύκλου.

ΠΡΟΤΑΣΙΣ α'.

Εἰς τὸν δοθέντα κύκλον τῇ δοθείσῃ εὐθείᾳ, μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου, ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθεῖα μὴ μείζων τῆς τοῦ κύκλου διαμέτρου ἡ Δ· δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἤχθω τοῦ ΑΒΓ κύκλου διάμετρος ἡ ΒΓ. εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΒΓ τῇ Δ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν. ἐνήρμοσται γὰρ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴση ἡ ΒΓ. εἰ δὲ οὔ, μείζων ἐστὶν ἡ ΒΓ τῆς Δ, καὶ κείσθω τῇ Δ ἴση ἡ ΓΕ, καὶ κέντρῳ μὲν τῷ Γ διαστήματι δὲ τῷ ΓΕ κύκλος γεγράφθω ὁ ΑΕΖ, καὶ ἐπεζεύχθω ἡ ΓΑ.



Ἐπεὶ οὖν τὸ Γ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΕΖ κύκλου, ἴση ἐστὶν ἡ ΓΑ τῇ ΓΕ. ἀλλὰ ἡ Δ τῇ ΓΕ ἐστὶν ἴση· καὶ ἡ Δ ἄρα τῇ ΓΑ ἐστὶν ἴση.

Εἰς ἄρα τὸν δοθέντα κύκλον τὸν ΑΒΓ, τῇ δοθείσῃ εὐθείᾳ, μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου, τῇ Δ, ἴση ἐνήρμοσται ἡ ΓΑ. ὅπερ ἔδει ποιῆσαι.

PROPOSITIO I. PROBLEMA.

In dato circulo datæ rectæ lineæ, quæ diametro ejus major non sit, æqualem rectam lineam aptare.

SIT datus circulus ABΓ, data autem recta linea Δ non major circuli diametro: oportet in circulo ABΓ rectæ lineæ Δ æqualem rectam lineam aptare.

Ducatur circuli ABΓ diameter BΓ. si igitur BΓ sit æqualis ipsi Δ, factum jam erit quod proponebatur. etenim in circulo ABΓ aptata est BΓ rectæ lineæ Δ æqualis. sin minus, major est BΓ quam Δ, ponaturque [per 3. 1.] ipsi Δ æqualis ΓE, & centro quidem Γ intervallo autem ΓE [per 3. post.] circulus describatur AEZ, & [per 1. post.] ΓA jungatur.

Itaque quoniam punctum Γ centrum est AEZ circuli, erit ΓA ipsi ΓE æqualis. sed Δ est æqualis rectæ ΓE: ergo & Δ ipsi ΓA æqualis erit.

In dato igitur circulo ABΓ, datæ rectæ lineæ Δ, non majore circuli diametro, æqualis aptata est ΓA. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ β'.

Εἰς τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῷ ΔΕΖ τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἤχθω τοῦ ΑΒΓ κύκλου ἐφαπτομένη ἡ ΗΑΘ κατὰ τὸ Α, καὶ συνεστάτω πρὸς μὲν τῇ ΑΘ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΔΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΘΑΓ· πρὸς δὲ τῇ ΗΑ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΖΔΕ γωνίᾳ ἴση ἡ ὑπὸ ΗΑΒ, καὶ ἐπεζεύχθω ἡ ΒΓ.



Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΘΑΗ, ἀπὸ δὲ τῆς ἁφῆς διῆκταί τις ἡ ΑΓ· ἡ ἄρα ὑπὸ ΘΑΓ ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ, τῇ ὑπὸ ΑΒΓ. ἀλλὰ ἡ ὑπὸ ΘΑΓ τῇ ὑπὸ ΔΕΖ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα γωνία τῇ ὑπὸ ΖΕΔ ἐστὶν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΖΔΕ ἐστὶν ἴση, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ ὑπὸ ΕΖΔ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἐγγέγραπται εἰς τὸν ΑΒΓ κύκλον.

PROP. II. PROBL.

In dato circulo inscribere triangulum, æquiangulum dato triangulo.

SIT datus circulus ABΓ, datum autem triangulum ΔEZ: oportet in circulo ABΓ inscribere triangulum, triangulo ΔEZ æquiangulum.

Ducatur recta linea HAΘ contingens circulum ABΓ in puncto A, & ad rectam lineam AΘ & ad punctum in ea A constituatur [per 23. 1.] angulus ΘAΓ æqualis angulo ΔEZ: rursus, ad rectam lineam HA & ad punctum in ipsa A constituatur angulus HAB æqualis angulo ZΔE, & BΓ jungatur.

Quoniam igitur circulum ABΓ contingit recta ΘAH, à contactu autem ducta est AΓ, ΘAΓ angulus [per 32. 3.] æqualis ei qui in alterno circuli segmento consistit, videlicet ipsi ABΓ. sed ΘAΓ angulus æqualis est angulo ΔEZ: ergo & angulus ABΓ angulo ΔEZ est æqualis. eadem ratione & angulus AΓB est æqualis angulo ZΔE: reliquus igitur BAΓ angulus reliquo EZΔ [per 32. 1.] æqualis erit: ergo triangulum ABΓ triangulo ΔEZ est æquiangulum, & inscriptum est [per 3. def. 4.] in circulo ABΓ.

In dato igitur circulo inſcriptum eſt triangulum æquiangulum dato triangulo. quod erat faciendum.

PROP. III. PROBL.

Circa datum circulum circumſcribere triangulum, æquiangulum dato triangulo.

SIT datus circulus ABΓ, datum autem triangulum ΔEZ: oportet circa circulum ABΓ. circumſcribere triangulum, æquiangulum triangulo ΔEZ.

Protrahatur [per 2. poſt.] EZ ex utraque parte ad puncta Θ, H, & ſumatur [per 1. 3.] circuli ABΓ centrum K, & recta linea KB utcunque ducatur, conſtituaturque [per 23. 1.] ad lineam KB & ad punctum in ea K angulus BKA æqualis angulo ΔEH, angulo autem ΔZΘ æqualis angulus BKΓ; & per A, B, Γ puncta ducantur [per 17. 3.] rectæ lineæ ΛAM, MBN, NΓΛ circulum ABΓ contingentes.



Quoniam igitur circulum ABΓ contingunt ΛM, MN, NΛ in punctis A, B, Γ, à centro autem K ad puncta A, B, Γ ducuntur rectæ KA, KB, KΓ; erunt [per 18. 3.] anguli ad puncta A, B, Γ recti. & quoniam quadrilateri AMBK anguli quatuor [per 32. 1.] quatuor rectis ſunt æquales (etenim in duo triangula dividitur quadrilaterum AMBK) è quibus anguli KAM, KBM ſunt recti; erunt reliqui AKB, AMB duobus rectis æquales. ſunt autem [per 13. 1.] & ΔEH, ΔEZ æquales duobus rectis: anguli igitur AKB, AMB angulis ΔEH, ΔEZ ſunt æquales, è quibus AKB ipſi ΔEH eſt æqualis: ergo reliquus AMB reliquo ΔEZ æqualis erit. ſimiliter demonſtrabitur angulus ΛNM ipſi ΔZE æqualis: ergo & reliquus MΛN [per 32. 1.] eſt æqualis reliquo EΔZ. eſt igitur ΛMN triangulum æquiangulum triangulo ΔEZ, & [per 4. def. 4.] circumſcribitur circa circulum ABΓ.

Circa datum igitur circulum circumſcriptum eſt triangulum, æquiangulum dato triangulo. quod erat faciendum.

PROP. IV. PROBL.

In dato triangulo circulum inſcribere.

SIT datum triangulum ABΓ: oportet in triangulo ABΓ circulum inſcribere.

Secentur [per 9. 1.] anguli ABΓ, BΓA bifariam à rectis lineis BΔ, ΓΔ, quæ conveniant inter ſe in puncto Δ, & à puncto Δ ad rectas lineas AB, BΓ, ΓA [per 12. 1.] perpendiculares ducantur ΔE, ΔZ, ΔH.

Εἰς τὸ δοθὲν ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ γ'.

Περὶ τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

ΕΣτω ὁ δοθεὶς κύκλος ὁ ABΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔEZ· δεῖ δὴ περὶ τὸν ABΓ κύκλον τῷ ΔEZ τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

Ἐκβεβλήθω ἑφ' ἑκάτερα τὰ μέρη ἡ EZ ἐπὶ τὰ Θ, H σημεῖα, καὶ εἰλήφθω τὸ ABΓ κύκλου κέντρον τὸ K, καὶ διήχθω ὡς ἔτυχεν εὐθεῖα ἡ KB, καὶ συνεστάτω πρὸς τῇ KB εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ K τῇ μὲν ὑπὸ ΔEH γωνίᾳ ἴση ἡ ὑπὸ BKA, τῇ δὲ ὑπὸ ΔZΘ ἴση ἡ ὑπὸ BKΓ, καὶ διὰ τῶν A, B, Γ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ ABΓ κύκλου αἱ ΛAM, MBN, NΓΛ.

Καὶ ἐπεὶ ἐφάπτονται τοῦ ABΓ κύκλου αἱ ΛM, MN, NΛ κατὰ τὰ A, B, Γ, ἀπὸ δὲ τοῦ K κέντρου ἐπὶ τὰ A, B, Γ σημεῖα ἐπιζευγνύμεναί εἰσιν αἱ KA, KB, KΓ· ὀρθαὶ ἄρα εἰσὶν αἱ πρὸς τοῖς A, B, Γ σημείοις γωνίαι. καὶ ἐπεὶ τοῦ AMBK τετραπλεύρου αἱ τέσσαρες γωνίαι τέτρασιν ὀρθαῖς ἴσαι εἰσὶν (ἐπεὶ διήπερ καὶ εἰς δύο τρίγωνα διαιρεῖται τὸ AMBK τετράπλευρον) ὧν αἱ ὑπὸ KAM, KBM γωνίαι δύο ὀρθαί εἰσιν· λοιπαὶ ἄρα αἱ ὑπὸ AKB, AMB δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΔEH, ΔEZ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ AKB, AMB ταῖς ὑπὸ ΔEH, ΔEZ ἴσαι εἰσίν, ὧν ἡ ὑπὸ AKB τῇ ὑπὸ ΔEH ἐστὶν ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ AMB λοιπῇ τῇ ὑπὸ ΔEZ ἐστὶν ἴση. ὁμοίως δὴ δείχθήσεται ὅτι καὶ ἡ ὑπὸ ΛNM τῇ ὑπὸ ΔZE ἐστὶν ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ MΛN λοιπῇ τῇ ὑπὸ EΔZ ἐστὶν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΛMN τρίγωνον τῷ ΔEZ τριγώνῳ, καὶ περιγέγραπται περὶ τὸν ABΓ κύκλον.

Περὶ τὸν δοθέντα ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ δ'.

Εἰς τὸ δοθὲν τρίγωνον κύκλον ἐγγράψαι.

ΕΣτω τὸ δοθὲν τρίγωνον τὸ ABΓ· δεῖ δὴ εἰς τὸ ABΓ τρίγωνον κύκλον ἐγγράψαι.

Τετμήσθωσαν αἱ ὑπὸ ABΓ, BΓA γωνίαι δίχα ταῖς BΔ, ΓΔ εὐθείαις, καὶ συμβαλλέτωσαν ἀλλήλαις κατὰ τὸ Δ σημεῖον, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ ἐπὶ τὰς AB, BΓ, ΓA εὐθείας κάθετοι αἱ ΔE, ΔZ, ΔH.

Καὶ

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία τῇ ὑπὸ ΓΒΔ, δίχα γὰρ τέμνει ἡ ὑπὸ ΑΒΓ, ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΕΔ ὀρθῇ τῇ ὑπὸ ΒΖΔ ἴση, δύο δὴ τρίγωνά ἐστι τὰ ΕΒΔ, ΔΒΖ, τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, ὑποτείνουσιν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν κοινὴν αὐτῶν τὴν ΒΔ, καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν· ἴση ἄρα ἡ ΔΕ τῇ ΔΖ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΗ τῇ ΔΖ ἐστὶν ἴση· ὁ ἄρα κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ ἑνὶ τῶν ΔΕ, ΔΖ, ΔΗ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΑ εὐθειῶν, διὰ τὸ ὀρθὰς εἶναι τὰς ὑπὸ τοῖς Ε, Ζ, Η σημείοις γωνίας. εἰ γὰρ τεμεῖ αὐτάς, ἔσται ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐντὸς πεσεῖται τοῦ κύκλου, ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ ἑνὶ τῶν ΔΕ, ΔΖ, ΔΗ γραφόμενος κύκλος τεμνεῖ τὰς ΑΒ, ΒΓ, ΓΑ εὐθείας· ἐφάψεται ἄρα αὐτῶν, καὶ ἔσται κύκλος ἐγγεγραμμένος εἰς τὸ ΑΒΓ τρίγωνον.



Εἰς ἄρα τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ κύκλος ἐγγέγραπται ὁ ΕΖΗ. ὅπερ ἔδει ποιῆσαι.

Et quoniam angulus ΑΒΔ eſt æqualis angulo ΓΒΔ, bifariam enim ſectus eſt angulus ΑΒΓ; eſtque etiam ΒΕΔ rectus æqualis recto ΒΖΔ; erunt ΕΒΔ, ΔΒΖ duo triangula habentia duos angulos duobus angulis æquales & unum latus uni lateri æquale & utrique commune ΒΔ, quod ſcilicet uni æqualium angulorum ſubtenditur: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt, eritque ΔΕ æqualis ΔΖ. eadem ratione erit etiam ΔΗ æqualis ΔΖ: quare centro Δ intervallo autem æquali uni ipſarum ΔΕ, ΔΖ, ΔΗ circulus deſcriptus etiam per reliqua tranſibit puncta, & rectas lineas ΑΒ, ΒΓ, ΓΑ continget; propterea quod recti ſunt ad Ε, Ζ, Η anguli. ſi enim ipſas ſecet, quæ diametro circuli ad rectos angulos ab extremitate ducitur intra circulum cadet, quod [per 16. 3.] eſt abſurdum: circulus igitur centro Δ intervallo autem æquali uni ipſarum ΔΕ, ΔΖ, ΔΗ deſcriptus non ſecabit rectas lineas ΑΒ, ΒΓ, ΓΑ: quare ipſas continget, atque circulus erit [per 5. def. 4.] inſcriptus in triangulo ΑΒΓ.

In dato igitur triangulo ΑΒΓ inſcriptus eſt circulus ΕΖΗ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ε'.

Περὶ τὸ δοθὲν τρίγωνον κύκλον περιγράψαι.

PROP. V. PROBL.

Circa datum triangulum circulum circumſcribere.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· δεῖ δὴ περὶ τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ κύκλον περιγράψαι.

Τετμήσθωσαν αἱ ΑΒ, ΑΓ δίχα κατὰ τὰ Δ, Ε σημεῖα, καὶ ἀπὸ τῶν Δ, Ε σημείων τῇς ΑΒ, ΑΓ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΔΖ, ΕΖ· συμπεσοῦνται δὲ ἤτοι ἐντὸς τοῦ ΑΒΓ τριγώνου, ἢ ἐπὶ τῆς ΒΓ εὐθείας, ἢ ἐκτὸς *τῆς ΒΓ.

Συμπιπτέτωσαν πρότερον ἐντὸς κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΖ, ΖΓ, ΖΑ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΖ· βάσις ἄρα ἡ ΑΖ βάσει τῇ ΖΒ ἴση ἐστίν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΓΖ τῇ ΖΑ ἐστὶν ἴση, ὥστε καὶ ἡ ΒΖ τῇ ΖΓ ἴση· αἱ τρεῖς ἄρα αἱ ΖΑ, ΖΒ, ΖΓ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΑ, ΖΒ, ΖΓ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος ὁ κύκλος περὶ τὸ ΑΒΓ τρίγωνον. καὶ περιγεγράφθω ὡς ὁ ΑΒΓ.



SIT datum triangulum ΑΒΓ: oportet circa datum triangulum ΑΒΓ circulum circumſcribere.

Secentur ΑΒ, ΑΓ [per 10. 1.] bifariam in Δ, Ε punctis, & à punctis Δ, Ε ipſis ΑΒ, ΑΓ [per 11. 1.] ad rectos angulos ducantur ΔΖ, ΕΖ; quæ vel intra triangulum ΑΒΓ convenient, vel in recta linea ΒΓ, vel extra triangulum ΑΒΓ.

Conveniant primum intra triangulum in puncto Ζ; & ΒΖ, ΖΓ, ΖΑ jungantur. quoniam igitur ΑΔ eſt æqualis ΔΒ, communis autem & ad rectos angulos ΔΖ; erit [per 4. 1.] baſis ΑΖ baſi ΖΒ æqualis. ſimiliter oſtendetur & ΓΖ æqualis ΖΑ: ergo & ΒΖ eſt æqualis ΖΓ: tres igitur ΖΑ, ΖΒ, ΖΓ inter ſe ſunt æquales. quare centro Ζ, intervallo autem æquali uni ipſarum ΖΑ, ΖΒ, ΖΓ circulus deſcriptus etiam per reliqua puncta tranſibit: atque erit [per 6. def. 4.] circulus circumſcriptus circa triangulum ΑΒΓ. circumſcribatur igitur ut ΑΒΓ.

*Legimus τῶν ΑΒΓ τριγώνου.

Sed Δ Z, E Z conveniant in recta linea B Γ, in puncto Z, ut in ſecunda figura, & A Z jungatur. ſimiliter demonſtrabimus punctum Z centrum eſſe circuli circa triangulum A B Γ circumſcripti.



Αλλὰ δὴ αἱ Δ Z, E Z συμπιπτέτωσαν ἐπὶ τῆ Β Γ εὐθείας κατὰ τὸ Z, ὡς ἔχῃ ἐπὶ τῆ δευτέρας καταγραφῆς, καὶ ἐπεζεύχθω ἡ A Z. ὁμοίως δὴ δείξομεν ὅτι τὸ Z σημεῖον κέντρον ἐστὶ τοῦ περὶ τὸ A B Γ τρίγωνον περιγραφομένου κύκλου.

Poſtremo Δ Z, E Z conveniant extra triangulum A B Γ rurſus in Z puncto, ut in tertia figura; & jungantur A Z, Z B, Z Γ. & quoniam A Δ eſt æqualis Δ B, communis autem & ad rectos angulos Δ Z; baſis A Z [per 4. 1.] baſi Z B æqualis erit. ſimiliter demonſtrabimus & Γ Z ipſi Z A æqualem eſſe; quare & B Z eſt æqualis Z Γ; rurſus igitur centro Z, intervallo autem æquali uni ipſarum Z A, Z B, Z Γ circulus deſcriptus etiam per reliqua tranſibit puncta; atque erit circa triangulum A B Γ circumſcriptus. deſcribatur igitur ut A B Γ.



Αλλὰ δὴ αἱ Δ Z, E Z συμπιπτέτωσαν ἐκτὸς τοῦ A B Γ τριγώνου, κατὰ τὸ Z πάλιν, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ ἐπεζεύχθωσαν αἱ A Z, Z B, Z Γ. καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ A Δ τῆ Δ B, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ Δ Z· βάσις ἄρα ἡ A Z βάσει τῆ Z B ἐστὶν ἴση. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ Γ Z τῆ Z A ἐστὶν ἴση, ὥστε καὶ ἡ B Z τῆ Z Γ ἴση· ὁ ἄρα πάλιν κέντρῳ τῷ Z διαστήματι ἑνὶ τῶν Z A, Z B, Z Γ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγραφόμενος περὶ τὸ A B Γ τρίγωνον. καὶ γεγράφθω ὡς ὁ A B Γ.

Circa datum igitur triangulum circulus eſt circumſcriptus. quod erat faciendum.

Περὶ τὸ δοθὲν ἄρα τρίγωνον κύκλος περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

Corollarium.

Et manifeſtum eſt, quod, ſi centrum circuli intra triangulum ceciderit, angulus B A Γ exiſtens in ſegmento ſemicirculo majore minor eſt recto: ſi autem ceciderit in recta linea B Γ, angulus in ſemicirculo rectus erit: & ſi extra triangulum A B Γ, angulus in ſegmento minore ſemicirculo erit major recto. Quare ſi datum triangulum ſit oxygonium, Δ Z, E Z intra triangulum convenient: ſin in eo ſit angulus rectus B A Γ, in ipſa B Γ: & ſi ſit major recto, extra A B Γ.

Πόρισμα.

Καὶ φανερὸν, ὅτι, ὅταν μὲν ἐντὸς ᾖ τριγώνου πίπτῃ τὸ κέντρον τοῦ κύκλου, ἡ ὑπὸ B A Γ γωνία, ἐν μείζονι τμήματι τοῦ ἡμικυκλίου τυγχάνουσα, ἐλάττων ἐστὶν ὀρθῆς· ὅταν δὲ ἐπὶ τῆ B Γ, ἐν ἡμικυκλίῳ τυγχάνουσα, ὀρθὴ ἔσται· ὅταν δὲ ἐκτὸς * τῆ B Γ εὐθείας τὸ κέντρον πίπτῃ, ἡ ὑπὸ B A Γ, ἐν ἐλάττονι τμήματι ἡμικυκλίου τυγχάνουσα, μείζων ἐστὶν ὀρθῆς. ὡστε καὶ ὅταν † ἐλάττων ὀρθῆς τυγχάνῃ ἡ διδομένη γωνία, ἐντὸς τοῦ τριγώνου συμπεσοῦνται αἱ Δ Z, E Z· ὅταν μὲν ὀρθὴ, ἐπὶ τῆ B Γ· ὅταν δὲ μείζων ὀρθῆς, ἐκτὸς τῆ B Γ.

PROP. VI. PROBL.

In dato circulo quadratum inſcribere.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Εἰς τὸν δοθέντα κύκλον τετράγωνον ἐγγράψαι.

SIT datus circulus A B Γ Δ: oportet in circulo A B Γ Δ quadratum inſcribere.

Ducantur [per 11. 1.] circuli A B Γ Δ diametri ad rectos angulos inter ſe A Γ, B Δ; & A B, B Γ, Γ Δ, Δ A jungantur.

Quoniam igitur B E eſt æqualis E Δ, eſt enim E centrum, communis autem & ad rectos angulos E A; erit [per 4. 1.] baſis A B æqualis baſi A Δ. & eadem ratione utraque ipſarum B Γ, Γ Δ utrique B A, A Δ eſt æqualis: æquila-



Ἔστω ὁ δοθεὶς κύκλος ὁ A B Γ Δ· δεῖ δὴ εἰς A B Γ Δ κύκλον τετράγωνον ἐγγράψαι.

Ἤχθωσαν τοῦ A B Γ Δ κύκλου διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ A Γ, B Δ· καὶ ἐπεζεύχθωσαν αἱ A B, B Γ, Γ Δ, Δ A.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ B E τῆ E Δ, κέντρον γὰρ τὸ E, κοινὴ δὲ ἡ πρὸς ὀρθὰς ἡ E A· βάσις ἄρα ἡ A B βάσει τῆ A Δ ἴση ἐστί. κατὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν B Γ, Γ Δ ἑκατέρᾳ τῶν B A, A Δ ἴση ἐστί· ἰσό-

* Legimus τῆ A B Γ τριγώνου. † Hic locus in omnibus (quos vidimus) codicibus Græcis, tam MSS. quam impreſſo, male ſe habet. Nos in verſione (pauculis immutatis) reſtituimus; quod & antea fecerunt *Campanus* & *Clavius*.

πλευρον

πολύγων ἄρα ἐστὶ τὸ ΑΒΓΔ τετράπλευρον. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ ἡ ΒΔ εὐθεῖα διάμετρός ἐστι τοῦ ΑΒΓΔ κύκλου, ἡμικύκλιον ἄρα ἐστὶ τὸ ΒΑΔ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΒΑΔ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΑ ὀρθή ἐστιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔ τετράπλευρον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστί. καὶ ἐγγέγραπται εἰς τὸν δοθέντα ΑΒΓΔ κύκλον.

Εἰς τὸν δοθέντα ἄρα κύκλον τὸν ΑΒΓΔ τετράγωνον ἐγγέγραπται τὸ ΑΒΓΔ. ὅπερ ἔδει ποιῆσαι.

terum igitur est ΑΒΓΔ quadrilaterum. dico & rectangulum esse. quoniam enim recta linea ΒΔ diameter est ΑΒΓΔ circuli, erit ΒΑΔ semicirculus: quare [per 31. 3.] angulus ΒΑΔ rectus est. & eadem ratione unusquisque ipsorum ΑΒΓ, ΒΓΔ, ΓΔΑ rectus erit: rectangulum igitur est ΑΒΓΔ quadrilaterum. ostensum autem est æquilaterum esse: igitur quadratum est. & inscriptum est in circulo ΑΒΓΔ.

In dato igitur ΑΒΓΔ circulo inscriptum est quadratum ΑΒΓΔ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ζ'.

Περὶ τὸν δοθέντα κύκλον τετράγωνον περιγεγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ΑΒΓΔ· δεῖ δὴ περὶ τὸν ΑΒΓΔ κύκλον τετράγωνον περιγεγράψαι.

Ἤχθωσαν τοῦ ΑΒΓΔ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΓ, ΒΔ, καὶ διὰ τῶν Α, Β, Γ, Δ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ ΑΒΓΔ κύκλου αἱ ΖΗ, ΗΘ, ΘΚ, ΚΖ.

Ἐπεὶ οὖν ἐφάπτεται ἡ ΖΗ τοῦ ΑΒΓΔ κύκλου, ἀπὸ δὲ τοῦ Ε κέντρου ἐπὶ τὴν κατὰ τὸ Α ἁπτὴν ἐπέζευκται ἡ ΕΑ· αἱ ἄρα πρὸς τῷ Α γωνίαι ὀρθαί εἰσι. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τοῖς Β, Γ, Δ σημείοις γωνίαι ὀρθαί εἰσι. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΑΕΒ γωνία, ἔστι δὲ ὀρθὴ καὶ ἡ ὑπὸ ΕΒΗ· παράλληλος ἄρα ἐστὶν ἡ ΗΘ τῇ ΑΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΑΓ τῇ ΖΚ παράλληλός ἐστιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκατέρα τῶν ΗΖ, ΘΚ τῇ ΒΕΔ ἐστὶ παράλληλος. παραλληλόγραμμα ἄρα ἐστὶ τὰ ΗΚ, ΗΓ, ΑΚ, ΖΒ, ΒΚ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΗΖ τῇ ΘΚ, ἡ δὲ ΗΘ τῇ ΖΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΒΔ, ἀλλ' ἡ μὲν ΑΓ ἑκατέρᾳ τῶν ΗΘ, ΖΚ ἐστὶν ἴση, ἡ δὲ ΒΔ ἑκατέρᾳ τῶν ΗΖ, ΘΚ ἐστὶν ἴση· καὶ ἑκατέρα ἄρα τῶν ΗΘ, ΖΚ ἑκατέρᾳ τῶν ΗΖ, ΘΚ ἐστὶν ἴση. ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΖΗΘΚ τετράπλευρον. λέγω ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΗΒΕΑ, καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΑΕΒ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΗΒ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ πρὸς τοῖς Θ, Κ, Ζ γωνίαι ὀρθαί εἰσιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΖΗΘΚ τετράπλευρον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστί· καὶ περιγεγράπται περὶ τὸν ΑΒΓΔ κύκλον.



Περὶ τὸν δοθέντα ἄρα κύκλον τετράγωνον περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

PROP. VII. PROBL.

Circa datum circulum quadratum circumscribere.

SIT datus circulus ΑΒΓΔ: oportet circa ΑΒΓΔ circulum quadratum circumscribere.

Ducantur circuli ΑΒΓΔ duæ diametri ΑΓ, ΒΔ ad rectos inter se angulos, & per puncta Α, Β, Γ, Δ ducantur [per 17. 3.] rectæ ΖΗ, ΗΘ, ΘΚ, ΚΖ contingentes circulum ΑΒΓΔ.

Quoniam igitur ΖΗ contingit circulum ΑΒΓΔ, à centro autem Ε ad contactum qui est ad Α ducitur ΕΑ; erunt [per 18. 3.] anguli ad Α recti. eadem ratione & anguli ad puncta Β, Γ, Δ sunt recti. & quoniam angulus ΑΕΒ est rectus, & ΕΒΗ etiam rectus; erit [per 28. 1.] ΗΘ ipsi ΑΓ parallela. eadem ratione & ΑΓ parallela est ΖΚ. similiter demonstrabimus & utramque ipsarum ΗΖ, ΘΚ ipsi ΒΕΔ parallelam esse. parallelogramma igitur sunt ΗΚ, ΗΓ, ΑΚ, ΖΒ, ΒΚ; ac propterea ΗΖ est [per 34. 1.] æqualis ΘΚ; ΗΘ vero ipsi ΖΚ. & quoniam ΑΓ æqualis est ΒΔ; sed & ΑΓ quidem utrique ipsarum ΗΘ, ΖΚ est æqualis, ΒΔ vero æqualis utrique ΗΖ, ΘΚ; & utraque ΗΘ, ΖΚ utrique ΗΖ, ΘΚ æqualis erit. æquilaterum igitur est ΖΗΘΚ quadrilaterum. dico & rectangulum esse. quoniam enim parallelogrammum est ΗΒΕΑ, atque est rectus ΑΕΒ angulus, & ipse ΑΗΒ [per 34. 1.] rectus erit. similiter demonstrabimus angulos etiam, qui ad puncta Θ, Κ, Ζ, rectos esse: rectangulum igitur est quadrilaterum ΖΗΘΚ. demonstratum autem est & æquilaterum: igitur quadratum est. & circumscriptum est circa circulum ΑΒΓΔ.

Igitur circa datum circulum circumscriptum est quadratum. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ η'.

Εἰς τὸ δοθὲν τετράγωνον κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔ τετράγωνον κύκλον ἐγγράψαι.

Τετμήσθω ἑκατέρα τῶν ΑΒ, ΑΔ δίχα κατὰ τὰ

PROP. VIII. PROBL.

In dato quadrato circulum inscribere.

SIT datum quadratum ΑΒΓΔ: oportet in ΑΒΓΔ quadrato circulum inscribere.

Secetur [per 10. 1.] utraque ipsarum ΑΒ, ΑΔ bifariam

bifariam in punctis Z, E, & per E alterutri ipſarum AB, ΓΔ [per 31. 1.] parallela ducatur EΘ, per Z vero ducatur ZK parallela alterutri AΔ, BΓ: parallelogrammum igitur eſt unumquodque ipſorum AK, KB, AΘ, ΘΔ, AH, HΓ, BH, HΔ; & latera ipſorum oppoſita [per 34. 1.] ſunt æqualia. & quoniam AΔ eſt æqualis AB, & ipſius quidem AΔ dimidia eſt AE, ipſius vero AB dimidia AZ; erit AE ipſi AZ æqualis: & latera etiam ipſis oppoſita ſunt æqualia, ergo ZH eſt æqualis HE. ſimiliter demonſtrabimus & utramque ipſarum HΘ, HK utrique ZH, HE æqualem eſſe. quatuor igitur HE, HZ, HΘ, HK inter ſe ſunt æquales. itaque centro quidem H intervallo autem æquali uni ipſarum HE, HZ, HΘ, HK circulus deſcriptus etiam per reliqua tranſibit puncta; & rectas lineas AB, BΓ, ΓΔ, ΔA continget, propterea quod anguli ad E, Z, Θ, K ſunt recti. ſi enim circulus ſecat rectas lineas AB, BΓ, ΓΔ, ΔA, quæ diametro circuli ad rectos angulos ab extremitate ducitur intra circulum cadet, quod [per 16. 3.] eſt abſurdum. non igitur centro quidem H intervallo autem æquali uni ipſarum HE, HZ, HΘ, HK circulus deſcriptus rectas lineas AB, BΓ, ΓΔ, ΔA ſecabit. ipſas igitur continget, atque erit [per 5. def. 4.] inſcriptus in quadrato ABΓΔ.



In dato igitur quadrato circulus eſt inſcriptus. quod erat faciendum.

PROP. IX. PROBL.

Circa datum quadratum circulum circumſcribere.

SIT datum quadratum ABΓΔ: oportet circa quadratum ABΓΔ circulum circumſcribere.

Jungantur enim AΓ, BΔ, quæ ſe invicem in puncto E ſecent.

Et quoniam ΔA eſt æqualis AB, communis autem AΓ, duæ ΔA, AΓ duabus BA, AΓ ſunt æquales, & baſis ΔΓ æqualis baſi BΓ, erit [per 8. 1.] & angulus ΔAΓ æqualis angulo BAΓ: angulus igitur ΔAB bifariam ſectus eſt à recta linea AΓ. ſimiliter demonſtrabimus unumquemque angulorum ABΓ, BΓΔ, ΓΔA bifariam ſecari à rectis lineis AΓ, ΔB. quoniam igitur angulus ΔAB angulo ABΓ eſt æqualis, eſt autem anguli ΔAB dimidium angulus EAB, anguli vero ABΓ dimidium EBA: & EAB angulus angulo EBA æqualis erit; quare [per 6. 1.] & latus BA lateri EB eſt æquale. ſimiliter demonſtrabimus & utramque rectarum EΓ, EΔ utrique EA, EB



ΠΡΟΤΑΣΙΣ θ'.

Περὶ τὸ δοθὲν τετράγωνον κύκλον περιγράψαι.

ΕΣτω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· δεῖ δὴ περὶ τὸ ΑΒΓΔ τετράγωνον κύκλον περιγράψαι.

Επεζεύχθωσαν γὰρ αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΒ, κοινὴ δὲ ἡ ΑΓ, δύο δὴ αἱ ΔΑ, ΑΓ δυσὶ ταῖς ΒΑ, ΑΓ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΔΓ βάσει τῇ ΒΓ ἐστὶν ἴση· ἡ ἄρα γωνία ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΒΑΓ ἐστὶν ἴση· ἡ ἄρα ὑπὸ ΔΑΒ γωνία δίχα τέτμηται ὑπὸ τὴν ΑΓ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΑ δίχα τέτμηται ὑπὸ ταῖς ΑΓ, ΔΒ εὐθείαις. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΑΒ γωνία τῇ ὑπὸ ΑΒΓ, καί ἐστι τοῦ μὲν ὑπὸ ΔΑΒ ἡμίσεια ἡ ὑπὸ ΕΑΒ, τοῦ δὲ ὑπὸ ΑΒΓ ἡμίσεια ἡ ὑπὸ ΕΒΑ· καὶ ἡ ὑπὸ ΕΑΒ ἄρα τῇ ὑπὸ ΕΒΑ ἐστὶν ἴση, ὥστε καὶ πλευρὰ ἡ ΕΑ πλευρᾷ τῇ ΕΒ ἐστὶν ἴση. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκατέρα τῶν ΕΓ, ΕΔ εὐθειῶν ἑκατέρᾳ

τέρα τῶν ΕΑ, ΕΒ ἴση ἐστίν· αἱ τέσσαρες ἄρα αἱ ΕΑ, ΕΒ, ΕΓ, ΕΔ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ε καὶ διαστήματι ἑνὶ τῶν ΕΑ, ΕΒ, ΕΓ, ΕΔ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος περὶ τὸ ΑΒΓΔ τετράγωνον. περιγεγράφθω ὡς ὁ ΑΒΓΔ.

Περὶ τὸ δοθὲν ἄρα τετράγωνον κύκλος περιγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

æqualem esse; ergo quatuor rectæ lineæ EA, EB, EΓ, EΔ inter se sunt æquales. centro igitur E intervallo autem æquali uni ipsarum EA, EB, EΓ, EΔ circulus descriptus etiam per reliqua puncta transibit, atque erit circumscriptus circa quadratum ABΓΔ. describatur ut ABΓΔ.

Circa datum igitur quadratum circulus est circumscriptus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ι'.

Ἰσοσκελὲς τρίγωνον συστήσασθαι, ἔχον ἑκατέραν τῶν πρὸς τῇ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς.

Prop. X. Probl.

Isosceles triangulum constituere, habens alterutrum angulorum qui sunt ad basim duplum reliqui.

Ἐκκείσθω τις εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω κατὰ τὸ Γ σημεῖον, ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τῆς ΓΑ τετραγώνῳ· καὶ κέντρῳ μὲν τῷ Α διαστήματι δὲ τῷ ΑΒ κύκλος γεγράφθω ὁ ΒΔΕ, καὶ ἐνηρμόσθω εἰς τὸν ΒΔΕ κύκλον τῇ ΑΓ εὐθείᾳ, μὴ μείζονι οὔσῃ τῆς τοῦ ΒΔΕ κύκλου διαμέτρου, ἴση εὐθεῖα ἡ ΒΔ· καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΓ, καὶ περιγεγράφθω περὶ τὸ ΑΓΔ τρίγωνον κύκλος ὁ ΑΓΔ.



Καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ, ἴση δὲ ἡ ΑΓ τῇ ΒΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΔ. καὶ ἐπεὶ κύκλου τοῦ ΑΓΔ εἴληπταί τι σημεῖον ἐκτὸς τὸ Β, καὶ ἀπὸ τοῦ Β πρὸς τὸν ΑΓΔ κύκλον προσπίπτουσι δύο εὐθεῖαι αἱ ΒΓΑ, ΒΔ, καὶ ἡ μὲν αὐτῶν τέμνει, ἡ δὲ προσπίπτει, καὶ ἔστι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἴσον τῷ ἀπὸ τῆς ΒΔ· ἡ ΒΔ ἄρα ἐφάπτεται τοῦ ΑΓΔ κύκλου. ἐπεὶ οὖν ἐφάπτεται μέν ἡ ΒΔ, ἀπὸ δὲ τῆς κατὰ τὸ Δ ἐπαφῆς διῆκται ἡ ΔΓ· ἡ ἄρα ὑπὸ ΒΔΓ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ ΔΑΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΒΔΓ τῇ ὑπὸ ΔΑΓ, κοινὴ προσκείσθω ἡ ὑπὸ ΓΔΑ· ὅλη ἄρα ἡ ὑπὸ ΒΔΑ ἴση ἐστὶ δυσὶ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ. ἀλλὰ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ ἴση ἐστὶν ἡ ἐκτὸς ἡ ὑπὸ ΒΓΔ· καὶ ἡ ὑπὸ ΒΔΑ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΒΓΔ. ἀλλ' ἡ ὑπὸ ΒΔΑ τῇ ὑπὸ ΓΒΔ ἐστὶν ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΑΔ τῇ ΑΒ ἐστὶν ἴση· ὥστε καὶ ἡ ὑπὸ ΔΒΑ τῇ ὑπὸ ΒΓΔ ἐστὶν ἴση. αἱ τρεῖς ἄρα αἱ ὑπὸ ΒΔΑ, ΔΒΑ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ, ἴση ἐστὶ καὶ πλευρὰ ἡ ΒΔ πλευρᾷ τῇ ΔΓ. ἀλλ' ἡ ΒΔ τῇ ΓΑ ὑπόκειται ἴση· καὶ ἡ ΑΓ ἄρα τῇ ΓΔ ἐστὶν ἴση· ὥστε καὶ γωνία ἡ ὑπὸ ΓΔΑ τῇ ὑπὸ ΔΑΓ ἐστὶν ἴση· αἱ ἄρα ὑπὸ ΓΔΑ, ΔΑΓ τῆς ὑπὸ ΔΑΓ διπλασίονές εἰσιν. ἴση δὲ καὶ ἡ ὑπὸ ΒΓΔ τῇ ὑπὸ ΓΔΑ, ΔΑΓ· καὶ ἡ ὑπὸ ΒΓΔ ἄρα διπλῆ ἐστὶ τῆς ὑπὸ ΔΑΓ. ἴση δὲ ἡ ὑπὸ ΒΓΔ ἑκατέρᾳ τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ τῆς ὑπὸ ΔΑΒ ἐστὶ διπλῆ.

PONatur recta quædam linea AB, & secetur [per 11.2.] in puncto Γ, ita ut rectangulum comprehensum sub AB, BΓ æquale sit quadrato ex ΓA; & centro quidem A intervallo autem AB [per 3. post.] circulus describatur BΔE; apteturque [per 1.4.] in BΔE circulo recta linea BΔ, æqualis ipsi AΓ, quæ non est major diametro circuli BΔE; & junctis ΔA, ΔΓ, triangulo AΓΔ [per 5.4.] circumscribatur circulus AΓΔ.

Itaque quoniam rectangulum sub AB, BΓ æquale est quadrato quod fit ex AΓ; æqualis autem est AΓ ipsi BΔ; erit sub AB, BΓ rectangulum quadrato quod ex BΔ æquale. & quoniam extra circulum AΓΔ sumptum est punctum B, & à puncto B in circulum AΓΔ cadunt duæ rectæ lineæ BΓA, BΔ, quarum altera quidem secat, reliqua vero in eum incidit, & rectangulum sub AB, BΓ est æquale quadrato quod ex BΔ; recta linea BΔ [per 37. 3.] circulum AΓΔ continget. quoniam igitur BΔ contingit, & à contactu Δ ducta est ΔΓ; erit [per 32. 3.] BΔΓ angulus æqualis ei qui in alterno circuli segmento constituitur, videlicet angulo ΔAΓ. cum autem angulus BΔΓ æqualis sit ipsi ΔAΓ, communis addatur ΓΔA: totus igitur BΔA est æqualis duobus angulis ΓΔA, ΔAΓ. sed ipsis ΓΔA, ΔAΓ exterior angulus BΓΔ [per 32.1.] est æqualis: ergo & BΔA æqualis est ipsi BΓΔ. sed BΔA angulus [per 5. 1.] est æqualis angulo ΓBΔ, quoniam & latus AΔ lateri AB est æquale: ergo & ΔBA ipsi BΓΔ æqualis erit. tres igitur anguli BΔA, ΔBA, BΓΔ inter se sunt æquales. & quoniam angulus ΔBΓ æqualis est angulo BΓΔ, latus BΔ lateri ΔΓ [per 6. 1.] est æquale. sed BΔ ponitur æqualis ipsi ΓA: ergo & AΓ est æqualis ΓΔ: quare & angulus ΓΔA [per 5.1.] æqualis est angulo ΔAΓ: anguli igitur ΓΔA, ΔAΓ simul ipsius anguli ΔAΓ dupli sunt. est autem [per 32.1.] & BΓΔ angulus æqualis angulis ΓΔA, ΔAΓ: ergo & BΓΔ duplus est ipsius ΔAΓ. sed BΓΔ est æqualis alterutri ipsorum BΔA, ΔBA: quare & alteruter ipsorum BΔA, ΔBA ipsius ΔAB est duplus.

Iſoſceles igitur triangulum ΑΔΒ conſtitutum eſt, habens alterutrum eorum angulorum qui ſunt ad baſim ΒΔ duplum reliqui. quod erat faciendum.

Prop. XI. Probl.

In dato circulo pentagonum æquilaterum & æquiangulum inſcribere.

SIT datus circulus ΑΒΓΔΕ: oportet in ΑΒΓΔΕ circulo pentagonum æquilaterum & æquiangulum inſcribere.

Ponatur [per 10. 4.] triangulum iſoſceles ΖΗΘ, habens alterutrum angulorum ad Η, Θ duplum anguli qui eſt ad Ζ: & inſcribatur [per 2. 4.] in circulo ΑΒΓΔΕ triangulo ΖΗΘ æquiangulum triangulum ΑΓΔ; ita ut angulo quidem qui eſt ad Ζ æqualis ſit angulus ΓΑΔ, utrique vero ipſorum qui ad Η, Θ ſit æqualis uterque ΑΓΔ, ΓΔΑ: alteruter igitur ΑΓΔ, ΓΔΑ duplus eſt anguli ΓΑΔ. ſecetur [per 9. 1.] uterque ipſorum ΑΓΔ, ΓΔΑ bifariam à rectis lineis ΓΕ, ΔΒ, & ducantur ΑΒ, ΒΓ, ΔΕ, ΕΑ.



Quoniam igitur uterque ipſorum ΑΓΔ, ΓΔΑ duplus eſt ipſius ΓΑΔ, & ſecti ſunt bifariam à rectis lineis ΓΕ, ΔΒ; quinque anguli ΔΑΓ, ΑΓΕ, ΕΓΔ, ΓΔΒ, ΒΔΑ ſunt inter ſe æquales. æquales autem anguli [per 26. 3.] æqualibus circumferentiis inſiſtunt: quinque igitur circumferentiæ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ æquales ſunt inter ſe. ſed [per 29. 3.] æquales circumferentias æquales rectæ lineæ ſubtendunt: ergo & quinque rectæ lineæ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ inter ſe ſunt æquales: æquilaterum eſt igitur ΑΒΓΔΕ pentagonum. dico & æquiangulum eſſe. quoniam enim circumferentia ΑΒ æqualis eſt circumferentiæ ΔΕ, communis addatur ΒΓΔ: tota igitur ΑΒΓΔ circumferentia toti circumferentiæ ΕΔΓΒ eſt æqualis. & circumferentiæ quidem ΑΒΓΔ inſiſtit angulus ΑΕΔ, circumferentiæ vero ΕΔΓΒ inſiſtit angulus ΒΑΕ: ergo & ΒΑΕ angulus [per 27. 3.] eſt æqualis angulo ΑΕΔ. eadem ratione & unuſquiſque angulorum ΑΒΓ, ΒΓΔ, ΓΔΕ alterutri ipſorum ΒΑΕ, ΑΕΔ eſt æqualis: æquiangulum igitur eſt ΑΒΓΔΕ pentagonum. oſtenſum autem eſt & æquilaterum eſſe.

In dato igitur circulo inſcriptum eſt pentagonum æquilaterum & æquiangulum. quod erat faciendum.

Prop. XII. Probl.

Circa datum circulum pentagonum æquilaterum & æquiangulum circumſcribere.

SIT datus circulus ΑΒΓΔΕ: oportet circa circulum ΑΒΓΔΕ pentagonum æquilaterum & æquiangulum circumſcribere.

Ἰσοσκελὲς ἄρα τρίγωνον συνέσταται τὸ ΑΔΒ, ἔχον ἑκατέραν τῶν πρὸς τῇ ΒΔ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ ια'.

Εἰς τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἐκκείσθω τρίγωνον ἰσοσκελὲς τὸ ΖΗΘ, διπλασίονα ἑκατέραν τῶν πρὸς τοῖς Η, Θ γωνιῶν τῆς πρὸς τῷ Ζ, καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔΕ κύκλον τῷ ΖΗΘ τριγώνῳ ἰσογώνιον τρίγωνον τὸ ΑΓΔ, ὥστε τῇ μὲν πρὸς τῷ Ζ γωνίᾳ ἴσην εἶναι τὴν ὑπὸ ΓΑΔ, ἑκατέραν δὲ τῶν πρὸς τοῖς Η, Θ ἴσην ἑκατέρᾳ τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ τῆς ὑπὸ ΓΑΔ ἐστὶ διπλῆ. τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ δίχα ὑπὸ τῶν ΓΕ, ΔΒ εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, ΔΕ, ΕΑ.

Ἐπεὶ οὖν ἑκατέρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ γωνιῶν διπλασίων ἐστὶ τῆς ὑπὸ ΓΑΔ, καὶ τετμημέναι εἰσὶ δίχα ὑπὸ τῶν ΓΕ, ΔΒ εὐθειῶν· αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΔΑΓ, ΑΓΕ, ΕΓΔ, ΓΔΒ, ΒΔΑ ἴσαι ἀλλήλαις εἰσίν. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν· αἱ πέντε ἄρα περιφέρειαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν. ὑπὸ δὲ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον. λέγω δὴ ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἡ ΑΒ περιφέρεια τῇ ΔΕ περιφερείᾳ ἴση ἐστί, κοινὴ προσκείσθω ἡ ΒΓΔ· ὅλη ἄρα ἡ ΑΒΓΔ περιφέρεια ὅλῃ τῇ ΕΔΓΒ περιφερείᾳ ἴση ἐστί. καὶ βέβηκεν ἐπὶ μὲν τὴν ΑΒΓΔ περιφέρειαν γωνία ἡ ὑπὸ ΑΕΔ, ἐπὶ δὲ τὴν ΕΔΓΒ περιφέρειαν γωνία ἡ ὑπὸ ΒΑΕ· καὶ ἡ ὑπὸ ΒΑΕ γωνία ἄρα τῇ ὑπὸ ΑΕΔ ἴση ἐστί. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΕ γωνιῶν ἑκατέρᾳ τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.

Εἰς ἄρα τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Περὶ τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Νενοήσθω

Νενοήσθω δὴ ἐπιζευγνύουσαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ περιφέρειαι· καὶ διὰ τῶν Α, Β, Γ, Δ, Ε ἤχθωσαν ἐφαπτόμεναι αἱ ΗΘ, ΘΚ, ΚΛ, ΛΜ, ΜΗ· καὶ εἰλήφθω τὸ Α ΒΓΔΕ κύκλου κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΚ, ΖΓ, ΖΛ, ΖΔ.

Καὶ ἐπεὶ ἡ μὲν ΚΛ εὐθεῖα ἐφάπτεται τοῦ ΑΒΓΔΕ κύκλου κατὰ τὸ Γ, ἀπὸ δὲ τοῦ Ζ κέντρου ἐπὶ τὴν κατὰ τὸ Γ ἐπαφὴν ἐπέζευκται ἡ ΖΓ· ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΚΛ· ὀρθὴ ἄρα ἑκατέρα τῶν πρὸς τῷ Γ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τοῖς Β, Δ σημείοις γωνίαι ὀρθαί εἰσι. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΖΓΚ γωνία, τὸ ἄρα ἀπὸ τῆς ΖΚ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΓ, ΓΚ. διὰ τὰ αὐτὰ δὴ καὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ τὸ ἀπὸ τῆς ΖΚ ἴσον· τὰ ἄρα ἀπὸ τῶν ΖΓ, ΓΚ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ ἐστὶν ἴσα, ὧν τὸ ἀπὸ τῆς ΖΓ τῷ ἀπὸ τῆς ΖΒ ἐστὶν ἴσον· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΓΚ λοιπῷ τῷ ἀπὸ τῆς ΒΚ ἐστὶν ἴσον, ἴση ἄρα ἡ ΒΚ τῇ ΓΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΖΒ τῇ ΖΓ, κοινὴ δὲ ἡ ΖΚ, δύο δὴ αἱ ΒΖ, ΖΚ δυσὶ ταῖς ΓΖ, ΖΚ ἴσαι εἰσὶ, καὶ βάσις ἡ ΒΚ βάσει τῇ ΓΚ ἐστὶν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΒΖΚ γωνίᾳ τῇ ὑπὸ ΚΖΓ ἐστὶν ἴση· ἡ δὲ ὑπὸ ΒΚΖ τῇ ὑπὸ ΖΚΓ ἐστὶν ἴση· διπλῆ ἄρα ἡ μὲν ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ, ἡ δὲ ὑπὸ ΒΚΓ τῆς ὑπὸ ΖΚΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΖΔ τῆς ὑπὸ ΓΖΛ διπλῆ ἐστιν, ἥ τε ὑπὸ ΓΛΔ τῆς ὑπὸ ΓΛΖ. καὶ ἐπεὶ ἡ περιφέρεια τῆς περιφερείας ἴση ἐστὶν, καὶ γωνία ἡ πρὸς τῷ Ζ τῇ πρὸς τῷ Γ ἴση ἐστὶν, ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΖΔ. καὶ ἐπεὶ ἡ ὑπὸ ΚΖΓ διπλῆ ἐστὶ τῆς ὑπὸ ΚΖΓ, ἡ δὲ ὑπὸ ΚΖΓ τῆς ὑπὸ ΛΖΓ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΚΖΓ τῇ ὑπὸ ΓΖΛ. δύο δὴ τρίγωνά ἐστι τὰ ΖΚΓ, ΖΛΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, κοινὴν αὐτῶν τὴν ΖΓ, καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΚΓ εὐθεῖα τῇ ΓΛ, ἡ δὲ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΚΓ τῇ ΓΛ, διπλῆ ἄρα ἡ ΚΛ τῆς ΚΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΚ τῆς ΒΚ διπλῆ. καὶ ἐπεὶ ἐδείχθη ἴση ἡ ΒΚ τῇ ΚΓ, καὶ ἐστὶ διπλῆ ἡ μὲν ΚΛ τῆς ΚΓ, ἡ δὲ ΘΚ τῆς ΒΚ· καὶ ΘΚ ἄρα τῇ ΚΛ ἐστὶν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ΗΘ, ΗΜ, ΜΛ ἑκατέρᾳ τῶν ΘΚ, ΚΛ ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον. λέγω δὴ ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ, καὶ ἐδείχθη τῆς μὲν ὑπὸ ΖΚΓ διπλῆ ἡ ὑπὸ ΘΚΛ, τῆς δὲ ὑπὸ ΖΛΓ διπλῆ ἡ ὑπὸ ΚΛΜ· καὶ ἡ ὑπὸ ΘΚΛ ἄρα τῇ ὑπὸ ΚΛΜ ἐστὶν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ὑπὸ ΚΘΗ, ΘΗΜ, ΗΜΛ ἑκατέρᾳ τῶν ὑπὸ ΘΚΛ,



Intelligantur pentagoni in circulo [per 11 4.] deſcripti angulorum puncta A, B, Γ, Δ, E, ita ut circumferentiæ AB, BΓ, ΓΔ, ΔE, EA ſint æquales; & per puncta A, B, Γ, Δ, E ducantur [per 17. 3.] circulum contingentes HΘ, ΘK, KΛ, ΛM, MH: & ſumpto circuli ABΓΔE centro Z, jungantur ZB, ZK, ZΓ, ZΛ, ZΔ.

Quoniam igitur recta linea KΛ contingit circulum ABΓΔE in puncto Γ, & à centro Z ad contactum qui eſt ad Γ ducta eſt ZΓ; erit [per 18. 3.] ZΓ ad ipſam KΛ perpendicularis: rectus igitur eſt uterque angulorum qui ſunt ad Γ. eadem ratione & anguli qui ad puncta B, Δ ſunt recti. & quoniam rectus eſt angulus ZΓK, quadratum quod fit ex ZK [per 47. 1.] æquale eſt quadratis ex ZΓ, ΓK. & ob eandem cauſam quadratis ex ZB, BK æquale eſt ex ZK quadratum: quadrata igitur ex ZΓ, ΓK quadratis ex ZB, BK ſunt æqualia; è quibus quod fit ex ZΓ ei quod fit ex ZB eſt æquale: ergo reliquum quod fit ex ΓK reliquo ex BK æquale erit; æqualis igitur eſt BK ipſi ΓK. & quoniam ZB eſt æqualis ZΓ, communis autem ZK; duæ BZ, ZK duabus ΓZ, ZK ſunt æquales, & baſis BK eſt æqualis baſi ΓK; erit igitur [per 8. 1.] angulus BZK æqualis angulo KZΓ, & angulus BKZ angulo ZKΓ æqualis: duplus igitur eſt angulus BZΓ anguli KZΓ, & angulus BKΓ duplus ipſius ZKΓ. eadem ratione & angulus ΓZΔ duplus eſt anguli ΓZΛ, angulus vero ΓΛΔ duplus anguli ΓΛZ. & quoniam circumferentia BΓ circumferentiæ ΓΔ eſt æqualis, & angulus BZΓ [per 27. 3.] angulo ΓZΔ æqualis erit. atque eſt angulus quidem BZΓ anguli KZΓ duplus, angulus vero ΔZΓ duplus ipſius ΛZΓ: æqualis igitur eſt angulus KZΓ angulo ΓZΛ. ſunt igitur ZKΓ, ZΛΓ duo triangula habentia duos angulos duobus angulis æquales alterum alteri, & unum latus uni lateri æquale, quod ipſis commune eſt nempe ZΓ; ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habent, & reliquum angulum reliquo angulo æqualem: recta igitur linea KΓ eſt æqualis rectæ ΓΛ, & angulus ZKΓ æqualis angulo ZΛΓ. & quoniam KΓ eſt æqualis ΓΛ, erit KΛ ipſius KΓ dupla. eadem ratione & ΘK ipſius BK dupla oſtendetur. rurſus, quoniam BK oſtenſa eſt æqualis ipſi KΓ, atque eſt KΛ quidem dupla KΓ, ΘK vero ipſius BK dupla; erit ΘK ipſi KΛ æqualis. ſimiliter & unaquæque ipſarum HΘ, HM, MΛ oſtendetur æqualis alterutri ΘK, KΛ: æquilaterum igitur eſt HΘKΛM pentagonum. dico etiam æquiangulum eſſe. quoniam enim angulus ZKΓ eſt æqualis angulo ZΛΓ, & oſtenſus eſt ipſius quidem ZKΓ duplus angulus ΘKΛ; ipſius vero ZΛΓ duplus KΛM: erit & ΘKΛ angulus angulo KΛM æqualis. ſimili ratione oſtendetur & unuſquiſque ipſorum KΘH, ΘHM, HMΛ alterutri ΘKΛ,

ΚΛΜ æqualis: quinque igitur anguli ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ inter ſe ſunt æquales. ergo æquiangulum eſt ΗΘΚΛΜ pentagonum. oſtenſum autem eſt etiam æquilaterum: & circumſcriptum eſt circa ΑΒΓΔΕ circulum. quod erat faciendum.

ΚΑΜ ἴση· αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ ἴσαι ἀλλήλαις εἰσίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πενταγωνον. ἐπεὶ οὖν ἴσαι εἰσὶν αἱ ΗΘ, ΘΚ, ΚΛ, ΛΜ, ΜΗ, ἴσαι δὲ καὶ αἱ ὑπὸ τὰς ἴσας γωνίας βάσεις ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πενταγωνον. ἐδείχθη δὲ καὶ ἰσογώνιον· καὶ περὶ τὸν ΑΒΓΔΕ ἄρα κύκλον ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

PROP. XIII. PROBL.

In dato pentagono æquilatero & æquiangulo circulum inſcribere.

SIT datum pentagonum æquilaterum & æquiangulum ΑΒΓΔΕ: oportet in ΑΒΓΔΕ pentagono circulum inſcribere.

Secetur [per 9. 1.] uterque angulorum ΒΓΔ, ΓΔΕ bifariam à rectis lineis ΓΖ, ΔΖ; & à puncto Ζ, in quo conveniunt inter ſe ΓΖ, ΔΖ, ducantur rectæ lineæ ΖΒ, ΖΑ, ΖΕ. quoniam autem ΒΓ eſt æqualis ΓΔ, communis autem ΓΖ, duæ ΒΓ, ΓΖ duabus ΔΓ, ΓΖ ſunt æquales, & angulus ΒΓΖ eſt æqualis angulo ΔΓΖ: baſis igitur ΒΖ baſi ΔΖ [per 4. 1.] eſt æqualis, & ΒΖΓ triangulum æquale triangulo ΔΓΖ, & reliqui anguli reliquis angulis æquales, quibus æqualia latera ſubtenduntur: angulus igitur ΓΒΖ angulo ΓΔΖ æqualis erit. & quoniam angulus ΓΔΕ anguli ΓΔΖ eſt duplus, & angulus quidem ΓΔΕ angulo ΑΒΓ æqualis, angulus vero ΓΔΖ angulo ΓΒΖ æqualis; erit & ΓΒΑ angulus duplus anguli ΓΒΖ; ac propterea angulus ΑΒΖ angulo ΖΒΓ æqualis: angulus igitur ΑΒΓ bifariam ſecatur à recta linea ΒΖ. ſimiliter demonſtrabitur & unumquemque angulorum ΒΑΕ, ΑΕΔ à rectis lineis ΖΑ, ΖΕ bifariam ſecari. itaque à puncto Ζ ad rectas lineas ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ducantur perpendiculares ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. & quoniam angulus ΘΓΖ eſt æqualis angulo ΚΓΖ, eſt autem & rectus ΖΘΓ recto ΖΚΓ æqualis: erunt ΖΘΓ, ΖΚΓ duo triangula duos angulos duobus angulis æquales habentia, & unum latus uni lateri æquale, commune ſcilicet utrique ΖΓ, quod uni æqualium angulorum ſubtenditur: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt, atque erit perpendicularis ΖΘ perpendiculari ΖΚ æqualis. ſimiliter oſtendetur & unaquæque ipſarum ΖΛ, ΖΜ, ΖΗ æqualis alterutri ΖΘ, ΖΚ: quinque igitur rectæ lineæ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ inter ſe ſunt æquales. quare centro Ζ intervallo autem æquali uni ipſarum ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ circulus deſcriptus etiam per reliqua tranſibit puncta, & rectas lineas ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ continget, propterea quod anguli ad Η, Θ, Κ, Λ, Μ ſunt recti. ſi enim ipſas non contingit, ſed ſecat; quæ diametro circuli ad rectos angulos ab extremitate du-



ΠΡΟΤΑΣΙΣ ιγ'.

Εἰς τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον ἐγγράψαι.

Τετμήσθω γὰρ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑφ' ἑκατέρας τῶν ΓΖ, ΔΖ εὐθειῶν· καὶ ἀπὸ δὴ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν ἀλλήλαις αἱ ΓΖ, ΔΖ εὐθεῖαι, ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΑ, ΖΕ εὐθεῖαι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΓΖ, δύο δὴ αἱ ΒΓ, ΓΖ δυσὶ ταῖς ΔΓ, ΓΖ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ ΒΓΖ γωνίᾳ τῇ ὑπὸ ΔΓΖ ἴση ἐστί· βάσις ἄρα ἡ ΒΖ βάσει τῇ ΔΖ ἐστιν ἴση, καὶ τὸ ΒΖΓ τρίγωνον τῷ ΔΓΖ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι εἰσὶν, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΓΒΖ γωνία τῇ ὑπὸ ΓΔΖ. καὶ ἐπεί ἐστιν ἡ ὑπὸ ΓΔΕ τῆς ὑπὸ ΓΔΖ διπλῆ, ἴση δὲ ἡ μὲν ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΒΓ, ἡ δὲ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΓΒΖ, καὶ ἡ ὑπὸ ΓΒΑ ἄρα τῆς ὑπὸ ΓΒΖ ἐστὶ διπλῆ· ἴση ἄρα ἡ ὑπὸ ΑΒΖ γωνία τῇ ὑπὸ ΖΒΓ· ἡ ἄρα ὑπὸ ΑΒΓ γωνία δίχα τέτμηται ὑπὸ τὴν ΒΖ εὐθεῖαν. ὁμοίως δὴ δειχθήσεται ὅτι καὶ ἑκατέρα τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ δίχα τέτμηται ὑπὸ ἑκατέραν τῶν ΖΑ, ΖΕ εὐθειῶν. ἤχθωσαν δὴ ἀπὸ τοῦ Ζ σημείου ἐπὶ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας κάθετοι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΘΓΖ γωνία τῇ ὑπὸ ΚΓΖ, ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΖΘΓ ὀρθῇ τῇ ὑπὸ ΖΚΓ ἴση, δύο δὴ τριγώνα ἐστὶ τὰ ΖΘΓ, ΖΚΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, κοινὴν αὐτῶν τὴν ΖΓ ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΖΘ κάθετος τῇ ΖΚ καθέτῳ. ὁμοίως δὴ δειχθήσεται ὅτι καὶ ἑκάστη τῶν ΖΛ, ΖΜ, ΖΗ ἑκατέρᾳ τῶν ΖΘ, ΖΚ ἴση ἐστί· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα πρὸς τῷ Ζ σημείῳ τῇ μιᾷ τῶν ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθειῶν, διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Η, Θ, Κ, Λ, Μ σημείοις γωνίας. εἰ γὰρ οὐκ ἐφάψεται αὐτῶν ἀλλὰ τεμεῖ αὐτὰς, συμβήσεται τὴν τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ'

ἀπ' ἄκρας ἀγομένων ἐντὸς πίπτειν τοῦ κύκλου, ὅπερ ἄτοπον ἀδείχθη. ἐπ' ἄρα ὁ κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ εὐθειῶν γραφόμενος κύκλος τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας οὐ διαπεσεῖται. ἐφάψεται ἄρα αὐτῶν. γεγράφθω ὡς ὁ ΗΘΚΛΜ.

Εἰς ἄρα τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος ἐγγέγραπται. ὅπερ ἔδει ποιῆσαι.

citur intra circulum cadet, quod abſurdum eſſe [per 16. 3.] oſtenſum eſt. centro igitur Ζ & intervallo æquali uni rectarum ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ circulus deſcriptus rectas lineas ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ non ſecabit: ipſas igitur continget. deſcribatur ut ΗΘΚΛΜ.

In dato igitur pentagono æquilatero & æquiangulo circulus eſt inſcriptus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Περὶ τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον περιγράψαι.

Prop. XIV. Probl.

Circa datum pentagonum æquilaterum & æquiangulum circulum circumſcribere.

Ἔστω τὸ δοθὲν πεντάγωνον, ὅπερ ἐστὶν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον περιγράψαι.

Τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑπὸ ἑκατέρας τῶν ΓΖ, ΖΔ, καὶ ἀπὸ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν αἱ διχοτομοῦσαι εὐθεῖαι, ἐπὶ τὰ Β, Α, Ε σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΖΒ, ΖΑ, ΖΕ.



Ἔστω ſit

Secetur [per 9. 1.] uterque ipſorum ΒΓΔ, ΓΔΕ angulorum bifariam à rectis lineis ΓΖ, ΖΔ; & à puncto Ζ, in quo conveniunt rectæ lineæ, ad puncta Β, Α, Ε ducantur ΖΒ, ΖΑ, ΖΕ. ſimiliter ut in antecedenti demonſtrabitur unumquemque angulorum ΓΒΑ, ΒΑΕ, ΑΕΔ à rectis lineis ΒΖ, ΖΑ, ΖΕ bifariam ſecari. & quoniam angulus ΒΓΔ angulo ΓΔΕ eſt æqualis, atque eſt anguli ΒΓΔ dimidius angulus ΖΓΔ, anguli vero ΓΔΕ dimidius ΓΔΖ; erit ΖΓΔ angulus æqualis angulo ΖΔΓ: quare [per 6. 1.] & latus ΖΓ lateri ΖΔ eſt æquale. ſimiliter demonſtrabitur unaquæque ipſarum ΖΒ, ΖΑ, ΖΕ æqualis alterutri ΖΓ, ΖΔ: quinque igitur rectæ lineæ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ ſunt inter ſe æquales. ergo centro Ζ & intervallo æquali uni ipſarum ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ circulus deſcriptus etiam per reliqua tranſibit puncta, eritque circumſcriptus circa pentagonum æquilaterum & æquiangulum ΑΒΓΔΕ. deſcribatur, & ſit ΑΒΓΔΕ.

Circa datum igitur pentagonum æquilaterum & æquiangulum circumſcriptus eſt circulus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιε'.

Εἰς τὸ δοθὲν κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Prop. XV. Probl.

In dato circulo hexagonum æquilaterum & æquiangulum inſcribere.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕΖ κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἤχθω δὴ ΑΒΓΔΕΖ κύκλου διάμετρος ἡ ΑΔ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Η, καὶ κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ τῷ ΔΗ κύκλος γεγράφθω ὁ ΕΗΓΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΗ, ΓΗ διήχθωσαν ἐπὶ τὰ Β, Ζ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ,

Ducatur circuli ΑΒΓΔΕΖ diameter ΑΔ, ſumaturque centrum circuli Η, & centro Δ intervallo autem ΔΗ [per 3. poſt.] circulus deſcribatur ΕΗΓΘ, junctæque ΕΗ, ΓΗ ad puncta Β, Ζ producantur, & jungantur ΑΒ, ΒΓ,

ΓΔ, ΔΕ, ΕΖ, ΖΑ: dico hexagonum ΑΒΓΔΕΖ æquilaterum esse & æquiangulum.

Quoniam enim Η punctum centrum est circuli ΑΒΓΔΕΖ, erit ΗΕ ipsi ΗΔ æqualis. rursus, quoniam Δ centrum est circuli ΕΗΓ, erit ΔΕ æqualis ΔΗ. sed ΗΕ ipsi ΗΑ æqualis ostensa est, ergo ΗΕ ipsi ΕΔ est æqualis: æquilaterum igitur est ΕΗΔ triangulum, ideoque tres ipsius anguli ΕΗΔ, ΗΔΕ, ΔΕΗ sunt inter se æquales, quoniam [per 5. 1.] triangulorum isosceliorum anguli ad basim sunt inter se æquales. & sunt [per 32. 1.] trianguli tres anguli æquales duobus rectis: angulus igitur ΕΗΔ est tertia pars duorum rectorum. similiter ostendetur & ΔΗΓ duorum rectorum pars tertia. & quoniam [per 13. 1.] recta linea ΓΗ super rectam ΕΒ insistens angulos qui deinceps sunt ΒΗΓ, ΓΗΒ duobus rectis æquales efficit, erit & reliquus ΓΗΑ pars tertia duorum rectorum: anguli igitur ΒΗΑ, ΑΗΖ, ΓΗΒ inter se sunt æquales. & qui ipsis ad verticem sunt anguli ΒΗΑ, ΑΗΖ, ΖΗΕ æquales sunt [per 15. 1.] angulis ΕΗΔ, ΔΗΓ, ΓΗΒ: quare sex anguli ΕΗΔ, ΔΗΓ, ΓΗΒ, ΒΗΑ, ΑΗΖ, ΖΗΕ sunt inter se æquales. sed [per 26. 3.] æquales anguli æqualibus circumferentiis insistunt: sex igitur circumferentiæ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ inter se sunt æquales. æquales autem circumferentias [per 29. 3.] æquales rectæ lineæ subtendunt: ergo & sex rectæ lineæ inter se æquales sunt, ac propterea æquilaterum est ΑΒΓΔΕΖ hexagonum. dico & æquiangulum esse. quoniam enim circumferentia ΑΖ circumferentiæ ΕΔ est æqualis, communis addatur circumferentia ΑΒΓΔ: tota igitur ΖΑΒΓΔ circumferentia æqualis est toti circumferentiæ ΕΔΓΒΑ, & circumferentiæ ΖΑΒΓΔ angulus ΖΕΔ insistit, circumferentiæ vero ΕΔΓΒΑ insistit angulus ΑΖΕ: angulus igitur ΑΖΕ [per 27. 3.] anguli ΔΕΖ est æqualis. similiter ostendentur & reliqui anguli hexagoni ΑΒΓΔΕΖ sigillatim æquales alteutri ipsorum ΑΖΕ, ΖΕΔ: est igitur æquiangulum ΑΒΓΔΕΖ hexagonum. ostensum autem est & æquilaterum esse: & inscriptum est in circulo ΑΒΓΔΕΖ.

In dato igitur circulo inscriptum est hexagonum æquilaterum & æquiangulum. quod erat faciendum.



Corollarium.

Ex hoc manifestum est hexagoni latus circuli semidiametro æquale esse.

Et si per puncta Α, Β, Γ, Δ, Ε, Ζ ducamus contingentes circulum, circa circulum circumscribetur hexagonum æquilaterum & æquiangulum, ad modum eorum, quæ de pentagono dicta sunt. ad quorum modum etiam dato hexagono circulum inscribemus & circumscribemus.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ ις'.

Εἰς τὸν δοθέντα κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔ κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Γεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τριγώνου μὲν ἰσοπλεύρου τοῦ εἰς αὐτὸν ἐγγραφομένου πλευρὰ ἡ ΑΓ, πενταγώνου δὲ ἰσοπλεύρου ἡ ΑΒ· οἷον ἄρα ἐστὶν ὁ ΑΒΓΔ κύκλος ἴσων τμημάτων δεκαπέντε, τοιούτων ἡ μὲν ΑΒΓ περιφέρεια τρίτον ὄσον τοῦ κύκλου ἔχουσα πέντε. ἡ δὲ ΑΒ περιφέρεια, πέμπτον ὄσον τοῦ κύκλου, ἔχουσα τριῶν· λοιπὴ ἄρα ἡ ΒΓ τῶν ἴσων δύο. τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Ε, ἑκατέρα ἄρα τῶν ΒΕ, ΕΓ περιφερῶν πεντεκαιδεκατόν ἐστι τοῦ ΑΒΓΔ κύκλου. ἐὰν ἄρα ἐπιζεύξαντες τὰς ΒΕ, ΕΓ εὐθείας, ἴσας αὐταῖς κατὰ τὸ συνεχὲς εὐθείας ἐναρμόσωμεν εἰς τὸν ΑΒΓΔ κύκλον, ἔσται εἰς αὐτὸν ἐγγεγραμμένον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον. ὅπερ ἔδει ποιῆσαι.



ΟΜΟΙΩΣ δὲ τοῖς ἐπὶ τοῦ πενταγώνου, ἐὰν διὰ τῶν κατὰ κύκλου διαιρέσεων ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν, περιγραφήσεται περὶ τὸν κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον. ἔτι δὲ διὰ τῶν ὁμοίων τοῖς ἐπὶ τοῦ πενταγώνου διαιρέσεων, καὶ εἰς τὸ δοθὲν πεντεκαιδεκάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον ἐγγράψομέν τε καὶ περιγράψομεν.

PROP. XVI. PROBL.

In dato circulo quindecagonum æquilaterum & æquiangulum inſcribere.

SIT datus circulus ΑΒΓΔ: oportet in circulo ΑΒΓΔ quindecagonum æquilaterum & æquiangulum inſcribere.

Inſcribatur circulo ΑΒΓΔ trianguli quidem æquilateri ipſi inſcripti latus ΑΓ, pentagoni vero æquilateri latus ΑΒ: qualium igitur partium circulus ΑΒΓΔ eſt quindecim, talium circumferentia ΑΒΓ (tertia exiſtens circuli) erit quinque. circumferentia vero ΑΒ, quæ quinta eſt circuli, erit trium: ergo reliqua ΒΓ eſt duarum. ſecetur [per 30. 3.] ΒΓ bifariam in puncto Ε: quare utraque ipſarum ΒΕ, ΕΓ circumferentiarum quintadecima pars eſt ΑΒΓΔ circuli. ſi igitur jungentes ΒΕ, ΕΓ æquales ipſis in continuum rectas lineas circulo ΑΒΓΔ [per 1. 4.] aptemus, erit in ipſo inſcriptum quindecagonum æquilaterum & æquiangulum. quod erat faciendum.

AD MODUM autem eorum quæ dicta ſunt de pentagono, ſi per circuli diviſiones ducamus rectas lineas circulum contingentes, circa ipſum circumſcribetur quindecagonum æquilaterum & æquiangulum. & inſuper, ad modum eorum quæ dicta ſunt de pentagono, dato quindecagono æquilatero & æquiangulo, circulum inſcribemus & circumſcribemus.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

EUCLIDIS
ELEMENTORUM
LIBER QUINTUS.

DEFINITIONES.

1. PARS eſt magnitudo magnitudinis, minor majoris, quando minor majorem metitur.

2. Multiplex eſt major minoris, quando minor majorem metitur.

3. * Ratio eſt duarum magnitudinum ejuſdem generis ſecundum quantuplicitatem mutua quædam habitudo.

4. Rationem inter ſe magnitudines habere dicuntur, quæ multiplicatæ ſe invicem ſuperare poſſunt.

5. In eadem ratione magnitudines eſſe dicuntur, prima ad ſecundam & tertia ad quartam; quando primæ & tertiæ æque multiplices ſecundæ & quartæ æque multiplices, juxta quamvis multiplicationem, utraque utramque vel una ſuperant, vel una æquales ſunt, vel una deficiunt inter ſe comparatæ.

6. Magnitudines quæ eandem rationem habent, proportionales vocentur.

7. Quando autem æque multiplicium, multiplex primæ ſuperaverit multiplicem ſecundæ, multiplex autem tertiæ non ſuperaverit multiplicem quartæ: tunc prima ad ſecundam majorem habere dicitur rationem, quam tertia ad quartam.

ΟΡΟΙ.

α'. ΜΕΡΟΣ ἐστὶ μέγεθος μεγέθους, τὸ ἔλασσον τοῦ μείζονος, ὅταν καταμετρῇ τὸ μεῖζον.

β'. Πολλαπλάσιον δὲ τὸ μεῖζον τοῦ ἐλάσσονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάσσονος.

γ'. Λόγος ἐστὶ δύο μεγεθῶν ὁμογενῶν ἡ κατὰ πηλικότητα πρὸς ἄλληλα ποιὰ σχέσις.

δ'. Λόγον ἔχειν πρὸς ἄλληλα μεγέθη λέγεται, ἃ πολλαπλασιαζόμενα ἀλλήλων ὑπερέχειν.

ε'. Ἐν τῷ αὐτῷ λόγῳ μέγεθη λέγεται εἶναι, πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον· ὅταν τὰ τοῦ πρώτου καὶ τρίτου ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου ἰσάκις πολλαπλασίων, καθ' ὁποιονοῦν πολλαπλασιασμόν, ἑκατέρου ἢ ἅμα ἐλλείπῃ, ἢ ἅμα ἴσα ᾖ, ἢ ἅμα ὑπερέχῃ ληφθέντα κατάλληλα.

ϛ'. Τὰ δὲ τὸν αὐτὸν ἔχοντα λόγον, ἀνάλογον καλείσθω.

ζ'. Ὅταν δὲ τῶν ἰσάκις πολλαπλασίων, τὸ μὲν τοῦ πρώτου πολλαπλάσιον ὑπερέχῃ τοῦ τοῦ δευτέρου πολλαπλασίου, τὸ δὲ τοῦ τρίτου πολλαπλάσιον μὴ ὑπερέχῃ τοῦ τοῦ τετάρτου πολλαπλασίου· τότε τὸ πρῶτον πρὸς τὸ δεύτερον μείζονα λόγον ἔχειν λέγεται, ἤπερ τὸ τρίτον πρὸς τὸ τέταρτον.

η'. Ανα-

* *i.e.* Ratio eſt ea magnitudinum homogenearum inter ſe relatio (ſeu habitudo) qua innuitur quomodo ſe habet altera ad alteram, ſecundum quantuplicitatem conſiderata. Vide Cl. *Walliſii* opera Mathematica, Vol. 2. p. 665.

η'. Ἀναλογία ἐστὶν ἡ τῶν λόγων ὁμοιότης.

θ'. Ἀναλογία δὲ ἐν τρισὶν ὅροις ἐλαχίστοις ἐστίν.

ι'. Ὅταν δὲ τρία μεγέθη ἀνάλογον ᾖ, τὸ πρῶτον πρὸς τὸ τρίτον διπλασίονα λόγον ἔχειν λέγεται, ἤπερ πρὸς τὸ δεύτερον.

ια'. Ὅταν δὲ τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ πρῶτον πρὸς τὸ τέταρτον τριπλασίονα λόγον ἔχειν λέγεται, ἤπερ πρὸς τὸ δεύτερον· ἢ ἀεὶ ἑξῆς ἐνὶ πλείονι, ἕως ἂν ἡ ἀναλογία ὑπάρχῃ.

ιβ. Ὁμόλογα μεγέθη λέγεται εἶναι, τὰ μὲν ἡγούμενα τοῖς ἡγουμένοις, τὰ δὲ ἑπόμενα τοῖς ἑπομένοις.

ιγ'. Ἐναλλὰξ λόγος ἐστὶ λῆψις τοῦ ἡγουμένου πρὸς τὸ ἡγούμενον, καὶ τοῦ ἑπομένου πρὸς τὸ ἑπόμενον.

ιδ'. Ἀνάπαλιν λόγος ἐστὶ λῆψις τοῦ ἑπομένου ὡς ἡγουμένου πρὸς τὸ ἡγούμενον ὡς ἑπόμενον.

ιε'. Σύνθεσις λόγου ἐστὶ λῆψις τοῦ ἡγουμένου μετὰ τοῦ ἑπομένου ὡς ἑνὸς πρὸς αὐτὸ τὸ ἑπόμενον.

ις'. Διαίρεσις δὲ λόγου ἐστὶ λῆψις τοῦ ὑπεροχῆς, ᾗ ὑπερέχει τὸ ἡγούμενον τοῦ ἑπομένου, πρὸς αὐτὸ τὸ ἑπόμενον.

ιζ'. Ἀναστροφὴ λόγου ἐστὶ λῆψις τοῦ ἡγουμένου πρὸς τὴν ὑπεροχήν, ᾗ ὑπερέχει τὸ ἡγούμενον τοῦ ἑπομένου.

ιη'. Δι᾽ ἴσου λόγος ἐστί, πλειόνων ὄντων μεγεθῶν καὶ ἄλλων ἴσων αὐτοῖς τὸ πλῆθος σὺν δύο λαμβανομένων καὶ ἐν τῷ αὐτῷ λόγῳ, ὅταν ᾖ ὡς ἐν τοῖς πρώτοις μεγέθεσι τὸ πρῶτον πρὸς τὸ ἔσχατον, οὕτως ἐν τοῖς δευτέροις μεγέθεσι τὸ πρῶτον πρὸς τὸ ἔσχατον. Η ΑΛΛΩΣ. Λῆψις τῶν ἄκρων καθ᾽ ὑπεξαίρεσιν τῶν μέσων.

ιθ'. Τεταγμένη ἀναλογία ἐστίν, ὅταν ᾖ ὡς ἡγούμενον πρὸς ἑπόμενον οὕτως ἡγούμενον πρὸς τὸ ἑπόμενον, ᾖ δὲ καὶ ὡς ἑπόμενον πρὸς ἄλλό τι οὕτως ἑπόμενον πρὸς ἄλλό τι.

κ'. Ταραγμένη δὲ ἀναλογία ἐστίν, ὅταν, τριῶν ὄντων μεγεθῶν καὶ ἄλλων ἴσων αὐτοῖς τὸ πλῆθος, γίνηται, ὡς μὲν ἐν τοῖς πρώτοις μεγέθεσιν ἡγούμενον πρὸς ἑπόμενον, οὕτως ἐν τοῖς δευτέροις μεγέθεσιν ἡγούμενον πρὸς ἑπόμενον· ὡς δὲ ἐν τοῖς πρώτοις μεγέθεσιν ἑπόμενον πρὸς ἄλλό τι, οὕτως ἐν τοῖς δευτέροις μεγέθεσιν ἄλλό τι πρὸς ἡγούμενον.

8. Proportio eſt rationum ſimilitudo.

9. Proportio in tribus ad minimum terminis conſiſtit.

10. Si tres magnitudines ſint proportionales, prima ad tertiam duplicatam habere dicitur rationem ejus quam habet ad ſecundam.

11. Si quatuor magnitudines ſint proportionales, prima ad quartam triplicatam habere dicitur rationem ejus quam habet ad ſecundam; & ſic deinceps uno amplius, quamdiu proportio exſtiterit.

12. Homologæ magnitudines dicuntur, antecedentes quidem antecedentibus, conſequentes vero conſequentibus.

13. Alterna ratio eſt ſumptio antecedentis ad antecedentem, & conſequentis ad conſequentem.

14. Inverſa ratio eſt ſumptio conſequentis ut antecedentis ad antecedentem ut ad conſequentem.

15. Compoſitio rationis eſt ſumptio antecedentis una cum conſequente tanquam unius ad ipſam conſequentem.

16. Diviſio rationis eſt ſumptio exceſſus, quo antecedens ſuperat conſequentem, ad ipſam conſequentem.

17. Converſio rationis eſt ſumptio antecedentis ad exceſſum, quo antecedens ipſam conſequentem ſuperat.

18. Ex æqualitate ratio eſt, quando, pluribus exiſtentibus magnitudinibus & aliis ipſis numero æqualibus, fuerit ut in primis magnitudinibus prima ad ultimam, ita in ſecundis magnitudinibus prima ad ultimam. VEL ALITER. Sumptio extremarum per ſubſtractionem mediarum.

19. Ordinata proportio eſt, quando fuerit ut antecedens ad conſequentem ita antecedens ad conſequentem; ut autem conſequens ad aliam quampiam, ita conſequens ad aliam quampiam.

20. Perturbata vero proportio eſt, quando, tribus exiſtentibus magnitudinibus & aliis ipſis numero æqualibus, fuerit ut in primis magnitudinibus antecedens ad conſequentem, ita in ſecundis magnitudinibus antecedens ad conſequentem: ut autem in primis magnitudinibus conſequens ad aliam quampiam, ita in ſecundis magnitudinibus alia quæpiam ad antecedentem.

PROPOSITIO I. PROBLEMA.

Si fuerint quotcunque magnitudines quotcunque magnitudinum æqualium numero, ſingulæ ſingularum æque multiplices; quam multiplex eſt una magnitudo unius, tam multiplices erunt & omnes omnium.

SInt quotcunque magnitudines AB, Γ Δ quotcunque magnitudinum E, Z æqualium numero, ſingulæ ſingularum æque multiplices: dico quam multiplex eſt AB ipſius E, tam multiplices eſſe & AB, Γ Δ ipſarum E, Z.

Quoniam enim AB æque multiplex eſt ipſius E, atque Γ Δ ipſius Z; quot magnitudines ſunt in AB æquales ipſi E, tot erunt & in Γ Δ æquales ipſi Z. dividatur AB quidem in partes ipſi E æquales, quæ ſint AH, HB; Γ Δ vero dividatur in partes æquales ipſi Z, videlicet Γ Θ, Θ Δ: erit igitur multitudo partium Γ Θ, Θ Δ æqualis multitudini ipſarum AH, HB. & quoniam AH eſt æqualis E, & Γ Θ æqualis Z; erunt & AH, Γ Θ æquales ipſis E, Z. eadem ratione HB eſt æqualis E, & Θ Δ ipſi Z; erunt igitur & HB, Θ Δ æquales ipſis E, Z: quot igitur ſunt in AB æquales ipſi E, tot ſunt & in AB, Γ Δ æquales ipſis E, Z: ergo quam multiplex eſt AB ipſius E, tam multiplices erunt & AB, Γ Δ ipſarum E, Z.

Si igitur fuerint quotcunque magnitudines quotcunque magnitudinum æqualium numero, ſingulæ ſingularum æque multiplices; quam multiplex eſt una magnitudo unius, tam multiplices erunt & omnes omnium. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν ἴσων τὸ πλῆθος, ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον· ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων.

Ἔστω ὁποσαοῦν μεγέθη τὰ AB, Γ Δ ὁποσωνοῦν μεγεθῶν τῶν E, Z ἴσων τὸ πλῆθος, ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον· λέγω ὅτι ὁσαπλάσιόν ἐστι τὸ AB τοῦ E, τοσαυταπλάσια ἔσται καὶ τὰ AB, Γ Δ τῶν E, Z.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ AB τοῦ E, καὶ τὸ Γ Δ τοῦ Z· ὅσα ἄρα μεγέθη ἐστὶν ἐν τῷ AB ἴσα τῷ E, τοσαῦτα καὶ ἐν τῷ Γ Δ ἴσα τῷ Z. διῃρήσθω τὸ μὲν AB εἰς τὰ τῷ E μεγέθη ἴσα τὰ AH, HB, τὸ δὲ Γ Δ εἰς τὰ τῷ Z ἴσα τὰ Γ Θ, Θ Δ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν Γ Θ, Θ Δ τῷ πλήθει τῶν AH, HB. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν AH τῷ E, τὸ δὲ Γ Θ τῷ Z· ἴσα ἄρα καὶ τὰ AH, Γ Θ τοῖς E, Z. διὰ τὰ αὐτὰ δὴ ἐστὶ ἴσον τὸ HB τῷ E, καὶ τὸ Θ Δ τῷ Z· ἴσα ἄρα ἐστὶ τὰ HB, Θ Δ τοῖς E, Z· ὅσα ἄρα ἐστὶν ἐν τῷ AB ἴσα τῷ E, τοσαῦτα καὶ ἐν τοῖς AB, Γ Δ ἴσα τοῖς E, Z· ὁσαπλάσιον ἄρα ἐστὶ τὸ AB τοῦ E, τοσαυταπλάσια ἔσται καὶ τὰ AB, Γ Δ τῶν E, Z.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν ἴσων τὸ πλῆθος, ἕκαστον ἑκάστου πολλαπλάσιον· ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων. ὅπερ ἔδει δεῖξαι.

PROP. II. PROBL.

Si prima ſecundæ æque multiplex fuerit atque tertia quartæ, fuerit autem & quinta ſecundæ æque multiplex atque ſexta quartæ; erunt etiam prima & quinta, ſimul ſumptæ, ſecundæ æque multiplices atque tertia & ſexta quartæ.

PRima enim A B ſecundæ Γ æque multiplex ſit atque tertia Δ E quartæ Z; ſit autem & quinta B H ſecundæ Γ æque multiplex atque ſexta E Θ quartæ Z: dico primam & quintam ſimul ſumptas A, H ſecundæ Γ æque multiplices eſſe atque tertiam & ſextam Δ Θ quartæ Z.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τετάρτου· καὶ συντεθὲν πρῶτον καὶ πέμπτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτου καὶ ἕκτου τετάρτου.

Πρῶτον γὰρ τὸ AB δευτέρου τοῦ Γ ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ Δ E τετάρτου τοῦ Z, ἔστω δὲ καὶ πέμπτον τὸ BH δευτέρου τοῦ Γ ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ E Θ τετάρτου τοῦ Z· λέγω ὅτι καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ A, H δευτέρου τοῦ Γ ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτου καὶ ἕκτου τὸ Δ Θ τετάρτου τοῦ Z.

Ἐπεὶ

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΑΒ μεγέθη ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ. διῃρήσθω δὴ τὸ μὲν ΑΒ εἰς τὰ ἐν αὐτῷ μεγέθη ἴσα τῷ Γ, τὸ δὲ ΔΕ εἰς τὰ ἐν αὐτῷ ἴσα τῷ Ζ· ἔσται δὴ τὸ πλῆθος τῶν ἐν τῷ ΑΒ ἴσον τῷ πλήθει τῶν ἐν τῷ ΔΕ. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΗ τοῦ Γ καὶ τὸ ΗΒ τοῦ Γ, τοσαῦτα ἄρα ἐστὶν ἐν τῷ ΑΗ ἴσα τῷ Γ, ὅσα ἐν τῷ ΗΒ ἐστὶν ἴσα τῷ Γ. διῃρήσθω δὴ τὸ μὲν ΑΗ εἰς τὰ ἐν αὐτῷ μεγέθη ἴσα τῷ Γ, τὸ δὲ ΗΒ εἰς τὰ ἐν αὐτῷ ἴσα τῷ Γ· ἔσται δὴ τὸ πλῆθος τῶν ἐν τῷ ΑΗ ἴσον τῷ πλήθει τῶν ἐν τῷ ΗΒ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἐὰν τὸ ΗΒ διαιρεθῇ εἰς τὰ ἐν αὐτῷ μεγέθη ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΒΘ ἴσα τῷ Ζ ἔσται· ἐὰν ἄρα τὸ ΑΗ διαιρεθῇ εἰς τὰ ἐν αὐτῷ μεγέθη ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΑΘ ἴσα ἔσται τῷ Ζ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΗ τοῦ Γ καὶ πολλαπλάσιον τὸ ΑΘ τοῦ Ζ· καὶ συνῃρήσθω ἄρα πρῶτον μὲν τὸ ΑΗ δεύτερον τοῦ Γ ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ ΑΘ τοῦ Ζ· καὶ ἔτι τὸ ΔΘ τοῦ Ζ· καὶ συνῃρήσθω ἄρα πρῶτον καὶ πέμπτον δεύτερον ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τέταρτον. ὅπερ ἔδει δεῖξαι.



Quoniam enim AB æque multiplex eſt ipſius Γ atque ΔE ipſius Z; quot magnitudines ſunt in AB æquales Γ, tot erunt & in ΔE æquales Z. eadem ratione & quot ſunt in BH æquales Γ, tot & in EΘ erunt æquales Z: quot igitur ſunt in tota AH æquales Γ, tot erunt & in tota ΔΘ æquales Z: ergo quam multiplex eſt AH ipſius Γ, tam multiplex eſt & ΔΘ ipſius Z: prima igitur & quinta ſimul ſumptæ AH ſecundæ Γ æque multiplices erunt atque tertia & ſexta ΔΘ quartæ Z.

Quare ſi prima ſecundæ æque multiplex fuerit atque tertia quartæ, fuerit autem & quinta ſecundæ æque multiplex atque ſexta quartæ; erunt prima & quinta ſimul ſumptæ æque multiplices ſecundæ atque tertia & ſexta quartæ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, λημφθῇ δὲ ἴσα τοῦ μὲν πρώτου καὶ τρίτου ὁποσαδηποῦν ἕκαστον ἑκατέρου ἑκατέρου ἰσάκις ἔσται πολλαπλάσιον, τὸ μὲν τοῦ δευτέρου, τὸ δὲ τοῦ τετάρτου.

PROP. III. THEOR.

Si prima ſecundæ æque multiplex fuerit atque tertia quartæ, ſumantur autem æque multiplices primæ & tertiæ; erit & ex æquo ſumptarum utraque utriuſque æque multiplex, altera quidem ſecundæ, altera vero quartæ.

Πρῶτον γὰρ τὸ Α δευτέρου τοῦ Β ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ Γ τετάρτου τοῦ Δ, καὶ εἰλήφθω τῶν Α, Γ ἰσάκις πολλαπλάσια τὰ ΕΖ, ΗΘ· λέγω ὅτι ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Β καὶ τὸ ΗΘ τοῦ Δ.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Α καὶ τὸ ΗΘ τοῦ Γ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΕΖ ἴσα τῷ Α, τοσαῦτα καὶ ἐν τῷ ΗΘ ἴσα τῷ Γ. διῃρήσθω τὸ μὲν ΕΖ εἰς τὰ τῷ Α μεγέθη ἴσα τὰ ΕΚ, ΚΖ, τὸ δὲ ΗΘ εἰς τὰ τῷ Γ ἴσα τὰ ΗΛ, ΛΘ· ἔσται δὴ ἴσον τὰ πλῆθος τῶν ΕΚ, ΚΖ τῷ πλήθει τῶν ΗΛ, ΛΘ. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Α τοῦ Β καὶ τὸ Γ τοῦ Δ· ἴσον δὲ τὸ μὲν ΕΚ τῷ Α, τὸ δὲ ΗΛ τῷ Γ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΕΚ τοῦ Β καὶ τὸ ΗΛ τοῦ Δ. διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΚΖ τοῦ Β, καὶ τὸ ΛΘ τοῦ Δ. ἐπεὶ οὖν πρῶτον τὸ ΕΚ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τρίτον τὸ ΗΛ τετάρτου τοῦ Δ, ἔστι δὲ καὶ πέμπτον τὸ ΚΖ δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ ΛΘ τετάρτου τοῦ Δ· καὶ συνῃρήσθω ἄρα πρῶτον καὶ πέμπτον τὸ ΕΖ



Prima enim A ſecundæ B æque multiplex ſit atque tertia Γ quartæ Δ: & ſumantur ipſarum A, Γ æque multiplices EZ, HΘ: dico EZ æque multiplicem eſſe ipſius B atque HΘ ipſius Δ.



Quoniam enim EZ æque multiplex eſt ipſius A, atque HΘ ipſius Γ; quot magnitudines ſunt in EZ æquales A, tot erunt & in HΘ æquales Γ. dividatur EZ quidem in magnitudines ipſi A æquales EK, KZ; HΘ vero dividatur in magnitudines æquales ipſi Γ, videlicet HΛ, ΛΘ: erit igitur ipſarum EK, KZ multitudo æqualis multitudini ipſarum HΛ, ΛΘ. & quoniam æque multiplex eſt A ipſius B atque Γ ipſius Δ, æqualis autem EK ipſi A, & HΛ ipſi Γ; erit EK æque multiplex ipſius B atque HΛ ipſius Δ. eadem ratione æque multiplex erit KZ ipſius B atque ΛΘ ipſius Δ. quoniam igitur prima EK ſecundæ B æque multiplex eſt atque tertia HΛ quartæ Δ; eſt autem & quinta KZ ſecundæ B æque multiplex atque ſexta ΛΘ quartæ Δ: erit [per 2. 5.] & compoſita è prima & quinta EZ

ſecundæ B æque multiplex atque tertia & ſexta HΘ quartæ Δ.

Si igitur prima ſecundæ æque fuerit multiplex atque tertia quartæ, ſumantur autem æque multiplices primæ & tertiæ; erit & ex æquo ſumptarum utraque utriuſque æque multiplex, altera quidem ſecundæ, altera vero quartæ. quod erat demonſtrandum.

Prop. IV. Theor.

Si prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam; & æque multiplices primæ & tertiæ ad æque multiplices ſecundæ & quartæ, juxta quamvis multiplicationem, eandem rationem habebunt inter ſe comparatæ.

PRima enim A ad ſecundam B eandem rationem habeat quam tertia Γ ad quartam Δ, & ſumantur ipſarum quidem A, Γ utcunque æque multiplices E, Z, ipſarum vero B, Δ aliæ utcunque æque multiplices HΘ: dico E ad H ita eſſe, ut Z ad Θ.



Sumantur enim ipſarum quidem E, Z æque multiplices K, Λ, & ipſarum H, Θ æque multiplices M, N.

Quoniam igitur E æque multiplex eſt ipſius A atque Z ipſius Γ, ſumuntur autem ipſarum E, Z æque multiplices K, Λ: erit [per 3. 5.] K æque multiplex ipſius A atque Λ ipſius Γ. eadem ratione M æque multiplex erit ipſius B atque N ipſius Δ. & quoniam eſt ut A ad B ita Γ ad Δ, ſumptæ autem ſunt ipſarum A, Γ æque multiplices K, Λ, & ipſarum B, Δ aliæ utcunque æque multiplices M, N: ſi K ſuperat M, ſuperabit [per 5. def. 5.] & Λ ipſam N; & ſi æqualis, æqualis; & ſi minor, minor erit. ſuntque K, Λ quidem ipſarum E, Z æque multiplices; M, N vero ipſarum H, Θ aliæ utcunque æque multiplices: ut igitur E ad H, ita erit [per 5. def. 5.] Z ad Θ.

Quare ſi prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam; æque multiplices primæ & tertiæ ad æque multiplices ſecundæ & quartæ, juxta quamvis multiplicationem, eandem rationem habebunt inter ſe comparatæ. quod erat demonſtrandum.

Corollarium.

Quoniam igitur demonſtratum eſt, ſi K ſuperat M, & Λ ipſam N ſuperare; & ſi æqualis, δευτέρᾳ τῇ B ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ HΘ τετάρτῳ τῷ Δ.

Ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ληφθῇ δὲ ἰσάκις πολλαπλάσια τοῦ πρώτου καὶ τρίτου· καὶ δι' ἴσου τὰ ληφθέντα ἑκάτερον ἑκατέρου ἰσάκις ἔσται πολλαπλάσια, τὸ μὲν τοῦ δευτέρου, τὸ δὲ τοῦ τετάρτου. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ Δ'.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸ αὐτὸν ἔχῃ λόγον ὃν τρίτον πρὸς τέταρτον· ᾖ καὶ ἰσάκις πολλαπλάσια τοῦ τε πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου, καθ' ὁποιονοῦν πολλαπλασιασμόν, τὸ αὐτὸν ἕξει λόγον ληφθέντα κατάλληλα.

Πρῶτον γὰρ τὸ A πρὸς δεύτερον τὸ B τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, καὶ εἰλήφθω τῶν μὲν A, Γ ἰσάκις πολλαπλάσια τὰ E, Z, τῶν δὲ B, Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ H, Θ· λέγω ὅτι ὡς τὸ E πρὸς τὸ H ἐστίν, οὕτως τὸ Z πρὸς τὸ Θ.

Εἰλήφθω γὰρ τῶν μὲν B, Z ἰσάκις πολλαπλάσια τὰ K, Λ, τῶν δὲ H, Θ ἰσάκις πολλαπλάσια τὰ M, N.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ μὲν E τοῦ A, τὸ δὲ Z τοῦ Γ, καὶ εἴληπται τῶν E, Z ἰσάκις πολλαπλάσια τὰ K, Λ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ K τοῦ A καὶ τὸ Λ τοῦ Γ. διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ M τοῦ B καὶ τὸ N τοῦ Δ. καὶ ἐπεί ἐστιν ὡς τὸ A πρὸς τὸ B οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν A, Γ ἰσάκις πολλαπλάσια τὰ K, Λ, τῶν δὲ B, Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ M, N· εἰ ἄρα ὑπερέχει τὸ K τοῦ M, ὑπερέχει καὶ τὸ Λ τοῦ N· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἔστι τὰ μὲν K, Λ τῶν E, Z ἰσάκις πολλαπλάσια, τὰ δὲ M, N τῶν H, Θ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ E πρὸς τὸ H, οὕτως τὸ Z πρὸς τὸ Θ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸ αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον· καὶ τὰ ἰσάκις πολλαπλάσια τοῦ πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου, καθ' ὁποιονοῦν πολλαπλασιασμόν, τὸ αὐτὸν ἔχει λόγον ληφθέντα κατάλληλα. ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐπεὶ οὖν ἐδείχθη, ὅτι, εἰ ὑπερέχει τὸ K τοῦ M, ὑπερέχει καὶ τὸ Λ τοῦ N· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον·

ἴλασσον· ὑπερέχῃ δὲ καὶ ἡ ὑπερέχουσα τὸ Μ τοῦ Κ, ὑπερέχῃ καὶ τὸ Ν τοῦ Δ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλασσον, ἔλασσον· καὶ ἀλλὰ τοῦτο ἔστω, καὶ ὡς τὸ Η πρὸς τὸ Ε, οὕτως τὸ Θ πρὸς τὸ Ζ. * Ἐκ δὴ τούτου φανερὸν, ὅτι ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἀνάπαλιν ἀνάλογον ἔσται.

equalem esse; & si minor, minorem: constat etiam si M superat K, & N superare ipsam Δ; & si æqualis, æqualem esse; & si minor, minorem: ac propterea ΘH ad E, ita erit Θ ad Z. Ex hoc manifestum est, si quatuor magnitudines sint proportionales, & inverse proportionales esse.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν μέγεθος μεγέθους ἰσάκις ᾖ πολλαπλάσιον, ὅπερ ἀφαιρεθὲν ἀφαιρεθέντος· καὶ τὸ λοιπὸν τοῦ λοιποῦ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστι τὸ ὅλον τοῦ ὅλου.

Prop. V. Theor.

Si magnitudo magnitudinis æque multiplex sit atque ablata ablatæ; erit & reliqua reliquæ æque multiplex atque tota totius.

Μέγεθος γὰρ τὸ ΑΒ μεγέθους τοῦ ΓΔ ἰσάκις ἔστω πολλαπλάσιον, ὅπερ ἀφαιρεθὲν τὸ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω ὅτι καὶ λοιπὸν τὸ ΕΒ λοιποῦ τοῦ ΖΔ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ὅλον τὸ ΑΒ ὅλου τοῦ ΓΔ.

Magnitudo enim ΑΒ magnitudinis ΓΔ æque multiplex sit atque ablata ΑΕ ablatæ ΓΖ: dico & reliquam ΕΒ reliquæ ΖΔ æque multiplicem esse atque totam ΑΒ totius ΓΔ.

Ὁσαπλάσιον γάρ ἐστι τὸ ΑΕ τοῦ ΓΖ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ ΕΒ τοῦ ΓΗ.

Quam multiplex enim est ΑΕ ipsius ΓΖ, tam multiplex fiat & ΕΒ ipsius ΓΗ.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΗΖ, κεῖται δὲ ἰσάκις πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΒ ἑκατέρου τῶν ΗΖ, ΓΔ· ἴσον ἄρα τὸ ΗΖ τῷ ΓΔ. κοινὸν ἀφῃρήσθω τὸ ΓΖ· λοιπὸν ἄρα τὸ ΗΓ λοιπῷ τῷ ΔΖ ἴσον ἐστί. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΗΓ, ἴσον δὲ τὸ ΗΓ τῷ ΔΖ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΕΒ τοῦ ΖΔ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΑΕ τοῦ ΓΖ καὶ τὸ ΑΒ τοῦ ΓΔ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΕΒ τοῦ ΖΔ καὶ τὸ ΑΒ τοῦ ΓΔ· καὶ λοιπὸν ἄρα τὸ ΕΒ λοιποῦ τοῦ ΖΔ ἰσάκις ἐστὶ πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ὅλον τὸ ΑΒ ὅλου τοῦ ΓΔ.

Et quoniam [per 1. 5.] ΑΒ æque multiplex est ipsius ΓΖ atque ΑΒ ipsius ΗΖ, ponitur autem ΑΕ æque multiplex ΓΖ atque ΑΒ ipsius ΓΔ; æque multiplex est ΑΒ utriusque ΗΖ, ΓΔ: ac propterea ΗΖ ipsi ΓΔ est æqualis. communis auferatur ΓΖ: reliqua igitur ΗΓ æqualis est reliquæ ΔΖ. itaque quoniam ΑΕ æque multiplex est ΓΖ atque ΕΒ ipsius ΗΓ, estque ΗΓ æqualis ΔΖ; erit ΑΕ æque multiplex ΓΖ atque ΕΒ ipsius ΖΔ. æque multiplex autem ponitur ΑΒ ipsius ΓΖ atque ΑΒ ipsius ΓΔ: ergo ΕΒ est æque multiplex ipsius ΖΔ atque ΑΒ ipsius ΓΔ: & reliqua igitur ΕΒ reliquæ ΖΔ æque multiplex est atque tota ΑΒ totius ΓΔ.

Η Γ Ζ Δ — Ε — Α Β

Ἐὰν ἄρα μέγεθος μεγέθους ἰσάκις ᾖ πολλαπλάσιον, ὅπερ ἀφαιρεθὲν ἀφαιρεθέντος· καὶ τὸ λοιπὸν τοῦ λοιποῦ ἰσάκις ἔσται πολλαπλάσιον, ὁσαπλάσιόν ἐστι τὸ ὅλον τοῦ ὅλου. ὅπερ ἔδει δεῖξαι.

Quare si magnitudo magnitudinis æque multiplex sit atque ablata ablatæ; erit & reliqua reliquæ æque multiplex atque tota totius. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν δύο μεγέθη δύο μεγεθῶν ἰσάκις ᾖ πολλαπλάσια, καὶ ἀφαιρεθέντα τινὰ τῶν αὐτῶν ἰσάκις ᾖ πολλαπλάσια· καὶ τὰ λοιπὰ τοῖς αὐτοῖς ἤτοι ἴσα ἐστὶν, ἢ ἰσάκις αὐτῶν πολλαπλάσια.

Prop. VI. Theor.

Si duæ magnitudines duarum magnitudinum æque multiplices sint, & ablatæ quædam sint earundem æque multiplices: erunt & reliquæ vel eisdem æquales, vel ipsarum æque multiplices.

Δύο γὰρ μεγέθη τὰ ΑΒ, ΓΔ δύο μεγεθῶν τῶν Ε, Ζ ἰσάκις ἔστω πολλαπλάσια, καὶ ἀφαιρεθέντα τὰ ΑΗ, ΓΘ τῶν αὐτῶν τῶν Ε, Ζ ἰσάκις ἔστω πολλαπλάσια· λέγω ὅτι καὶ λοιπὰ τὰ ΗΒ, ΘΔ τοῖς Ε, Ζ ἤτοι ἴσα ἐστὶν, ἢ ἰσάκις αὐτῶν πολλαπλάσια.

DUÆ enim magnitudines ΑΒ, ΓΔ, duarum magnitudinum Ε, Ζ sint æque multiplices, & ablatæ ΑΗ, ΓΘ earundem Ε, Ζ sint æque multiplices: dico & reliquas ΗΒ, ΘΔ vel ipsis Ε, Ζ æquales esse, vel ipsarum æque multiplices.

Ἔστω γὰρ πρότερον τὸ ΗΒ τῷ Ε ἴσον· λέγω ὅτι καὶ τὸ ΘΔ τῷ Ζ ἴσον ἐστί. κείσθω γὰρ τῷ Ζ ἴσον τὸ ΓΚ.

Sit enim primum ΗΒ æqualis Ε: dico & ΘΔ ipsi Ζ esse æqualem. ponatur enim ipsi Ζ æqualis ΓΚ.

* Aliis in libris Corollarium incipit ad hæc verba, Ἐκ δὴ τούτου, &c.

Et quoniam AH æque multiplex est ipsius E atque Γ Θ ipsius Z, estque H B quidem æqualis E; Γ K vero æqualis Z: erit [per 2. 5.] A B æque multiplex ipsius E, atque K Θ ipsius Z. æque autem multiplex ponitur A B ipsius E atque Γ Δ ipsius Z: ergo K Θ æque multiplex est ipsius Z atque Γ Δ ipsius Z. quoniam igitur utraque ipsarum K Θ, Γ Δ est æque multiplex ipsius Z, erit K Θ æqualis Γ Δ. communis auferatur Γ Θ: ergo reliqua K Γ reliquæ Θ Δ est æqualis. sed K Γ est æqualis Z: Θ Δ igitur ipsi Z est æqualis. si igitur H B ipsi E æqualis fuerit, etiam Θ Δ ipsi Z æqualis erit.



Similiter demonstrabimus si H B [ut in fig. 2.] multiplex fuerit ipsius E, & Θ Δ ipsius Z æque multiplicem esse.

Si igitur duæ magnitudines duarum magnitudinum æque multiplices sint, & ablatæ quædam sint earundem æque multiplices: erunt & reliquæ vel iisdem æquales, vel ipsarum æque multiplices. quod erat demonstrandum.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ AH τοῦ E καὶ τὸ Γ Θ τοῦ Z, ἴσον δὲ τὸ μὲν HB τῷ E, τὸ δὲ ΓK τῷ Z· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ AB τοῦ E, καὶ τὸ K Θ τοῦ Z. ἰσάκις δὲ (ὑπόκειται) πολλαπλάσιον τὸ AB τοῦ E, καὶ τὸ Γ Δ τοῦ Z· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ K Θ τοῦ Z, καὶ τὸ Γ Δ τοῦ Z. ἐπεὶ οὖν ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ K Θ, Γ Δ τοῦ Z ἰσάκις ἐστὶ πολλαπλάσιον· ἴσον ἄρα ἐστὶ τὸ K Θ τῷ Γ Δ. κοινὸν ἀφῃρήσθω τὸ Γ Θ· λοιπὸν ἄρα τὸ KΓ λοιπῷ τῷ Θ Δ ἴσον ἐστίν. ἀλλὰ τὸ KΓ τῷ Z ἐστὶν ἴσον· καὶ τὸ Θ Δ ἄρα τῷ Z ἐστὶν ἴσον. ὥστε ἐὰν τὸ HB τῷ E ἴσον ᾖ, καὶ τὸ Θ Δ ἴσον ἔσεται τῷ Z.



Ὁμοίως δὴ δείξομεν ὅτι κἂν πολλαπλάσιον ᾖ τὸ HB τοῦ E, τοσαυταπλάσιον ἔσεται καὶ τὸ Θ Δ τοῦ Z.

Ἐὰν ἄρα δύο μεγέθη δύο μεγεθῶν ἰσάκις ᾖ πολλαπλάσια, καὶ ἀφαιρεθέντα τινὰ τῶν αὐτῶν ἰσάκις ᾖ πολλαπλάσια· καὶ τὰ λοιπὰ τοῖς αὐτοῖς ἤτοι ἴσα ἐστὶν, ἢ ἰσάκις αὐτῶν πολλαπλάσια. ὅπερ ἔδει δεῖξαι.

Prop. VII. Theor.

Æquales magnitudines eandem habent rationem ad eandem, & eadem ad æquales.

ΠΡΟΤΑΣΙΣ ζ'.

Τὰ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα.

Sint æquales magnitudines A, B, alia autem quævis magnitudo Γ: dico utramque ipsarum A, B ad Γ eandem habere rationem; & etiam Γ ad utramque A, B eandem habere rationem.

Sumantur enim ipsarum A, B æque multiplices Δ, E, & ipsius Γ alia utcunque multiplex Z.

Quoniam igitur æque multiplex est Δ ipsius A atque E ipsius B, estque A ipsi B æqualis; erit & Δ æqualis E. alia autem est Z utcunque multiplex ipsius Γ: ergo si Δ superat Z, & E ipsam Z superabit; & si æqualis, æqualis; & si minor, minor. & sunt Δ, E quidem ipsarum A, B æque multiplices, Z vero alia utcunque multiplex ipsius Γ: erit igitur [per 5. def. 5.] ut A ad Γ, ita B ad Γ.

Dico insuper Γ ad utramque ipsarum A, B eandem habere rationem.

Iisdem enim constructis similiter ostendemus Δ ipsi E æqualem esse, aliam vero quandam Z. si igitur Z superat Δ, ipsam quoque E superabit; & si æqualis, æqualis; & si minor, minor. atque est Z quidem ipsius Γ multiplex, Δ, E vero aliæ utcunque æque multiplices ipsarum A, B: ergo [per 5. def. 5.] ut Γ ad A ita erit Γ ad B.

Ἔστω ἴσα μεγέθη τὰ A, B, ἄλλο δέ τι ὃ ἔτυχε μέγεθος τὸ Γ· λέγω ὅτι ἑκάτερον τῶν A, B πρὸς τὸ Γ τὸν αὐτὸν ἔχει λόγον, καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν A, B.

Εἰλήφθω γὰρ τῶν A, B ἰσάκις πολλαπλάσια τὰ Δ, E, τοῦ δὲ Γ ἄλλο ὃ ἔτυχε πολλαπλάσιον τὸ Z.

Ἐπεὶ οὖν ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Δ τοῦ A καὶ τὸ E τοῦ B, ἴσον δὲ τὸ A τῷ B· ἴσον ἄρα ἐστὶ καὶ τὸ Δ τῷ E. ἄλλο δέ τι ὃ ἔτυχε τὸ Z τοῦ Γ πολλαπλάσιον· εἰ ἄρα ὑπερέχει τὸ Δ τοῦ Z, ὑπερέχει καὶ τὸ E τοῦ Z· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἐστὶ τὰ μὲν Δ, E τῶν A, B ἰσάκις πολλαπλάσια, τὸ δὲ Z τοῦ Γ ἄλλο ὃ ἔτυχε πολλαπλάσιον· ἔστιν ἄρα ὡς τὸ A πρὸς τὸ Γ, οὕτως τὸ B πρὸς τὸ Γ.

Λέγω δὴ ὅτι καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν A, B τὸν αὐτὸν ἔχει λόγον.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν ὅτι ἴσον ἐστὶ τὸ Δ τῷ E, ἄλλο δέ τι τὸ Z. εἰ ἄρα ὑπερέχει τὸ Z τοῦ Δ, ὑπερέχει καὶ τοῦ E· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἐστὶ τὸ μὲν Z τοῦ Γ πολλαπλάσιον, τὰ δὲ Δ, E τῶν A, B ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ A, οὕτως τὸ Γ πρὸς τὸ B.

Τὰ

Τὰ ἴσα ἄρα πρὸς τὸ αὐτὸ τ αὐτὸν ἔχει λόγον, ϗ τὸ αὐτὸ πρὸς τὰ ἴσα. ὅπερ ἔδει δεῖξαι.

Æquales igitur ad eandem eandem habent rationem, & eadem ad æquales. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ η'.

Τῶν ἀνίσων μεγεθῶν, τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἤπερ τὸ ἔλαττον· ϗ τὸ αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει, ἤπερ πρὸς τὸ μεῖζον.

Prop. VIII. Theor.

Inæqualium magnitudinum, major ad eandem majorem habet rationem quam minor: & eadem ad minorem majorem habet rationem quam ad majorem.

Ἔστω ἄνισα μεγέθη τὰ ΑΒ, Γ, ϗ ἔστω μεῖζον τὸ ΑΒ τοῦ Γ, ἄλλο δέ τι ὃ ἔτυχε τὸ Δ· λέγω ὅτι τὸ ΑΒ πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ, ϗ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ ΑΒ.

Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ Γ, κείσθω τῷ Γ ἴσον τὸ ΒΕ, τὸ δὲ ἔλασσον τὸ ΑΕ, ΕΒ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. ἔστω πρότερον τὸ ΑΕ ἔλαττον τοῦ ΕΒ, ϗ πολλαπλασιάσθω τὸ ΑΕ ἕως τὸ γινόμενον μεῖζον ἔσται τοῦ Δ. ϗ ἔστω αὐτοῦ πολλαπλάσιον τὸ ΖΗ μεῖζον ὂν τοῦ Δ, ϗ ὁσαπλάσιόν ἐστι τὸ ΖΗ τοῦ ΑΕ τοσαυταπλάσιον γεγονέτω ϗ τὸ μὲν ΗΘ τοῦ ΕΒ, τὸ δὲ Κ τοῦ Γ· ϗ εἰλήφθω τοῦ Δ διπλάσιον μὲν τὸ Λ, τριπλάσιον δὲ τὸ Μ, ϗ ἑξῆς εἷς πλεῖον ἕως ἂν τὸ λαμβανόμενον πολλαπλάσιον μὲν γένηται τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ Κ. εἰλήφθω, ϗ ἔστω τὸ Ν τετραπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ Κ.



Ἐπεὶ οὖν τὸ Κ τοῦ Ν πρώτως ἐστὶν ἔλαττον, τὸ Κ ἄρα τοῦ Μ οὐκ ἔστιν ἔλαττον. ϗ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ ϗ τὸ ΗΘ τοῦ ΕΒ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ ϗ τὸ ΖΘ τοῦ ΑΒ. ἰσάκις δέ ἐστι πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ ϗ τὸ Κ τοῦ Γ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΘ τοῦ ΑΒ, ϗ τὸ Κ τοῦ Γ· τὰ ΖΘ, Κ ἄρα τῶν ΑΒ, Γ ἰσάκις ἐστὶ πολλαπλάσια. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΕΒ ϗ τὸ Κ τοῦ Γ, ἴσον δὲ τὸ ΕΒ τῷ Γ· ἴσον ἄρα ϗ τὸ ΗΘ τῷ Κ. τὸ δὲ Κ τοῦ Μ οὐκ ἔστιν ἔλαττον· οὐδ' ἄρα τὸ ΗΘ τοῦ Μ ἔλαττόν ἐστι. μεῖζον δὲ ΖΗ τοῦ Δ· ὅλον ἄρα τὸ ΖΘ συναμφοτέρων τῶν Δ, Μ μεῖζόν ἐστιν. ἀλλὰ συναμφότερα τὰ Δ, Μ τῷ Ν ἐστιν ἴσα· τὸ ΖΘ ἄρα τοῦ Ν ὑπερέχει, τὸ δὲ Κ τοῦ Ν οὐχ ὑπερέχει. ϗ ἔστι τὰ μὲν ΖΘ, Κ τῶν ΑΒ, Γ ἰσάκις πολλαπλάσια, τὸ δὲ Ν τοῦ Δ ἄλλο ὅ ἔτυχε πολλαπλάσιον· τὸ ΑΒ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει, ἤπερ τὸ Γ πρὸς τὸ Δ.

ΛΕΓΩ δή, ὅτι ϗ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει, ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν, ὅτι τὸ μὲν Ν τοῦ Κ ὑπερέχει, τοῦ δὲ ΖΘ οὐχ ὑπερέχει. ϗ ἔστι τὸ μὲν Ν τοῦ Δ πολλαπλάσιον, τὰ δὲ ΖΘ, Κ τῶν ΑΒ, Γ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· τὸ ΑΒ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει, ἤπερ τὸ Γ πρὸς τὸ Δ.

Sint inæquales magnitudines AB, Γ, & ſit AB major Γ, alia vero utcunque Δ: dico AB ad Δ majorem habere rationem quam Γ ad Δ; & Δ ad Γ majorem habere rationem quam ad AB.

Quoniam enim AB major eſt quam Γ, ponatur [per 3. 1.] ipſi Γ æqualis BE; minor igitur ipſarum AE, EB multiplicata major aliquando erit [per 4. def. 5.] quam Δ. ſit primum AE minor quam EB, & multiplicetur AE quoad fiat major quam Δ: ſitque ZH ipſius AE multiplex, quæ ipſa Δ eſt major. quam multiplex autem eſt ZH ipſius AE, tam multiplex fiat & HΘ ipſius EB, & K ipſius Γ: ſumaturque ipſius Δ dupla quidem Λ, tripla vero M, & deinceps una major, quoad ea quæ ſumitur multiplex fiat ipſius Δ, & primo major quam K. ſumatur, ſitque N ipſius Δ quadrupla, & primo major quam K.

Quoniam igitur K primo minor eſt quam N, non erit K minor quam M. & cum æque multiplex ſit ZH, ipſius AE atque HΘ ipſius EB, erit [per 1. 5.] & ZH æque multiplex ipſius AE atque ZΘ ipſius AB. æque autem multiplex eſt ZH ipſius AE atque K ipſius Γ: ergo ZΘ æque multiplex eſt ipſius AB atque K ipſius Γ; ac propterea ZΘ, K ipſarum AB, Γ ſunt æque multiplices. rurſus, quoniam HΘ æque multiplex eſt ipſius EB atque K ipſius Γ, eſtque EB æqualis Γ; erit & HΘ ipſi K æqualis. ſed K non eſt minor quam M: non eſt igitur HΘ minor quam M. major autem eſt [per conſtr.] ZH quam Δ: ergo tota ZΘ utriſque ſimul Δ, M major erit. ſed utræque ſimul Δ, M ſunt æquales N: quare ZΘ ſuperat N; K vero ipſam N non ſuperat. & ſunt ZΘ, K æque multiplices ipſarum AB, Γ; & N ipſius Δ alia quædam multiplex: ergo [per 7. def. 5.] AB ad Δ majorem rationem habet quam Γ ad Δ.

Dico præterea & Δ ad Γ majorem habere rationem, quam Δ ad AB.

Iiſdem enim conſtructis, ſimiliter oſtendemus N ſuperare K, ipſam vero ZΘ non ſuperare. atque eſt N multiplex ipſius Δ, & ZΘ, K aliæ quædam ipſarum AB, Γ æque multiplices;

tiplices; ergo [per 7. def. 5.] Δ ad Γ majorem rationem habet, quam Δ ad AB.

Sed ſit AE major quam EB: erit igitur [per 4. def. 5.] minor EB multiplicata aliquando major quam Δ. multiplicetur, & ſit HΘ multiplex quidem ipſius EB, major vero quam Δ. & quam multiplex eſt HΘ ipſius EB, tam multiplex fiat ZH ipſius AE, & K ipſius Γ. ſimili ratione qua prius oſtendemus ZΘ, K ipſarum AB, Γ æque multiplices eſſe. ſumaturque ſimiliter N multiplex ipſius Δ, primo autem major quam ZH: ergo rurſus ZH non eſt minor quam M. major autem HΘ quam Δ: tota igitur ZΘ ſuperat Δ & M ſimul, hoc eſt N. at K ipſam N non ſuperat, quoniam ZH, quæ major eſt quam HΘ, hoc eſt quam K, non ſuperat N. & ſimiliter ut in iis, quæ ſuperius dicta ſunt, demonſtrationem abſolvemus.



Inæqualium igitur magnitudinum major ad eandem majorem habet rationem, quam minor: & eadem ad minorem majorem rationem habet, quam ad majorem. quod erat demonſtrandum.

PROP. IX. THEOR.

Quæ eandem rationem habent ad eandem, ſunt inter ſe æquales: & ad quas eadem eandem habet rationem, ipſæ etiam ſunt inter ſe æquales.

HAbeat enim utraque ipſarum A, B ad Γ eandem rationem: dico A ipſi B æqualem eſſe.

Si enim non eſſet æqualis, non haberet [per 8. 5.] utraque ipſarum A, B ad Γ eandem rationem. habet autem: æqualis igitur eſt A ipſi B.

HABEAT rurſus Γ ad utramque ipſarum A, B eandem rationem: dico A æqualem eſſe ipſi B.

Si enim non ſit, [per 8. 5.] non haberet Γ ad utramque A, B eandem rationem. habet autem: ergo A ipſi B eſt æqualis.



Quæ igitur eandem rationem habent ad eandem, ſunt inter ſe æquales: & ad quas eadem eandem habet rationem, ipſæ etiam ſunt inter ſe æquales. quod erat demonſtrandum.

PROP. X. THEOR.

Magnitudinum rationem habentium ad eandem, quæ majorem habet rationem, eſt major; ad quam vero eadem majorem habet rationem, illa eſt minor.

HAbeat enim A ad Γ majorem rationem, quam B ad Γ: dico A majorem eſſe quam B.

πλάσια· τὸ Δ ἄρα πρὸς τὸ Γ μείζονα λόγον ἔχει, ἤπερ τὸ Δ πρὸς τὸ AB.

Ἀλλὰ δὴ τὸ AE μεῖζον ἔστω τοῦ EB· τὸ δὴ ἔλαττον τὸ EB πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. πεπολλαπλασιάσθω, καὶ ἔστω τὸ HΘ πολλαπλάσιον μὲν τοῦ EB, μεῖζον δὲ τοῦ Δ· καὶ ἁπλάσιον ἐστι τὸ HΘ τοῦ EB, ταυταπλάσιον γινέσθω καὶ τὸ μὲν ZH τοῦ AE, τὸ δὲ K τοῦ Γ. ὁμοίως δὴ δείξομεν ὅτι τὰ ZΘ, K τῶν AB, Γ ἰσάκις ἐστὶ πολλαπλάσια. καὶ εἰλήφθω ὁμοίως τὸ N πολλαπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ ZH· ὥστε πάλιν τὸ ZH τοῦ M οὐκ ἔστιν ἔλαττον. μεῖζον δὲ τὸ HΘ τοῦ Δ· ὅλον ἄρα τὸ ZΘ τῶν Δ, M τυτέστι τοῦ N ὑπερέχει, τὸ δὲ K τοῦ N οὐχ ὑπερέχει, ἐπειδήπερ καὶ τὸ ZH μεῖζον ὂν τοῦ HΘ, τυτέστι τὸ K, τοῦ N οὐχ ὑπερέχει. καὶ ὁσαύτως κατακολουθοῦντες τοῖς ἐπάνω περαινομεν τὴν ἀποδειξιν.

Τῶν ἄρα ἀνίσων μεγεθῶν τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἤπερ τὸ ἔλαττον· καὶ τὸ αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει, ἤπερ πρὸς τὸ μεῖζον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ θ'.

Τὰ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον, ἴσα ἀλλήλοις ἐστί· καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, κἀκεῖνα ἴσα ἀλλήλοις ἐστίν.

ΕΧέτω γὰρ ἑκάτερον τῶν A, B πρὸς τὸ Γ τὸν αὐτὸν λόγον· λέγω ὅτι ἴσον ἐστὶ τὸ A τῷ B.

Εἰ γὰρ μή, οὐκ ἂν ἑκάτερον τῶν A, B πρὸς τὸ Γ τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ, ἴσον ἄρα ἐστὶ τὸ A τῷ B.

ΕΧΕΤΩ δὴ πάλιν τὸ Γ πρὸς ἑκάτερον τῶν A, B τὸν αὐτὸν λόγον· λέγω ὅτι ἴσον ἐστὶ τὸ A τῷ B.

Εἰ γὰρ μή, οὐκ ἂν τὸ Γ πρὸς ἑκάτερον τῶν A, B τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ· ἴσον ἄρα ἐστὶ τὸ A τῷ B.

Τὰ ἄρα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον, ἴσα ἀλλήλοις ἐστί· καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, κἀκεῖνα ἴσα ἐστίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ι'.

Τῶν πρὸς τὸ αὐτὸ λόγον ἐχόντων, τὸ τὸν μείζονα λόγον ἔχον ἐκεῖνο μεῖζόν ἐστι· πρὸς ἣν δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλαττόν ἐστιν.

ΕΧέτω γὰρ τὸ A πρὸς τὸ Γ μείζονα λόγον, ἤπερ τὸ B πρὸς τὸ Γ· λέγω ὅτι μεῖζόν ἐστι τὸ A τοῦ B.

Εἰ

τῷ Β, ἢ ἔλαττον. ἴσον
ἐστὶ τὸ Β, ἑκάτερον γὰρ ἂν τῶν Α, Β πρὸς
ἐκ ἔχει δέ, οὐκ ἄρα
οὐδὲ μείων ἐλάσσων
Β, ὁμοίως δὴ δείξομεν πρὸς τὸ Γ
λόγον ἔχειν ἥπερ τὸ Β πρὸς
ἄρα ἐλάσσων ἐστὶ τὸ
οὐδὲ ἴσον, μείζων
τὸ Α.

Ὁμοίως δὴ πάλιν τὸ Γ πρὸς τὸ Β
τὸ Γ πρὸς τὸ Α· λέ-
ἐστὶ τὸ Β τοῦ Α.
μείων, ἢ ἴσον ἐστίν, ἢ μείζων. ἴσον
οὐκ ἐστὶ τὸ Β τῷ Α, τὸ Γ γὰρ ἂν
τῶν Α, Β τὸν αὐτὸν εἶχε
οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α
μείζων ἐστὶ τὸ Β τοῦ Α,
πρὸς τὸ Β ἐλάσσονα λόγον εἶχεν ἥπερ
ἔχει δέ, οὐκ ἄρα μείζων ἐστὶ τὸ
οὐδὲ ἴσον, ἐλάττων ἄρα ἐστὶ

Τὰ τοίνυν πρὸς τὸ αὐτὸ λόγον ἔχοντα, τὸ μεί-
ζονα μείζονα ἐστὶ· καὶ πρὸς ὃ τὸ αὐτὸ
λόγον ἔχει, ἐκεῖνο ἐλάσσων ἐστίν. ὅπερ
ἔδει δεῖξαι.

Si enim non eſt major, vel æqualis eſt, vel minor. æqualis autem non eſt A ipſi B, utraquè enim ipſarum A, B ad Γ [per 7. 5.] eandem haberet rationem. atqui eandem non habet: non eſt igitur A æqualis ipſi B. ſed neque minor eſt A quam B, haberet enim A ad Γ [per 8. 5.] minorem rationem quam B ad Γ. atqui non habet minorem: non eſt igitur A minor quam B. oſtenſum autem eſt neque eſſe æqualem: ergo A quam B major erit.

HABEAT rurſus Γ ad B majorem rationem quam Γ ad A: dico B minorem eſſe quam A.

Si enim non eſt minor, vel æqualis eſt, vel major. æqualis utique non eſt B ipſi A, etenim Γ ad utramque ipſarum A, B [per 7. 5.] eandem rationem haberet. non habet autem: ergo A ipſi B non eſt æqualis. ſed neque major eſt B quam A, haberet enim [per 8. 5.] Γ ad B minorem rationem quam ad A. atqui non habet: non eſt igitur B major quam A. oſtenſum autem eſt neque æqualem eſſe: ergo B minor erit quam A.

Magnitudinum igitur rationem habentium ad eandem, quæ majorem habet rationem illa major eſt: & ad quam eadem majorem habet rationem, illa eſt minor. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ια'.

Τὰ αὐτῷ λόγῳ αἱ αὐταὶ, καὶ ἀλλήλοις εἰσὶν αἱ αὐταί.

PROP. XI. THEOR.

Quæ eidem eædem ſunt rationes, & inter ſe ſunt eædem.

Ἔστω γὰρ ὡς μὲν τὸ Α πρὸς τὸ Β οὕτως τὸ Γ πρὸς τὸ Δ οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Ε πρὸς τὸ Ζ.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Καὶ ἐπεὶ ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Δ ἄλλα ἰσάκις πολλαπλάσια τὰ Λ, Μ· εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. πάλιν, ἐπεὶ ἐστὶν ὡς τὸ Γ πρὸς τὸ Δ οὕτως τὸ Ε πρὸς τὸ Ζ, ἐστὶ δὲ καὶ τῶν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Θ, Κ, τῶν δὲ Δ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Μ, Ν· εἰ ὑπερέχει τὸ Θ τοῦ Μ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἐστὶν ἑκάτερον τῶν Η, Θ ἑκατέρου τῶν Α, Γ ἰσάκις πολλαπλάσιον· τὰ γὰρ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάτερον τῶν Λ, Μ ἑκατέρου τῶν Β, Δ ἰσάκις ἐστὶ πολλαπλάσιον. εἰ οὖν ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Δ ἰσάκις πολλαπλάσια τὰ Λ, Μ· εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. πάλιν, ἐπεὶ ἐστὶν ὡς τὸ Γ πρὸς τὸ Δ οὕτως τὸ Ε πρὸς τὸ Ζ, ἐστὶ δὲ καὶ τῶν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Θ, Κ, τῶν δὲ Δ, Ζ ἄλλα ἰσάκις πολλαπλάσια τὰ Μ, Ν· εἰ ἄρα ὑπερέχει τὸ Θ τοῦ Μ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. ἐστὶ δὲ καὶ τὸ Θ

perabit; & ſi æqualis, æqualis; & ſi minor, minor. ſed ſi Θ ſuperat M, & H ſuperabit Λ; & ſi æqualis, æqualis; & ſi minor, minor: quare ſi H ſuperat Λ, & K ipſam N ſuperabit; & ſi æqualis, æqualis; & ſi minor, minor. & ſunt H, K quidem ipſarum A, E æque multiplices, Λ, N vero ipſarum B, Z aliæ utcunque æque multiplices: ergo [per 5. def. 5.] ut A ad B ita erit E ad Z.



Quæ igitur eidem eædem ſunt rationes, & inter ſe ſunt eædem. quod erat demonſtrandum.

Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλασσον, ἔλασσον. ἀλλ' ἐὰ ὑπερέχῃ τὸ Θ τοῦ Μ, ὑπερέχῃ καὶ τὸ Η τοῦ Λ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον· ὥςε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον. καὶ ἔστι τὰ μὲν Η, Κ τῶν Α, Ε ἰσάκις πολλαπλάσια, τὰ δὲ Λ, Ν τῶν Β, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Ε πρὸς τὸ Ζ.

Οἱ ἄρα τῷ αὐτῷ λόγῳ οἱ αὐτοὶ, καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί. ὅπερ ἔδει δεῖξαι.

Prop. XII. Theor.

Si quotcunque magnitudines proportionales fuerint; ut una antecedentium ad unam conſequentium, ita erunt omnes antecedentes ad omnes conſequentes.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον· ἔσται ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα.

SInt quotcunque magnitudines proportionales A, B, Γ, Δ, E, Z; & ut A ad B ita ſit Γ ad Δ, & E ad Z: dico ut A ad B ita eſſe A, Γ, E ad B, Δ, Z.

Ἔστωσαν ὁποσαιοῦν μεγέθη ἀνάλογον, τὰ Α, Β, Γ, Δ, Ε, Ζ, ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Γ πρὸς τὸ Δ καὶ τὸ Ε πρὸς τὸ Ζ· λέγω ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὰ Α, Γ, Ε πρὸς τὰ Β, Δ, Ζ.

Sumantur enim ipſarum A, Γ, E æque multiplices H, Θ, K, & ipſarum B, Δ, Z aliæ utcunque æque multiplices Λ, M, N.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.



Quoniam igitur ut A ad B ita eſt Γ ad Δ, & E ad Z; & ſumptæ ſunt ipſarum quidem A, Γ, E æque multiplices H, Θ, K, ipſarum vero B, Δ, Z aliæ utcunque æque multiplices Λ, M, N: ſi H ſuperat Λ, [per 5. def. 5.] & Θ ipſam M ſuperabit, & K ipſam N; & ſi æquales, æquales; & ſi minores, minores. quare & ſi H ſuperat Λ, ſuperabunt & H, Θ, K ipſas Λ, M, N; & ſi æquales, æquales; & ſi minores, minores. ſuntque H & H, Θ, K ipſarum A & A, Γ, E æque multiplices: quoniam [per 1. 5.] ſi fuerint quotcunq; magnitudines quotcunque magnitudinum æqualium numero, ſingulæ ſingularum æque multiplices, quam multiplex eſt una magnitudo unius, tam multiplices erunt & [illegible]

Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Γ πρὸς τὸ Δ καὶ τὸ Ε πρὸς τὸ Ζ, καὶ εἴληπται τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν· εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ καὶ τὸ Κ τοῦ Ν· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλασσον, ἔλασσον. ὥςε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὰ Η, Θ, Κ τῶν Λ, Μ, Ν· καὶ εἰ ἴσον, ἴσα· καὶ εἰ ἔλασσον, ἐλάσσονα. καὶ ἔστι τὸ μὲν Η καὶ τὰ Η, Θ, Κ τοῦ Α καὶ τῶν Α, Γ, Ε ἰσάκις πολλαπλάσια· ἐπειδήπερ ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν ἴσων τὸ πλῆθος, ἑκάστου ἑκάστου ἰσάκις πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια

σια ἔσαι καὶ τὰ πάντα τῶν πάντων. Διὰ τὰ αὐτὰ δὴ καὶ τὸ Δ καὶ τὰ Λ, Μ, Ν τοῦ Β καὶ τῶν Β, Δ, Ζ ἰσάκις ἐστὶ πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Α, Γ, Ε πρὸς τὰ Β, Δ, Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον· ἔσαι ὡς τὸ ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα. ὅπερ ἔδει δεῖξαι.

omnes omnium. eadem ratione Λ & Λ, Μ, Ν ipſarum Β & Β, Δ, Ζ ſunt æque multiplices: eſt igitur [per 5. def. 5.] ut Α ad Β, ita Α, Γ, Ε ad Β, Δ, Ζ.

Quare ſi quotcunque magnitudines proportionales fuerint; ut una antecedentium ad unam conſequentium, ita erunt omnes antecedentes ad omnes conſequentes. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον ᾗ τρίτον πρὸς τέταρτον, τρίτον δὲ πρὸς τέταρτον μείζονα λόγον ἔχῃ ἤπερ πέμπτον πρὸς ἕκτον· καὶ πρῶτον πρὸς δεύτερον μείζονα λόγον ἕξει ἤπερ πέμπτον πρὸς ἕκτον.

Prop. XIII. Theor.

Si prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam; tertia autem ad quartam majorem habeat rationem quam quinta ad ſextam: & prima ad ſecundam majorem habebit rationem quam quinta ad ſextam.

Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, τρίτον δὲ τὸ Γ πρὸς τέταρτον τὸ Δ μείζονα λόγον ἐχέτω ἤπερ πέμπτον τὸ Ε πρὸς ἕκτον τὸ Ζ· λέγω ὅτι καὶ πρῶτον τὸ Α πρὸς δεύτερον τὸ Β μείζονα λόγον ἕξει ἤπερ πέμπτον τὸ Ε πρὸς ἕκτον τὸ Ζ.

Ἐπεὶ γὰρ τὸ Γ πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Ζ, ἔστι τινὰ τῶν μὲν Γ, Ε ἰσάκις πολλαπλάσια, τῶν δὲ Δ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· καὶ τὸ μὲν τοῦ Γ πολλαπλάσιον ὑπερέχει τοῦ τοῦ Δ πολλαπλασίου, τὸ δὲ τοῦ Ε πολλαπλάσιον τοῦ τοῦ Ζ πολλαπλασίου οὐχ ὑπερέχει. εἰλήφθω, καὶ ἔστω τῶν μὲν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Δ, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ὥστε τὸ μὲν Η τοῦ Κ ὑπερέχειν, τὸ δὲ Θ τοῦ Λ μὴ ὑπερέχειν· καὶ ὁσαπλάσιον μέν ἐστι τὸ Η τοῦ Γ, τοσαυταπλάσιον ἔστω καὶ τὸ Μ τοῦ Α· ὁσαπλάσιον δὲ τὸ Κ τοῦ Δ, τοσαυταπλάσιον ἔστω καὶ τὸ Ν τοῦ Β.

Καὶ ἐπεὶ ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Μ, Η, τῶν δὲ Β, Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Ν, Κ· εἰ ἄρα ὑπερέχει τὸ Μ τοῦ Ν, ὑπερέχει καὶ τὸ Η τοῦ Κ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλασσον, ἔλασσον. ὑπερέχει δὲ τὸ Η τοῦ Κ, ὑπερέχει ἄρα καὶ τὸ Μ τοῦ Ν. τὸ δὲ Θ τοῦ Λ οὐχ ὑπερέχει· καὶ ἔστι τὰ μὲν Μ, Θ τῶν Α, Ε ἰσάκις πολλαπλάσια, τὰ δὲ Ν, Λ τῶν Β, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· τὸ ἄρα Α πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Ζ.

Prima enim Α ad ſecundam Β eandem rationem habeat quam tertia Γ ad quartam Δ; tertia autem Γ ad quartam Δ majorem habeat rationem quam quinta Ε ad ſextam Ζ: dico & primam Α ad ſecundam Β majorem habere rationem quam quintam Ε ad ſextam Ζ.



Quoniam enim Γ ad Δ majorem habet rationem quam Ε ad Ζ, ſunt [per 7. def. 5.] quædam ipſarum Γ, Ε æque multiplices, & ipſarum Δ, Ζ aliæ quædam æque multiplices: & multiplex quidem ipſius Γ ſuperat multiplicem ipſius Δ, multiplex vero ipſius Ε non ſuperat multiplicem ipſius Ζ. ſumantur, & ſint ipſarum Γ, Ε æque multiplices Η, Θ & ipſarum Δ, Ζ aliæ quædam æque multiplices Κ, Λ, ita ut Η quidem ſuperet Κ, Θ vero ipſam Λ non ſuperet: & quam multiplex eſt Η ipſius Γ, tam multiplex ſit & Μ ipſius Α; quam multiplex autem Κ ipſius Δ, tam multiplex ſit & Ν ipſius Β.

Et quoniam eſt ut Α ad Β ita Γ ad Δ, & ſumptæ ſunt ipſarum Α, Γ æque multiplices Μ, Η, & ipſarum Β, Δ aliæ æque multiplices Ν, Κ: [per 5. def. 5.] ſi Μ ſuperat Ν, & Η ipſam Κ ſuperabit; & ſi æqualis, æqualis; & ſi minor, minor. ſed Η ſuperat Κ: ergo & Μ ipſam Ν ſuperabit. Θ vero non ſuperat Λ; ſuntque Μ, Θ ipſarum Α, Ε æque multiplices, & Ν, Λ ipſarum Β, Ζ aliæ quædam æque multiplices: ergo [per 7. def. 5.] Α ad Β majorem rationem habebit quam Ε ad Ζ.

Si igitur prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam; tertia vero ad quartam majorem rationem habeat quam quinta ad ſextam: & prima ad ſecundam majorem habebit rationem quam quinta ad ſextam. quod erat demonſtrandum.

Prop. XIV. Theor.

Si prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam, prima autem major ſit quam tertia: & ſecunda quam quarta major erit; & ſi æqualis, æqualis; & ſi minor, minor.

Prima enim A ad ſecundam B eandem rationem habeat quam tertia Γ ad quartam Δ, major autem ſit A quam Γ: dico & B quam Δ majorem eſſe.



Quoniam enim A major eſt quam Γ, & alia utcunque magnitudo B; habebit [per 8. 5.] A ad B majorem rationem quam Γ ad B. ſed ut A ad B ita Γ ad Δ: ergo & Γ ad Δ majorem habebit rationem [per 13. 5.] quam Γ ad B. ad quam vero eadem majorem habet rationem [per 10. 5.] illa minor eſt; quare Δ eſt minor quam B: ac propterea B quam Δ major erit.

Similiter demonſtrabimus & ſi A æqualis ſit ipſi Γ, & B ipſi Δ eſſe æqualem: & ſi A ſit minor quam Γ, & B quam Δ minorem eſſe.

Si igitur prima ad ſecundam eandem habeat rationem quam tertia ad quartam, prima autem major ſit quam tertia: & ſecunda quam quarta major erit; & ſi æqualis, æqualis; & ſi minor, minor. quod erat demonſtrandum.

Prop. XV. Theor.

Partes inter ſe comparatæ eandem habent rationem, quam habent earum æque multiplices inter ſe.

Sit enim AB æque multiplex ipſius Γ atque ΔE ipſius Z; dico ut Γ ad Z ita eſſe AB ad ΔE.

Quoniam enim æque multiplex eſt AB ipſius Γ atque ΔE ipſius Z; quot ſunt magnitudines in AB æquales ipſi Γ, totidem erunt & in ΔE æquales Z. dividatur AB in magnitudines ipſi Γ æquales, quæ ſint AH, HΘ, ΘB; & ΔE dividatur in magnitudines æquales Z, videlicet in ΔK, KΛ, ΛE: erit igitur ipſarum AH, HΘ, ΘB multitudo æqualis multitudini ipſarum ΔK, KΛ, ΛE. & quoniam æquales ſunt inter ſe AH, HΘ, ΘB, ſuntque ΔK, KΛ, ΛE etiam inter ſe æquales; erunt

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τέταρτον δὲ πρὸς τέταρτον μείζονα λόγον ἔχῃ ἤπερ πέμπτον πρὸς ἕκτον· καὶ πρῶτον πρὸς δεύτερον μείζονα λόγον ἕξει ἤπερ τὸ πέμπτον πρὸς ἕκτον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ· καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται· καὶ ἴσον, ἴσον· καὶ ἔλασσον, ἔλασσον.

Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, μεῖζον δὲ ἔστω τὸ Α τοῦ Γ· λέγω ὅτι καὶ τὸ Β τοῦ Δ μεῖζόν ἐστιν.



Ἐπεὶ γὰρ τὸ Α τοῦ Γ μεῖζόν ἐστιν, ἄλλο δέ τί ἐστιν μέγεθος τὸ Β· τὸ Α ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ὡς δὲ τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ· καὶ τὸ Γ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλαττόν ἐστιν· ἔλαττον ἄρα τὸ Δ τοῦ Β· ὥστε μεῖζόν ἐστι τὸ Β τοῦ Δ.

Ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἴσον ἢ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Β τῷ Δ· καὶ ἐὰν ἔλασσον ἢ τὸ Α τοῦ Γ, ἔλασσον ἔσται καὶ τὸ Β τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ· καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται· καὶ ἴσον, ἴσον· καὶ ἔλασσον, ἔλασσον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιε'.

Τὰ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ληφθέντα κατάλληλα.



Ἔστω γὰρ ἰσάκις πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· λέγω ὅτι ἐστὶν ὡς τὸ Γ πρὸς τὸ Ζ οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μεγέθη ἴσα τῷ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ. διῃρήσθω τὸ μὲν ΑΒ εἰς τὰ τῷ Γ μεγέθη ἴσα, τὰ ΑΗ, ΗΘ, ΘΒ, τὸ δὲ ΔΕ εἰς τὰ τῷ Ζ ἴσα, τὰ ΔΚ, ΚΛ, ΛΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΘ, ΘΒ τῷ πλήθει τῶν ΔΚ, ΚΛ, ΛΕ. καὶ ἐπεὶ ἴσα ἐστὶ τὰ ΑΗ, ΗΘ, ΘΒ ἀλλήλοις, ἔστι δὲ καὶ τὰ ΔΚ, ΚΛ, ΛΕ ἴσα ἀλλήλοις· ἔστιν ἄρα

ὡς

ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ ἕτως τὸ ΗΘ πρὸς τὸ ΚΛ, καὶ τὸ ΘΒ πρὸς τὸ ΔΕ· ἔστιν ἄρα καὶ ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, ἕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ ἕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ. ἴσον δὲ τὸ μὲν ΑΗ τῷ Γ, τὸ δὲ ΔΚ τῷ Ζ· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Ζ ἕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.

Τὰ ἄρα μέρη τῶν ἰσοπλασίων πολλαπλάσια τὸν αὐτὸν ἔχει λόγον, ληφθέντα καταλλήλα. ὅπερ ἔδει δεῖξαι.

[per 7. 5.] ut ΑΗ ad ΔΚ ita ΗΘ ad ΚΛ, & ΘΒ ad ΔΕ: & erit [per 12. 5.] ut una antecedentium ad unam consequentium, ita omnes antecedentes ad omnes consequentes: est igitur ut ΑΗ ad ΔΚ ita ΑΒ ad ΔΕ. sed ΑΗ ipsi Γ est æqualis, & ΔΚ ipsi Ζ: ergo ut Γ ad Ζ ita erit ΑΒ ad ΔΕ.

Partes igitur inter se comparatæ eandem habent rationem, quam habent earum æque multiplices inter se. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ις'.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται.

PROP. XVI. THEOR.

Si quatuor magnitudines proportionales fuerint, & alterne proportionales erunt.

Ἔστω τέσσαρα μεγέθη ἀνάλογον, τὰ Α, Β, Γ, Δ, ὡς τὸ Α πρὸς τὸ Β ἕτως τὸ Γ πρὸς τὸ Δ· λέγω ὅτι καὶ ἐναλλὰξ ἀνάλογον ἔσται, ὡς τὸ Α πρὸς τὸ Γ ἕτως τὸ Β πρὸς τὸ Δ.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Β ἰσάκις πολλαπλάσια τὰ Ε, Ζ, τῶν δὲ Γ, Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ Η, Θ.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶν πολλαπλάσιον τὸ Ε τοῦ Α καὶ τὸ Ζ τοῦ Β, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον ληφθέντα καταλλήλα· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β ἕτως τὸ Ε πρὸς τὸ Ζ. ὡς δὲ τὸ Α πρὸς τὸ Β ἕτως τὸ Γ πρὸς τὸ Δ· καὶ ὡς ἄρα τὸ Γ πρὸς τὸ Δ ἕτως τὸ Ε πρὸς τὸ Ζ. πάλιν, ἐπεὶ τὰ Η, Θ τῶν Γ, Δ ἰσάκις ἐστὶ πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Δ ἕτως τὸ Η πρὸς τὸ Θ. ὡς δὲ τὸ Γ πρὸς τὸ Δ ἕτως τὸ Ε πρὸς τὸ Ζ· καὶ ὡς ἄρα τὸ Ε πρὸς τὸ Ζ ἕτως τὸ Η πρὸς τὸ Θ. ἐὰν δὲ τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται· καὶ ἴσον, ἴσον· καὶ ἔλασσον, ἔλασσον. εἰ ἄρα ὑπερέχει τὸ Ε τοῦ Η, ὑπερέχει καὶ τὸ Ζ τοῦ Θ· καὶ ἴσον, ἴσον· καὶ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν Ε, Ζ τῶν Α, Β ἰσάκις πολλαπλάσια, τὰ δὲ Η, Θ τῶν Γ, Δ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ οὕτως τὸ Β πρὸς τὸ Δ.

Ἐὰν ἄρα τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται. ὅπερ ἔδει δεῖξαι.



Sumantur enim ipsarum Α, Β æque multiplices Ε, Ζ, ipsarum vero Γ, Δ aliæ utcunque æque multiplices Η, Θ.

Et quoniam æque multiplex est Ε ipsius Α atque Ζ ipsius Β; partes autem inter se comparatæ [per 15. 5.] eandem habent rationem, quam habent earum æque multiplices inter se: erit ut Α ad Β ita Ε ad Ζ. ut autem Α ad Β ita Γ ad Δ: ergo [per 11. 5.] ut Γ ad Δ ita Ε ad Ζ. rursus, quoniam Η, Θ sunt ipsarum Γ, Δ æque multiplices; erit ut Γ ad Δ ita Η ad Θ. ut autem Γ ad Δ ita Ε ad Ζ: ergo [per 11. 5.] ut Ε ad Ζ ita Η ad Θ. quod si quatuor magnitudines proportionales sint, prima autem major sit quam tertia; [per 14. 5.] & secunda quam quarta major erit; & si æqualis, æqualis; & si minor, minor. si igitur Ε superat Η, & Ζ ipsam Θ superabit; & si æqualis, æqualis; & si minor, minor. suntque Ε, Ζ ipsarum Α, Β æque multiplices, & Η, Θ ipsarum Γ, Δ aliæ utcunque æque multiplices: ergo [per 5. def. 5.] ut Α ad Γ ita erit Β ad Δ.

Si igitur quatuor magnitudines proportionales fuerint, & alterne proportionales erunt. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἐὰν συγκείμενα μεγέθη ἀνάλογον ᾖ, καὶ διαιρεθέντα ἀνάλογον ἔσται.

PROP. XVII. THEOR.

Si compositæ magnitudines sint proportionales, & divisæ proportionales erunt.

Ἔστω συγκείμενα μεγέθη ἀνάλογον τὰ ΑΒ, ΒΕ, ΓΔ, ΔΖ, ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ ἕτως

Sint compositæ magnitudines ΑΒ, ΒΕ, ΓΔ, ΔΖ proportionales, sitque ut ΑΒ ad ΒΕ ita

ΓΔ ad ΔΖ: dico etiam diviſas proportionales eſſe; videlicet ut ΑΕ ad ΕΒ ita eſſe ΓΖ ad ΖΔ.

Sumantur enim ipſarum quidem ΑΕ, ΕΒ, ΓΖ, ΖΔ æquè multiplices ΗΘ, ΘΚ, ΛΜ, ΜΝ; ipſarum vero ΕΒ, ΖΔ aliæ utcunque æque multiplices ΚΞ, ΝΠ.

ΑΛΛΩΣ.

Δείξομεν δὴ καὶ ἑτέρως πως χειρότερον ὁμόλογα τὰ τρίγωνα.

Ἐκκείσθωσαν γὰρ πάλιν τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ πολύγωνα, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΕΓ, ΗΛ, ΛΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ ὕτως τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ καὶ τὸ ΓΔΕ πρὸς τὸ ΘΚΛ.

Επεὶ

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ, τὸ ΑΒΕ ἄρα τρίγωνον πρὸς τὸ ΖΗΛ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΕ πρὸς τὴν ΗΛ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΒΕΓ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΕ πρὸς τὴν ΗΛ· ἔστιν ἄρα ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ οὕτως τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ. πάλιν, ἐπεὶ ὅμοιόν ἐστι τὸ ΕΒΓ τρίγωνον τῷ ΛΗΘ τριγώνῳ· τὸ ΕΒΓ ἄρα πρὸς τὸ ΛΗΘ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΕ εὐθεῖα πρὸς τὴν ΘΛ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΓΔ τρίγωνον πρὸς τὸ ΛΘΚ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΕ πρὸς τὴν ΘΛ· ἔστιν ἄρα ὡς τὸ ΕΒΓ τρίγωνον πρὸς τὸ ΛΗΘ οὕτως τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ. ἐδείχθη δὲ καὶ ὡς τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ οὕτως τὸ ΑΒΕ πρὸς τὸ ΖΗΛ· καὶ ὡς ἄρα τὸ ΑΒΕ πρὸς τὸ ΖΗΛ οὕτως τὸ ΒΕΓ πρὸς τὸ ΗΛΘ καὶ τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ· καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα, καὶ τὰ λοιπὰ ὡς ἐν τῇ πρώτῃ δείξομεν. ὅπερ ἔδει δεῖξαι.



Quoniam enim ſimile eſt ABE triangulum triangulo ZHΛ, habet ABE triangulum ad ZHΛ [per 19. 6.] duplicatam rationem ejus quam habet BE ad HΛ. eadem ratione & triangulum BEΓ ad HΛΘ triangulum duplicatam rationem habet ejus quam BE ad HΛ: eſt igitur [per 11. 5.] ut ABE triangulum ad triangulum ZHΛ ita triangulum EBΓ ad ΛHΘ triangulum. rurſus, quoniam ſimile eſt triangulum EBΓ triangulo ΛHΘ, habet [per 19. 6.] EBΓ triangulum ad triangulum ΛHΘ duplicatam rationem ejus quam recta linea ΓE habet ad rectam ΘΛ. eadem ratione & EΓΔ triangulum ad triangulum ΛΘK duplicatam rationem habet ejus quam ΓE ad ΘΛ: eſt igitur [per 11. 5.] ut triangulum EBΓ ad triangulum ΛHΘ ita EΓΔ triangulum ad triangulum ΛΘK. oſtenſum autem eſt & ut EBΓ triangulum ad triangulum ΛHΘ ita triangulum ABE ad triangulum ZHΛ: ergo & ut triangulum ABE ad triangulum ZHΛ ita triangulum BEΓ ad HΛΘ triangulum, & triangulum EΓΔ ad ipſum ΛΘK: & igitur [per 12. 5.] ut unum antecedentium ad unum conſequentium ita omnia antecedentia ad omnia conſequentia, & reliqua ut in priori demonſtratione. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κα'.

Τὰ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια, καὶ ἀλλήλοις ἐστὶν ὅμοια.

Prop. XXI. Theor.

Quæ eidem rectilineo ſunt ſimilia, & inter ſe ſunt ſimilia.

Ἔστω γὰρ ἑκάτερον τῶν Α, Β εὐθυγράμμων τῷ Γ ὅμοιον· λέγω ὅτι καὶ τὸ Α τῷ Β ἐστὶν ὅμοιον.

Ἐπεὶ γὰρ ἐστιν ὅμοιον τὸ Α τῷ Γ, ἰσογώνιόν τε ἐστὶν αὐτῷ, καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει. πάλιν, ἐπεὶ ὅμοιόν ἐστι τὸ Β τῷ Γ, ἰσογώνιόν τε ἐστὶν αὐτῷ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ἑκάτερον ἄρα τῶν Α, Β τῷ Γ ἰσογώνιόν τε ἐστὶ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ὥστε καὶ τὸ Α τῷ Β ἰσογώνιόν τε ἐστὶ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ὅμοιον ἄρα ἐστὶ τὸ Α τῷ Β. ὅπερ ἔδει δεῖξαι.



SIT enim utrumque rectilineorum A, B ſimile rectilineo Γ: dico & rectilineum A rectilineo B ſimile eſſe.

Quoniam enim ſimile eſt A rectilineum rectilineo Γ, & ipſi [per 1. def. 6.] æquiangulum erit, & circum æquales angulos latera habebit proportionalia. rurſus, quoniam ſimile eſt rectilineum B rectilineo Γ, æquiangulum ipſi erit & circum æquales angulos latera proportionalia habebit; utrumque igitur rectilineorum A, B ipſi Γ æquiangulum eſt, & circum æquales angulos latera habet proportionalia: quare & rectilineum A ipſi B eſt [per 1. ax.] æquiangulum, lateraque circum æquales angulos [per 11. 5.] proportionalia habet; ac propterea [per 1. def. 6.] A ipſi B eſt ſimile. quod erat demonſtrandum.

PROP. XXII. THEOR.

Si quatuor rectæ lineæ proportionales fuerint; & rectilinea, quæ ab ipsis fiunt, similia & similiter descripta, proportionalia erunt: & si rectilinea, quæ ab ipsis fiunt, similia & similiter descripta proportionalia fuerint; & ipsæ rectæ lineæ proportionales erunt.

SInt quatuor rectæ lineæ proportionales AB, ΓΔ, EZ, HΘ, ut AB ad ΓΔ ita EZ ad HΘ; describanturque ab ipsis quidem AB, ΓΔ similia & similiter posita rectilinea KAB, ΛΓΔ, ab ipsis vero EZ, HΘ describantur rectilinea similia & similiter posita MZ, NΘ: dico ut KAB rectilineum ad rectilineum ΛΓΔ ita esse rectilineum MZ ad ipsum NΘ rectilineum.

Sumatur enim [per 11.6.] ipsis quidem AB, ΓΔ tertia proportionalis Ξ; ipsis vero EZ, HΘ tertia proportionalis O. & quoniam est ut AB ad ΓΔ ita EZ ad HΘ, ut autem ΓΔ ad Ξ ita HΘ ad O: erit ex æquo [per 22. 5.] ut AB ad Ξ ita EZ ad O. sed [per 2. cor. 20. 6.] ut AB ad Ξ ita est rectilineum KAB ad ΛΓΔ rectilineum. ut autem EZ ad O ita rectilineum MZ ad rectilineum NΘ: igitur [per 11. 5.] ut KAB ad ΛΓΔ ita MZ ad NΘ.



SED sit ut KAB rectilineum ad rectilineum ΛΓΔ ita rectilineum MZ ad rectilineum NΘ: dico ut AB ad ΓΔ ita esse EZ ad HΘ.

Fiat enim [per 12. 6.] ut AB ad ΓΔ ita EZ ad ΠP, & describatur [per 18. 6.] ab ipsa ΠP alterutri rectilineorum MZ, NΘ simile & similiter positum rectilineum ΣP.

Quoniam igitur est ut AB ad ΓΔ ita EZ ad ΠP, & descripta sunt ab ipsis quidem AB, ΓΔ similia & similiter posita KAB, ΛΓΔ rectilinea, ab ipsis vero EZ, ΠP similia & similiter posita rectilinea MZ, ΣP; est [per part. prior. huj.] ut KAB ad rectilineum ΛΓΔ ita rectilineum MZ ad ΣP rectilineum. ponitur autem & ut rectilineum KAB ad rectilineum ΛΓΔ ita MZ rectilineum ad rectilineum NΘ; rectilineum igitur MZ [per 11. 5.] ad utrumque ipsorum NΘ, ΣP eandem habet rationem: ergo [per 9. 5.] rectilineum NΘ est ipsi ΣP æquale. est autem ipsi simile & similiter positum: ergo [per lemma sequens] HΘ est æqualis ΠP. & quoniam ut AB ad ΓΔ ita est EZ ad ΠP, æqualis autem ΠP ipsi HΘ; erit [per 7. 5.] ut AB ad ΓΔ ita EZ ad HΘ.

ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα, ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα, ἀνάλογον ἔσται· καὶ ἐὰν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται.

Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ AB, ΓΔ, EZ, HΘ, ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ, καὶ ἀναγεγράφθωσαν ἀπὸ μὲν τῶν AB, ΓΔ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ KAB, ΛΓΔ, ἀπὸ δὲ τῶν EZ, HΘ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ MZ, NΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ.

Εἰλήφθω γὰρ τῶν μὲν AB, ΓΔ τρίτη ἀνάλογον ἡ Ξ, τῶν δὲ EZ, HΘ τρίτη ἀνάλογον ἡ O. καὶ ἐπεί ἐστιν ὡς ἡ μὲν AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ, ὡς δὲ ἡ ΓΔ πρὸς τὴν Ξ οὕτως ἡ HΘ πρὸς τὴν O· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ AB πρὸς τὴν Ξ οὕτως ἡ EZ πρὸς τὴν O. ἀλλ' ὡς μὲν ἡ AB πρὸς τὴν Ξ οὕτως καὶ τὸ KAB πρὸς τὸ ΛΓΔ, ὡς δὲ ἡ EZ πρὸς τὴν O οὕτως τὸ MZ πρὸς τὸ NΘ· ὡς ἄρα τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ.

Ἀλλὰ δὴ ἔστω ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ· λέγω ὅτι ἐστὶν ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ.

Γεγονέτω γὰρ ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν ΠP, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΠP ὁποτέρῳ τῶν MZ, NΘ ὅμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον τὸ ΣP.

Ἐπεὶ οὖν ἐστιν ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν ΠP, καὶ ἀναγέγραπται ἀπὸ μὲν τῶν AB, ΓΔ ὅμοιά τε καὶ ὁμοίως κείμενα τὰ KAB, ΛΓΔ, ἀπὸ δὲ τῶν EZ, ΠP ὅμοιά τε καὶ ὁμοίως κείμενα τὰ MZ, ΣP· ἔστιν ἄρα ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ ΣP. ὑπόκειται δὲ καὶ ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ οὕτως τὸ MZ πρὸς τὸ NΘ· τὸ MZ ἄρα πρὸς ἑκάτερον τῶν NΘ καὶ ΣP τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ NΘ τῷ ΣP. ἔστι δὲ αὐτῷ ὅμοιον καὶ ὁμοίως κείμενον· ἴση ἄρα ἐστὶν ἡ HΘ τῇ ΠP. καὶ ἐπεί ἐστιν ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν ΠP, ἴση δὲ ἡ ΠP τῇ HΘ· ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ EZ πρὸς τὴν HΘ.

Ἐὰν

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται· καὶ ἐὰν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται. ὅπερ ἔδει δεῖξαι.

Si igitur quatuor rectæ lineæ proportionales fuerint; & rectilinea quæ ab ipſis fiunt, ſimilia & ſimiliter deſcripta, proportionalia erunt: & ſi rectilinea quæ ab ipſis fiunt, ſimilia & ſimiliter deſcripta, proportionalia fuerint; & ipſæ rectæ lineæ proportionales erunt. quod erat demonſtrandum.

ΛΗΜΜΑ.

Ὅτι δέ, ἐὰν εὐθύγραμμα ἴσα καὶ ὅμοια ᾖ, αἱ ὁμόλογοι αὐτῶν πλευραὶ ἴσαι ἀλλήλαις εἰσὶν, δείξομεν ὕστερον.

LEMMA.

At vero, ſi rectilinea æqualia & ſimilia ſint, homologa ipſorum latera inter ſe æqualia eſſe hoc modo demonſtrabimus.

Ἔστω ἴσα καὶ ὅμοια εὐθύγραμμα τὰ ΝΘ, ΣΡ, καὶ ἔστω ὡς ἡ ΘΗ πρὸς τὴν ΗΝ οὕτως ἡ ΡΠ πρὸς τὴν ΠΣ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΡΠ τῇ ΘΗ.

Sint æqualia & ſimilia rectilinea ΝΘ, ΣΡ; & ſit ut ΘΗ ad ΗΝ ita ΡΠ ad ΠΣ: dico ΡΠ ipſi ΘΗ eſſe æqualem.

Εἰ γὰρ ἄνισοί εἰσι, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ΡΠ τῆς ΘΗ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΡΠ πρὸς τὴν ΠΣ οὕτως ἡ ΘΗ πρὸς τὴν ΗΝ, καὶ ἐναλλὰξ ὡς ἡ ΡΠ πρὸς τὴν ΘΗ οὕτως ἡ ΠΣ πρὸς τὴν ΗΝ. μείζων δὲ ἡ ΡΠ τῆς ΘΗ· μείζων ἄρα καὶ ἡ ΠΣ τῆς ΗΝ· ὥστε καὶ τὸ ΡΣ μεῖζόν ἐστι τοῦ ΘΝ· ἀλλὰ καὶ ἴσον, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΡΠ τῆς ΗΘ, ἴση ἄρα. ὅπερ ἔδει δεῖξαι.

Si enim inæquales ſint, una ipſarum major erit. ſit ΡΠ major quam ΘΗ. & quoniam eſt ut ΡΠ ad ΠΣ ita ΘΗ ad ΗΝ: & permutando erit [per 16. 5.] ut ΡΠ ad ΘΗ ita ΠΣ ad ΗΝ. major autem eſt ΠΡ quam ΗΘ; ergo & ΠΣ quam ΗΝ major erit: quare [per 20. 6.] & rectilineum ΡΣ rectilineo ΘΝ eſt majus: ſed & æquale, quod fieri non poteſt: non eſt igitur ΠΡ inæqualis ipſi ΗΘ; ergo æqualis. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Τὰ ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

PROP. XXIII. THEOR.

Æquiangula parallelogramma inter ſe rationem habent *ex lateribus compoſitam.

Ἔστω ἰσογώνια παραλληλόγραμμα τὰ ΑΓ, ΓΖ, ἴσην ἔχοντα τὴν ὑπὸ ΒΓΔ γωνίαν τῇ ὑπὸ ΕΓΗ· λέγω ὅτι τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν, τουτέστι τὸν ὃν ἔχει ἡ ΒΓ πρὸς τὴν ΓΗ καὶ τὸν ὃν ἔχει ἡ ΔΓ πρὸς τὴν ΓΕ.

Sint æquiangula parallelogramma ΑΓ, ΓΖ, æqualem habentia ΒΓΔ angulum angulo ΕΓΗ: dico parallelogrammum ΑΓ ad parallelogrammum ΓΖ rationem habere compoſitam ex lateribus; hoc eſt, compoſitam ex ratione quam habet ΒΓ ad ΓΗ, & ex ratione quam ΔΓ habet ad ΓΕ.

Κείσθω γὰρ ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΒΓ τῇ ΓΗ, ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΔΓ τῇ ΓΕ· καὶ συμπεπληρώσθω τὸ ΔΗ παραλληλόγραμμον, καὶ ἐκκείσθω τις εὐθεῖα ἡ Κ, καὶ γεγονέτω ὡς μὲν ἡ ΒΓ πρὸς τὴν ΓΗ οὕτως ἡ Κ πρὸς τὴν Λ, ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΕ οὕτως ἡ Λ πρὸς τὴν Μ.



Ponatur enim ΒΓ in directum ipſi ΓΗ, ergo [per 14. 1.] & ΔΓ ipſi ΓΕ in directum erit: & compleatur ΔΗ parallelogrammum, exponaturque recta linea quædam Κ, & fiat [per 12. 6.] ut ΒΓ ad ΓΗ ita Κ ad Λ, ut autem ΔΓ ad ΓΕ ita Λ ad Μ.

Οἱ ἄρα λόγοι τοῦ τε Κ πρὸς τὴν Λ καὶ τοῦ Λ πρὸς τὴν Μ οἱ αὐτοί εἰσι τοῖς λόγοις τῶν πλευρῶν, τοῦ τε ΒΓ πρὸς τὴν ΓΗ καὶ τοῦ ΔΓ πρὸς τὴν ΓΕ. ἀλλ' ὁ τοῦ Κ πρὸς τὸν Μ λόγος σύγκειται ἔκ τε τοῦ τοῦ Κ πρὸς τὸν Λ λόγου καὶ τοῦ τοῦ Λ πρὸς τὴν Μ· ὥστε καὶ ἡ Κ πρὸς τὴν Μ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΗ οὕτως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΘ· ἀλλ' ὡς ἡ ΒΓ πρὸς τὴν ΓΗ

Rationes igitur ipſius Κ ad Λ & Λ ad Μ eædem ſunt quæ rationes laterum, videlicet ΒΓ ad ΓΗ & ΔΓ ad ΓΕ. ſed [per 5. def. 6.] ratio Κ ad Μ compoſita eſt ex ratione Κ ad Λ & ratione Λ ad Μ: quare & Κ ad Μ rationem habet ex lateribus compoſitam. & quoniam eſt [per 1. 6.] ut ΒΓ ad ΓΗ ita ΑΓ parallelogrammum ad parallelogrammum ΓΘ; ſed ut ΒΓ ad ΓΗ

* *Rectius ex laterum rationibus.*

ita K ad Λ: erit igitur [per 11. 5.] & ut K ad Λ ita parallelogrammum ΑΓ ad ΓΘ parallelogrammum. rursus, quoniam [per 1. 6.] est ut ΔΓ ad ΓΕ ita ΓΘ parallelogrammum ad parallelogrammum ΓΖ; ut autem ΔΓ ad ΓΕ ita Λ ad Μ: ut igitur Λ ad Μ ita erit [per 11. 5.] parallelogrammum ΓΘ ad ΓΖ parallelogrammum. itaque cum ostensum sit, ut K quidem ad Λ ita esse ΑΓ parallelogrammum ad parallelogrammum ΓΘ; ut autem Λ ad Μ ita parallelogrammum ΓΘ ad ΓΖ parallelogrammum: erit ex æquo [per 22. 5.] ut K ad Μ ita ΑΓ parallelogrammum ad ipsum ΓΖ. habet autem K ad Μ rationem ex lateribus compositam: ergo & ΑΓ parallelogrammum ad parallelogrammum ΓΖ rationem habet compositam ex lateribus.



Æquiangula igitur parallelogramma inter se rationem habent ex lateribus compositam. quod erat demonstrandum.

ἴσως ἡ Κ πρὸς τὴν Δ· ἀλλ' ὡς ἄρα ἡ Κ πρὸς τὴν Λ ἴσως τὸ ΑΓ πρὸς τὸ ΓΘ. πάλιν, ἐπεὶ ἐστιν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΕ ἴσως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ. ἀλλ' ὡς ἡ ΔΓ πρὸς τὴν ΓΕ ἴσως ἡ Λ πρὸς τὴν Μ· καὶ ὡς ἄρα ἡ Λ πρὸς τὴν Μ ἴσως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον. ἐπεὶ οὖν ἐδείχθη, ὡς μὲν ἡ Κ πρὸς τὴν Λ ἴσως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΘ παραλληλόγραμμον, ὡς δὲ ἡ Λ πρὸς τὴν Μ ἴσως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ· διʼ ἴσου ἄρα ἐστὶν ὡς ἡ Κ πρὸς τὴν Μ ἴσως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ. ἡ δὲ Κ πρὸς τὴν Μ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· καὶ τὸ ΑΓ ἄρα πρὸς τὸ ΓΖ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Τὰ ἄρα ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXIV. Theor.

Omnis parallelogrammi quæ circa diametrum sunt parallelogramma sunt similia toti & inter se.

ΠΡΟΤΑΣΙΣ κδ'.

Παντὸς παραλληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις.

SIT parallelogrammum ΑΒΓΔ, cujus diameter ΑΓ; circa diametrum vero ΑΓ parallelogramma sint ΕΗ, ΘΚ: dico parallelogramma ΕΗ, ΘΚ & toti ΑΒΓΔ & inter se similia esse.

Quoniam enim uni laterum trianguli ΑΒΓ, videlicet ipsi ΒΓ, parallela ducta est ΕΖ, erit [per 2. 6.] ut ΒΕ ad ΕΑ ita ΓΖ ad ΖΑ. rursus, quoniam uni laterum trianguli ΑΓΔ, nempe ipsi ΓΔ, ducta est parallela ΖΗ, ut ΓΖ ad ΖΑ ita erit ΔΗ ad ΗΑ. sed ut ΓΖ ad ΖΑ, ita ostensa est & ΒΕ ad ΕΑ: ergo [per 11. 5.] ut ΒΕ ad ΕΑ ita ΔΗ ad ΗΑ; componendoque [per 18. 5.] ut ΒΑ ad ΑΕ ita ΔΑ ad ΑΗ; & permutando [per 16. 5.] ut ΒΑ ad ΑΔ ita ΑΕ ad ΑΗ: parallelogrammorum igitur ΑΒΓΔ, ΕΗ latera quæ circa communem angulum ΒΑΔ proportionalia sunt. & quoniam paral-



Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν ΑΓ παραλληλόγραμμα ἔστω τὰ ΕΗ, ΘΚ· λέγω ὅτι ἑκάτερον τῶν ΕΗ, ΘΚ παραλληλογράμμων ὅμοιόν ἐστιν ὅλῳ τῷ ΑΒΓΔ καὶ ἀλλήλοις.

Ἐπεὶ γὰρ τριγώνου τοῦ ΑΒΓ παρὰ μίαν τῶν πλευρῶν τὴν ΒΓ ἦκται ἡ ΕΖ, ἀνάλογόν ἐστιν ὡς ἡ ΒΕ πρὸς τὴν ΕΑ ἴσως ἡ ΓΖ πρὸς τὴν ΖΑ. πάλιν, ἐπεὶ τριγώνου τοῦ ΑΓΔ παρὰ μίαν τῶν πλευρῶν τὴν ΓΔ ἦκται ἡ ΖΗ, ἀνάλογόν ἐστιν ἄρα ὡς ἡ ΓΖ πρὸς τὴν ΖΑ ἴσως ἡ ΔΗ πρὸς τὴν ΗΑ. ἀλλ' ὡς ἡ ΓΖ πρὸς τὴν ΖΑ ἴσως ἐδείχθη καὶ ἡ ΒΕ πρὸς τὴν ΕΑ· καὶ ὡς ἄρα ΒΕ πρὸς τὴν ΕΑ ἴσως ἡ ΔΗ πρὸς τὴν ΗΑ, καὶ συνθέντι ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΕ ἴσως ἡ ΔΑ πρὸς τὴν ΑΗ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ ἴσως ἡ ΑΕ πρὸς τὴν ΑΗ· τῶν ΑΒΓΔ, ΕΗ ἄρα παραλληλογράμμων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὴν κοινὴν γωνίαν τὴν ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ

παρα-

παραλληλος ἐστιν ἡ ΗΖ τῇ ΔΓ, ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΗΖ γωνία τῇ ὑπὸ ΑΔΓ, ἡ δὲ ὑπὸ ΗΖΑ τῇ ὑπὸ ΔΓΑ, κοινὴ τῶν δύο τριγώνων τῶν ΑΔΓ, ΑΗΖ ἡ ὑπὸ ΔΑΓ γωνία· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΔΓ τρίγωνον τῷ ΑΗΖ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓ τρίγωνον ἰσογώνιόν ἐστι τῷ ΑΖΕ τριγώνῳ· καὶ ὅλον ἄρα τὸ ΑΒΓΔ παραλληλόγραμμον ἰσογώνιόν ἐστι τῷ ΕΗ παραλληλογράμμῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ οὕτως ἡ ΑΗ πρὸς τὴν ΗΖ. ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ, ὡς δὲ καὶ ἡ ΑΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ, καὶ ἔτι ὡς ΓΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΖΕ πρὸς τὴν ΕΑ· καὶ ἐπεὶ ἐδείχθη ὡς μὲν ἡ ΔΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ, ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ· τῶν ἄρα ΑΒΓΔ, ΕΗ παραλληλογράμμων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΚΘ παραλληλογράμμῳ ὅμοιόν ἐστιν· ἑκάτερον ἄρα τῶν ΕΗ, ΘΚ παραλληλογράμμων τῷ ΑΒΓΔ παραλληλογράμμῳ ὅμοιόν ἐστι. τὰ δὲ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια καὶ ἀλλήλοις ἐστὶν ὅμοια· καὶ τὸ ΕΗ ἄρα παραλληλόγραμμον τῷ ΘΚ παραλληλογράμμῳ ὅμοιόν ἐστιν.

Παντὸς ἄρα παραλληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι.

lela eſt ΗΖ ipſi ΔΓ, angulus quidem ΑΗΖ [per 29. 1.] eſt æqualis angulo ΑΔΓ, angulus vero ΗΖΑ æqualis angulo ΔΓΑ, & angulus ΔΑΓ communis eſt duobus triangulis ΑΔΓ, ΑΗΖ; erit igitur triangulum ΑΔΓ triangulo ΑΗΖ æquiangulum. eadem ratione & triangulum ΑΒΓ æquiangulum eſt triangulo ΑΖΕ; totum igitur parallelogrammum ΑΒΓΔ parallelogrammo ΕΗ eſt æquiangulum: ergo [per 4. 6.] ut ΑΔ ad ΔΓ ita ΑΗ ad ΗΖ. ut autem ΔΓ ad ΓΑ ita ΗΖ ad ΖΑ, & ut ΑΓ ad ΓΒ ita ΑΖ ad ΖΕ; & præterea ut ΓΒ ad ΒΑ ita ΖΕ ad ΕΑ: itaque quoniam oſtenſum eſt ut ΔΓ ad ΓΑ ita eſſe ΗΖ ad ΖΑ, ut autem ΑΓ ad ΓΒ ita ΑΖ ad ΖΕ; erit ex æquo [per 22. 5.] ut ΔΓ ad ΓΒ ita ΗΖ ad ΖΕ: ergo parallelogrammorum ΑΒΓΔ, ΕΗ proportionalia ſunt latera, quæ circum æquales angulos; ac propterea [per 1. def. 6.] parallelogrammum ΑΒΓΔ parallelogrammo ΕΗ eſt ſimile. eadem ratione & parallelogrammum ΑΒΓΔ ſimile eſt parallelogrammo ΚΘ: utrumque igitur ipſorum ΕΗ, ΘΚ parallelogrammorum parallelogrammo ΑΒΓΔ eſt ſimile. quæ autem eidem rectilineo ſunt ſimilia [per 21. 6.] & inter ſe ſunt ſimilia: parallelogrammum igitur ΕΗ ſimile eſt parallelogrammo ΘΚ.

Quare omnis parallelogrammi quæ circa diametrum ſunt parallelogramma & toti & inter ſe ſunt ſimilia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κε'.

Τῷ δοθέντι εὐθυγράμμῳ ὅμοιον, καὶ ἄλλῳ τῷ δοθέντι ἴσον τὸ αὐτὸ συστήσασθαι.

Ἔστω τὸ μὲν δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ὅμοιον συστήσασθαι, τὸ ΑΒΓ, ᾧ δὲ ἴσον, τὸ Δ· δεῖ δὴ τῷ μὲν ΑΒΓ ὅμοιον, τῷ δὲ Δ ἴσον τὸ αὐτὸ συστήσασθαι.



Παραβεβλήσθω γὰρ τῷ μὲν ΒΓ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕ, τῷ δὲ ΓΕ τῷ Δ ἴσον παραλληλόγραμμον τὸ ΓΜ ἐν γωνίᾳ τῇ ὑπὸ ΖΓΕ, ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΒΛ· ἐπ᾽ εὐθείας ἄρα ἐστὶν ἡ μὲν ΒΓ τῇ ΓΖ, ἡ δὲ ΛΕ τῇ ΕΜ. καὶ εἰλήφθω τῶν ΒΓ, ΓΖ μέση ἀνάλογον ἡ ΗΘ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΗΘ τῷ ΑΒΓ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ ΚΗΘ.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΗΘ οὕτως ἡ ΗΘ πρὸς τὴν ΓΖ, ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἐστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην οὕτως τὸ ἀπὸ τῆς

PROP. XXV. PROBL.

Dato rectilineo ſimile, & alteri dato æquale idem conſtituere.

SIT datum quidem rectilineum, cui oportet ſimile conſtituere, ΑΒΓ; cui autem æquale, ſit Δ: oportet ipſi ΑΒΓ ſimile, & ipſi Δ æquale idem conſtituere.

Applicetur enim [per 44. & 45. 1.] ad rectam quidem lineam ΒΓ triangulo ΑΒΓ æquale parallelogrammum ΒΕ; ad rectam vero ΓΕ applicetur parallelogrammum ΓΜ æquale ipſi Δ in angulo ΖΓΕ, qui ΓΒΛ angulo eſt æqualis: in directum igitur eſt [per 14. 1.] ΒΓ ipſi ΓΖ; & ΛΕ ipſi ΕΜ. ſumaturque [per 13. 6.] inter ipſas ΒΓ, ΓΖ media proportionalis ΗΘ, & ab ipſa ΗΘ deſcribatur [per 18. 6.] rectilineum ΚΗΘ ſimile & ſimiliter poſitum rectilineo ΑΒΓ.

Et quoniam eſt ut ΒΓ ad ΗΘ ita ΗΘ ad ΓΖ, ſi autem tres rectæ lineæ proportionales ſint, ut prima ad tertiam ita [per 2. cor. 20. 6.]

eſt figura rectilinea quæ fit à prima ad ſimilem & ſimiliter deſcriptam à ſecunda: erit igitur ut ΒΓ ad ΓΖ ita ΑΒΓ triangulum ad triangulum ΚΗΘ. ſed [per 1. 6.] ut ΒΓ ad ΓΖ ita parallelogrammum ΒΕ ad ΕΖ parallelogrammum: & igitur ut triangulum ΑΒΓ ad triangulum ΚΗΘ ita ΒΕ parallelogrammum ad parallelogrammum ΕΖ: quare permutando [per 16. 5.] ut ΑΒΓ triangulum ad parallelogrammum ΒΕ ita triangulum ΚΗΘ ad ΕΖ parallelogrammum. eſt autem [per conſtr.] triangulum ΑΒΓ æquale parallelogrammo ΒΕ: æquale igitur eſt & ΚΗΘ triangulum parallelogrammo ΕΖ. ſed ΕΖ parallelogrammum æquale eſt rectilineo Δ: ergo & triangulum ΚΗΘ ipſi Δ eſt æquale. eſt autem [per conſtr.] ΚΗΘ ſimile triangulo ΑΒΓ.



Dato igitur rectilineo ΑΒΓ ſimile, & alteri dato æquale idem conſtitutum eſt ΚΗΘ. quod erat faciendum.

πρώτης εἶδος πρὸς τὸ ἀπὸ τ δευτέρας τὸ ὅμοιον τ̃ ὁμοίως ἀναγραφόμενον· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΚΗΘ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ οὕτως τὸ ΒΕ παραλληλόγραμμον πρὸς τὸ ΕΖ παραλληλόγραμμον· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΚΗΘ τρίγωνον οὕτως τὸ ΒΕ παραλληλόγραμμον πρὸς τὸ ΕΖ παραλληλόγραμμον· ἐναλλὰξ ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΒΕ παραλληλόγραμμον οὕτως τὸ ΚΗΘ τρίγωνον πρὸς τὸ ΕΖ παραλληλόγραμμον. ἴσον δὲ τὸ ΑΒΓ τρίγωνον τῷ ΒΕ παραλληλογράμμῳ· ἴσον ἄρα καὶ τὸ ΚΗΘ τρίγωνον τῷ ΕΖ παραλληλογράμμῳ. ἀλλὰ τὸ ΕΖ παραλληλόγραμμον τῷ Δ ἐστὶν ἴσον· καὶ τὸ ΚΗΘ ἄρα τῷ Δ ἐστὶν ἴσον. ἔστι δὲ τὸ ΚΗΘ καὶ τῷ ΑΒΓ ὅμοιον.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓ ὅμοιον, καὶ ἄλλῳ τῷ δοθέντι ἴσον τὸ αὐτὸ συνέστηται τὸ ΚΗΘ. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXVI. Theor.

Si à parallelogrammo parallelogrammum auferatur, ſimile toti & ſimiliter poſitum, communem cum ipſo angulum habens; circa eandem diametrum eſt cum toto.

A parallelogrammo enim ΑΒΓΔ parallelogrammum ΑΕΖΗ auferatur, ſimile ipſi ΑΒΓΔ & ſimiliter poſitum, communemque cum ipſo angulum habens ΔΑΒ: dico parallelogrammum ΑΒΓΔ circa eandem eſſe diametrum cum parallelogrammo ΑΕΖΗ.



Non enim, ſed, ſi fieri poteſt, ſit ipſorum diameter ΑΘΓ, ducaturque per Θ alterutri ipſarum ΑΔ, ΒΓ parallela ΘΚ.

Quoniam igitur circa eandem diametrum eſt ΑΒΓΔ parallelogrammum cum parallelogrammo ΚΗ, erit [per 24. 6.] parallelogrammum ΑΒΓΔ parallelogrammo ΚΗ ſimile: ergo [per 1. def. 6.] ut ΔΑ ad ΑΒ ita ΗΑ ad ΑΚ. eſt autem & propter ſimilitudinem parallelogrammorum ΑΒΓΔ, ΕΗ, ut ΔΑ ad ΑΒ ita ΗΑ ad ΑΕ: & igitur [per 11. 5.] ut ΗΑ ad ΑΒ ita ΗΑ ad ΑΚ: & proinde ΗΑ ad utramque ipſarum ΑΚ, ΑΕ eandem ra-

Προτασις κϛ'.

Ἐὰν ἀπὸ παραλληλογράμμου παραλληλόγραμμον ἀφαιρεθῇ, ὅμοιόν τε τῷ ὅλῳ καὶ ὁμοίως κείμενον, κοινὴν γωνίαν ἔχον αὐτῷ· περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τῷ ὅλῳ.

Ἀπὸ γὰρ παραλληλογράμμου τοῦ ΑΒΓΔ παραλληλόγραμμον ἀφῃρήσθω τὸ ΑΕΖΗ, ὅμοιον τῷ ΑΒΓΔ καὶ ὁμοίως κείμενον, κοινὴν γωνίαν ἔχον αὐτῷ τὴν ὑπὸ ΔΑΒ· λέγω ὅτι περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τὸ ΑΒΓΔ τῷ ΑΕΖΗ.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν ἔστω αὐτῶν ἡ διάμετρος ἡ ΑΘΓ, καὶ ἤχθω διὰ τοῦ Θ ὁποτέρα τ̃ ΑΔ, ΒΓ παράλληλος ἡ ΘΚ.

Ἐπεὶ οὖν περὶ τὴν διάμετρόν ἐστι τὸ ΑΒΓΔ τῷ ΚΗ, ὅμοιον ἐστι τὸ ΑΒΓΔ τῷ ΚΗ· ἔστιν ἄρα ὡς ἡ ΔΑ πρὸς τὴν ΑΒ οὕτως ἡ ΗΑ πρὸς τὴν ΑΚ. ἔστι δὲ διὰ τὴν ὁμοιότητα τ̃ ΑΒΓΔ, ΕΗ ὡς ἡ ΔΑ πρὸς τὴν ΑΒ οὕτως ἡ ΗΑ πρὸς τὴν ΑΕ· καὶ ὡς ἄρα ἡ ΗΑ πρὸς τὴν ΑΕ οὕτως ἡ ΗΑ πρὸς τὴν ΑΚ· ἡ ΗΑ ἄρα πρὸς ἑκατέραν τ̃ ΑΚ, ΑΕ τὸν αὐτὸν ἔχει

ἔχει λόγον· ἴση ἄρα ἐστὶν ἡ ΑΕ τῇ ΑΚ, ἡ ἐλάττων τῇ μείζονι, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἐστὶ περὶ τὴν αὐτὴν διάμετρον τὸ ΑΒΓΔ τῷ ΚΗ· περὶ τὴν αὐτὴν ἄρα ἐστὶ διάμετρον τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΑΕΖΗ παραλληλογράμμῳ.

Ἐὰν ἄρα ἀπὸ παραλληλογράμμου παραλληλόγραμμον ἀφαιρεθῇ, ὅμοιον τε τῷ ὅλῳ καὶ ὁμοίως κειμένων, κοινὴν ἔχον γωνίαν αὐτῷ· περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τῷ ὅλῳ. ὅπερ ἔδει δεῖξαι.

tionem habet; erit igitur [per 9. 5.] AE ipſi AK æqualis, minor majori, quod fieri non poteſt: non igitur circa eandem diametrum eſt ABΓΔ parallelogrammum cum parallelogrammo KH: igitur circa eandem diametrum erit parallelogrammum ABΓΔ cum parallelogrammo AEZH.

Si igitur à parallelogrammo parallelogrammum auferatur, ſimile toti & ſimiliter poſitum, communem cum ipſo angulum habens; circa eandem diametrum eſt cum toto. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κζ'.

Πάντων τῶν παρὰ τὴν αὐτὴν εὐθεῖαν παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις, ὁμοίοις τε καὶ ὁμοίως κειμένοις τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφομένῳ, μέγιστόν ἐστι τὸ ἀπὸ τῆς ἡμισείας παραβαλλόμενον παραλληλόγραμμον, ὅμοιον ὂν τῷ ἐλλείμματι.

PROP. XXVII. THEOR.

Omnium parallelogrammorum ſecundum eandem rectam lineam applicatorum, & deficientium figuris parallelogrammis, ſimilibus & ſimiliter poſitis ei quæ à dimidia deſcribitur, maximum eſt quod ad dimidiam eſt applicatum, ſimile exiſtens defectui.

Ἔστω εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Γ, καὶ παραβεβλήσθω παρὰ τὴν ΑΒ εὐθεῖαν τὸ ΑΔ παραλληλόγραμμον ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ ΓΕ, ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφέντι τῆς ΑΒ, τουτέστι τῆς ΒΓ· λέγω ὅτι πάντων τῶν παρὰ τὴν ΑΒ παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις ὁμοίοις τε καὶ ὁμοίως κειμένοις τῷ ΓΕ, μέγιστόν ἐστι τὸ ΑΔ. παραβεβλήσθω γὰρ παρὰ τὴν ΑΒ εὐθεῖαν τὸ ΑΖ παραλληλόγραμμον, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ ΚΘ, ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ΓΕ· λέγω ὅτι μεῖζόν ἐστι τὸ ΑΔ τοῦ ΑΖ.



SIT recta linea AB, ſeceturque bifariam in Γ; & ad AB rectam lineam applicetur parallelogrammum AΔ deficiens figura parallelogramma ΓE, ſimili & ſimiliter poſita ei quæ à dimidia ipſius AB deſcripta eſt, hoc eſt à BΓ: dico omnium parallelogrammorum ad rectam lineam AB applicatorum, & deficientium figuris parallelogrammis, ſimilibus & ſimiliter poſitis ipſi ΓE, maximum eſſe AΔ. applicetur enim ad rectam lineam AB parallelogrammum AZ, deficiens figura parallelogramma KΘ, ſimili & ſimiliter poſita ipſi ΓE; dico AΔ parallelogrammum parallelogrammo AZ majus eſſe.

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΓΕ παραλληλόγραμμον τῷ ΚΘ παραλληλογράμμῳ, περὶ τὴν αὐτὴν εἰσὶ διάμετρον. ἤχθω αὐτῶν διάμετρος ἡ ΔΒ, καὶ καταγεγράφθω τὸ σχῆμα.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΓΖ τῷ ΖΕ, κοινὸν προσκείσθω τὸ ΚΘ· ὅλον ἄρα τὸ ΓΘ ὅλῳ τῷ ΚΕ ἐστὶν ἴσον. ἀλλὰ τὸ ΓΘ τῷ ΓΗ ἐστὶν ἴσον, ἐπεὶ καὶ ἡ ΑΓ τῇ ΓΒ ἐστὶν ἴση· καὶ τὸ ΗΓ ἄρα τῷ ΕΚ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΓΖ· ὅλον ἄρα τὸ ΑΖ τῷ ΛΜΝ γνώμονι ἐστὶν ἴσον· ὥστε καὶ τὸ ΓΕ παραλληλόγραμμον, τουτέστι τὸ ΑΔ, τοῦ ΑΖ παραλληλογράμμου μεῖζόν ἐστιν.

Quoniam enim ſimile eſt parallelogrammum ΓE parallelogrammo KΘ, [per 26. 6.] circa eandem diametrum ſunt. ducatur eorum diameter ΔB, & deſcribatur figura.

Quoniam igitur [per 43. 1.] ΓZ eſt æquale ipſi ZE, commune apponatur KΘ: totum igitur ΓΘ toti KE eſt æquale. ſed ΓΘ [per 36. 1.] eſt æquale ΓH, quoniam recta linea AΓ ipſi ΓB eſt æqualis: ergo & HΓ ipſi EK æquale erit. commune apponatur ΓZ: totum igitur AZ eſt æquale gnomoni ΛMN; quare & ΓE, hoc eſt [per 36. 1.] AΔ parallelogrammum, parallelogrammo AZ eſt majus.

* Ἔστω γὰρ πάλιν ἡ ΑΒ τμηθεῖσα δίχα κατὰ τὸ Γ, καὶ παραβεβλήσθω τὸ ΑΛ ἐλλεῖπον εἴδει τῷ ΓΜ, καὶ

Sit enim rurſus AB ſecta bifariam in puncto Γ, & applicatum ſit AΛ deficiens figura ΓM; &

* Hic eſt hujus theorematis caſus ſecundus, (viz. cum AΔ minor eſt quam AΓ, cum primus ſit ille, quando AΔ major eſt quam AΓ,) & non altera propoſitionis demonſtratio: & ideo concluſionem univerſalem in codicibus tam MSS. quam impreſſis caſui primo ſubnexam ad ſecundi finem appoſuimus.

rurſus

rurſus ad rectam lineam AB applicetur parallelogrammum AE deficiens figura ΔZ, ſimili & ſimiliter poſita ei quæ à dimidia AB deſcribitur, videlicet ΓM: dico parallelogrammum AΛ, quod ad dimidiam eſt applicatum, majus eſſe parallelogrammo AE.



Quoniam enim ſimile eſt ΔZ ipſi ΓM; [per 26. 6.] circa eandem ſunt diametrum: ſit ipſorum diameter EB, & deſcribatur figura.

Et quoniam [per 36. 1.] ΛZ æquale eſt ΛΘ, etenim ZH ipſi HΘ eſt æqualis: erit ΛZ ipſo EK majus. eſt autem [per 43. 1.] ΛZ æquale ΔΛ: majus igitur eſt & ΔΛ ipſo EK. commune apponatur KΔ: ergo totum AΛ toto AE eſt majus.

Omnium igitur parallelogrammorum ad eandem rectam lineam applicatorum, & deficientium figuris parallelogrammis, ſimilibus & ſimiliter poſitis ei quæ à dimidia deſcribitur, maximum eſt quod ad dimidiam eſt applicatum. quod erat demonſtrandum.

παραβεβλήθω πάλιν παρὰ τὴν AB τὸ AE παραλληλόγραμμον ἐλλεῖπον τῷ ΔZ, ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ἀπὸ τῆς ἡμισείας τῆς AB, τῷ ΓM· λέγω ὅτι μεῖζόν ἐστι τὸ ἀπὸ τῆν ἡμισείας παραβληθὲν τὸ AΛ τοῦ AE.

Επεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΔZ τῷ ΓM, περὶ τὴν αὐτὴν διάμετρον· ἔστω αὐτῶν διάμετρος ἡ EB, καὶ καταγεγράφθω τὸ σχῆμα.

Καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΛZ τῷ ΛΘ, ἐπεὶ καὶ ἡ ZH τῇ HΘ· μεῖζον ἄρα τὸ ΛZ τοῦ EK. ἴσον δὲ τὸ ΛZ τῷ ΔΛ· μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ EK. κοινὸν ἔστω τὸ KΔ· ὅλον ἄρα τὸ AΛ ὅλου τοῦ AE μεῖζόν ἐστιν.

Πάντων ἄρα τῶν παρὰ τὴν αὐτὴν εὐθεῖαν παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις, ὁμοίοις τε καὶ ὁμοίως κειμένοις τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφομένῳ, μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ἡμισείας παραβληθέν. ὅπερ ἔδει δεῖξαι.

PROP. XXVIII. PROBL.

Ad datam rectam lineam dato rectilineo æquale parallelogrammum applicare, deficiens figura parallelogramma, quæ ſimilis ſit alteri datæ: oportet autem datum rectilineum, cui æquale applicandum eſt, non majus eſſe eo, quod ad dimidiam applicatur, ſimilibus exiſtentibus defectibus & ejus quod ad dimidiam & ejus cui oportet ſimile deficere.

ΠΡΟΤΑΣΙΣ κη'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ, ὁμοίῳ ὄντι τῷ δοθέντι· δεῖ δὴ τὸ διδόμενον εὐθύγραμμον, ᾧ δεῖ ἴσον παραβαλεῖν, μὴ μεῖζον εἶναι τοῦ ἀπὸ τῆς ἡμισείας παραβαλλομένου, ὁμοίων ὄντων τοῦ τε ἐλλείμματος καὶ τοῦ ἀπὸ τῆς ἡμισείας καὶ τοῦ ᾧ δεῖ ὅμοιον ἐλλείπειν παραλληλογράμμου.

SIT data quidem recta linea AB; datum autem rectilineum, cui oportet æquale ad datam rectam lineam AB applicare, ſit Γ, non majus exiſtens eo quod ad dimidiam applicatum eſt, ſimilibus exiſtentibus defectibus; cui autem oportet ſimile deficere ſit Δ: oportet ad datam rectam lineam AB dato rectilineo Γ æquale parallelogrammum applicare, deficiens figura parallelogramma, quæ ſimilis ſit ipſi Δ.

Secetur [per 10. 1.] AB bifariam in E, & ab ipſa EB [per 18. 6.] deſcribatur ſimile & ſimiliter poſitum ipſi Δ, quod ſit EBZH, & compleatur AH parallelogrammum: itaque AH vel æquale eſt ipſi Γ, vel eo majus, ob determinationem. & ſiquidem AH ſit æquale Γ, factum jam erit quod proponebatur; etenim ad rectam lineam AB dato rectilineo Γ æquale parallelogrammum AH applicatum eſt, deficiens figura parallelogramma EZ, ipſi Δ ſimili. ſi autem non eſt æquale, erit ΘE majus quam Γ.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ AB, τὸ δὲ δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ἴσον παρὰ τὴν AB παραβαλεῖν, τὸ Γ, μὴ μεῖζον ὂν τοῦ ἀπὸ τῆς ἡμισείας παραβαλλομένου, ὁμοίων ὄντων τῶν ἐλλειμμάτων, ᾧ δὲ δεῖ ὅμοιον ἐλλείπειν τὸ Δ· δεῖ δὴ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν AB τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ, ὁμοίῳ ὄντι τῷ Δ.

Τετμήσθω ἡ AB δίχα κατὰ τὸ E σημεῖον, καὶ ἀναγεγράφθω ἀπὸ τῆς EB τῷ Δ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ EBZH, καὶ συμπεπληρώσθω τὸ AH παραλληλόγραμμον· τὸ δὴ AH ἤτοι ἴσον ἐστὶ τῷ Γ, ἢ μεῖζον αὐτοῦ, ἀφ' ὃ ὥρισται. εἰ μὲν οὖν ἴσον ἐστὶ τὸ AH τῷ Γ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· παραβέβληται γὰρ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν AB τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον τὸ AH, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ EZ ὁμοίῳ ὄντι τῷ Δ. εἰ δὲ οὔ, μεῖζόν ἐστι τὸ ΘE τοῦ Γ.

ἴστω

ἴσον δὲ τὸ Θ Ε τῷ Ε Ζ· μεῖζον ἄρα καὶ τὸ Ε Ζ τοῦ Γ. ᾧ δὴ μεῖζόν ἐστι τὸ Ε Ζ τοῦ Γ, ταύτῃ τῇ ὑπεροχῇ ἴσον, τῷ δὲ Δ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ αὐτὸ συνεστάτω τὸ Κ Λ Μ Ν. ἀλλὰ τὸ Δ τῷ Ε Ζ ἐστὶν ὅμοιον· καὶ τὸ Κ Μ ἄρα τῷ Ε Ζ ἐστὶν ὅμοιον. ἔστω οὖν ὁμόλογος ἡ μὲν Λ Κ τῇ Η Ε, ἡ δὲ Λ Μ τῇ Η Ζ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ Ε Ζ τοῖς Γ, Κ Μ, μεῖζον ἄρα ἐστὶ τὸ Ε Ζ τοῦ Κ Μ· μείζων ἄρα ἐστὶ καὶ ἡ μὲν Η Ε τῆς Κ Λ, ἡ δὲ Η Ζ τῆς Λ Μ. κείσθω μὲν τῇ Λ Κ ἴση ἡ Η Ξ, τῇ δὲ Λ Μ ἴση ἡ Η Ο, καὶ συμπεπληρώσθω τὸ Ξ Η Ο Π παραλληλόγραμμον· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ Ξ Ο τῷ Κ Μ. ἀλλὰ τὸ Κ Μ τῷ Ε Ζ ὅμοιόν ἐστι· καὶ τὸ Ξ Ο ἄρα τῷ Ε Ζ ὅμοιόν ἐστι· περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὸ Ξ Ο τῷ Ε Ζ. ἔστω αὐτῶν διάμετρος ἡ Η Π Β, καὶ καταγεγράφθω τὸ σχῆμα.



Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ Ε Ζ τοῖς Γ, Κ Μ, ὧν τὸ Ξ Ο τῷ Κ Μ ἐστὶν ἴσον· λοιπὸς ἄρα ὁ Τ Φ Χ γνώμων λοιπῷ τῷ Γ ἴσος ἐστί. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ Ο Ρ τῷ Ξ Σ, κοινὸν προσκείσθω τὸ Ρ Σ· ὅλον ἄρα τὸ Ο Β ὅλῳ τῷ Ξ Β ἴσον ἐστίν. ἀλλὰ τὸ Ξ Β τῷ Τ Ε ἐστὶν ἴσον, ἐπεὶ καὶ πλευρὰ ἡ Α Ε πλευρᾷ τῇ Ε Β ἐστὶν ἴση· καὶ τὸ Τ Ε ἄρα τῷ Ο Β ἐστὶν ἴσον. κοινὸν προσκείσθω τὸ Ξ Σ· ὅλον ἄρα τὸ Γ Σ ὅλῳ τῷ Τ Φ Χ γνώμονι ἴσον ἐστίν. ἀλλ' ὁ Τ Φ Χ γνώμων τῷ Γ ἐδείχθη ἴσος· καὶ Τ Σ ἄρα τῷ Γ ἐστὶν ἴσον.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν Α Β τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ Τ Σ, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ τῷ Ρ Σ ὁμοίῳ ὄντι τῷ Δ, ἐπειδήπερ τὸ Ρ Σ τῷ Ο Ξ ὁμοιόν ἐστιν. ὅπερ ἔδει ποιῆσαι.

atque eſt Θ Ε æquale Ε Ζ: ergo & Ε Ζ quam Γ eſt majus. quo autem Ε Ζ ſuperat Γ, ei exceſſui æquale, ipſi vero Δ ſimile & ſimiliter poſitum idem [per 25. 6.] conſtituatur Κ Λ Μ Ν. ſed Δ eſt ſimile Ε Ζ: quare & Κ Μ ipſi Ε Ζ ſimile erit. ſit igitur recta linea quidem Λ Κ homologa ipſi Η Ε, Λ Μ vero ipſi Η Ζ. & quoniam æquale eſt Ε Ζ ipſis Γ, Κ Μ, erit Ε Ζ ipſo Κ Μ majus: major igitur eſt [per 1. cor. 20. 6.] Η Ε ipſa Κ Λ, & Η Ζ ipſa Λ Μ. ponatur [per 3. 1.] Η Ξ æqualis Λ Κ, & Η Ο æqualis Λ Μ, & compleatur [per 31. 1.] Ξ Η Ο Π parallelogrammum: æquale igitur eſt & ſimile [per 24. 6.] Ξ Ο ipſi Κ Μ. ſed Κ Μ ſimile eſt Ε Ζ: ergo [per 21. 6.] & Ξ Ο ipſi Ε Ζ eſt ſimile: igitur [per 26. 6.] circa eandem diametrum eſt Ξ Ο cum ipſo Ε Ζ. ſit ipſorum diameter Η Π Β, & figura deſcribatur.

Itaque quoniam Ε Ζ eſt æquale ipſis Γ, Κ Μ, quorum Ξ Ο eſt æquale Κ Μ, erit reliquus Τ Φ Χ gnomon æqualis reliquo Γ. & quoniam [per 43. 1.] Ο Ρ eſt æquale Ξ Σ, commune apponatur Ρ Σ: totum igitur Ο Β toti Ξ Β eſt æquale. ſed Ξ Β eſt [per 36. 1.] æquale Τ Ε, quoniam & latus Α Ε æquale lateri Ε Β: quare & Τ Ε ipſi Ο Β æquale eſt. commune apponatur Ξ Σ: ergo totum Τ Σ eſt æquale toti gnomoni Τ Φ Χ. at Τ Φ Χ gnomon ipſi Γ oſtenſus eſt æqualis: & igitur Τ Σ ipſi Γ æquale erit.

Ad datam igitur rectam lineam Α Β dato rectilineo Γ æquale parallelogrammum Τ Σ applicatum eſt, deficiens figura parallelogramma Ρ Σ ipſi Δ ſimili, quoniam & Ρ Σ ſimile eſt ipſi Ο Ξ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ κθ'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ὑπερβάλλον εἴδει παραλληλογράμμῳ ὁμοίῳ τῷ δοθέντι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ Α Β, τὸ δὲ δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ἴσον παρὰ τὴν Α Β παραβαλεῖν, τὸ Γ, ᾧ δὲ δεῖ ὅμοιον ὑπερβαλεῖν, τὸ Δ· δεῖ δὴ παρὰ τὴν Α Β εὐθεῖαν τῷ Γ εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν, ὑπερβάλλον εἴδει παραλληλογράμμῳ ὁμοίῳ τῷ Δ.

Τετμήσθω ἡ Α Β δίχα κατὰ τὸ Ε, καὶ ἀναγεγράφθω ἀπὸ τῆς Ε Β τῷ Δ ὅμοιον καὶ ὁμοίως κείμενον

Prop. XXIX. Probl.

Ad datam rectam lineam dato rectilineo æquale parallelogrammum applicare, excedens figura parallelogramma, quæ ſimilis ſit alteri datæ.

Sit data recta linea Α Β, datum vero rectilineum, cui oportet æquale ad ipſam Α Β applicare, ſit Γ; cui autem oportet ſimile excedere, ſit Δ: itaque oportet ad Α Β rectam lineam dato rectilineo Γ æquale parallelogrammum applicare, excedens figura parallelogramma ſimili ipſi Δ.

Secetur [per 9. 1.] Α Β bifariam in Ε, atque [per 18. 6.] à recta Ε Β ipſi Δ ſimile & ſimiliter

positum parallelogrammum describatur ΕΛ, & utrisque quidem ΕΛ, Γ æquale, ipsi vero Δ simile & similiter positum [per 25. 6.] idem constituatur ΗΘ: simile igitur est ΗΘ ipsi ΕΛ. sitque ΚΘ quidem latus homologum lateri ΖΛ; ΚΗ vero ipsi ΖΕ. & quoniam parallelogrammum ΗΘ majus est ipso ΕΛ, erit recta linea ΚΘ major quam ΖΛ, & ΚΗ major quam ΖΕ. producantur ΖΛ, ΖΕ, & ipsi quidem ΚΘ [per 3. 1.] æqualis sit ΖΛΜ, ipsi vero ΚΗ æqualis ΖΕΝ, & compleatur ΜΝ parallelogrammum: ergo ΜΝ æquale est & simile ipsi ΗΘ. sed ΗΘ est simile ΕΛ: & ΜΝ igitur [per 21. 6.] ipsi ΕΛ simile erit; ac propterea [per 26. 6.] circa eandem diametrum est ΕΛ cum ipso ΜΝ. ducatur ipsorum diameter ΖΞ, & figura describatur.



Itaque quoniam ΗΘ ipsis ΕΛ, Γ est æquale, sed & ΗΘ æquale ΜΝ; erit & ΜΝ æquale ipsis ΕΛ, Γ. commune auferatur ΕΛ: reliquus igitur ΨΧΦ gnomon ipsi Γ est æqualis. & quoniam ΕΑ est æqualis ΕΒ, æquale erit [per 36. 1.] & ΑΝ parallelogrammum parallelogrammo ΝΒ, hoc est [per 43. 1.] ipsi ΛΟ. commune apponatur ΕΞ: totum igitur ΑΞ æquale est gnomoni ΦΧΨ. sed ΦΧΨ gnomon est æqualis Γ: ergo & ΑΞ ipsi Γ æquale est.

Ad datam igitur rectam lineam ΑΒ dato rectilineo Γ æquale parallelogrammum applicatum est ΑΞ, excedens figura parallelogramma ΠΟ ipsi Δ simili, quoniam & ΕΛ simile est ΟΠ. quod erat faciendum.

παραλληλόγραμμον τὸ ΕΛ, ϛ συναμφοτέροις μὲν τῷ ΕΛ, Γ ἴσον, τῷ δὲ Δ ὅμοιον καὶ ὁμοίως κείμενον τὸ αὐτὸ συνεστάτω τὸ ΗΘ· ὅμοιον ἄρα ἐστὶ τὸ ΗΘ τῷ ΕΛ. ὁμόλογος δὲ ἔστω ἡ μὲν ΚΘ τῇ ΖΛ, ἡ δὲ ΚΗ τῇ ΖΕ. καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΗΘ τοῦ ΕΛ, μείζων ἄρα ἐστὶ καὶ ἡ μὲν ΚΘ τῆς ΖΛ, ἡ δὲ ΚΗ τῆς ΖΕ. συμβεβλήθωσαν αἱ ΖΛ, ΖΕ, καὶ τῇ μὲν ΚΘ ἴση ἔστω ἡ ΖΛΜ, τῇ δὲ ΚΗ ἴση ἡ ΖΕΝ, καὶ συμπεπληρώσθω τὸ ΜΝ· τὸ ΜΝ ἄρα τῷ ΗΘ ἴσον τέ ἐστι καὶ ὅμοιον. ἀλλὰ τὸ ΗΘ τῷ ΕΛ ἐστὶν ὅμοιον· καὶ τὸ ΜΝ ἄρα τὸ ΕΛ ὅμοιόν ἐστι· περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὸ ΕΛ τῷ ΜΝ. ἤχθω αὐτῶν ἡ διάμετρος ἡ ΖΞ, καὶ καταγεγράφθω τὸ σχῆμα.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΗΘ τοῖς ΕΛ, Γ, ἀλλὰ τὸ ΗΘ τῷ ΜΝ ἴσον ἐστί· καὶ τὸ ΜΝ ἄρα τοῖς ΕΛ, Γ ἴσον ἐστί. κοινὸν ἀφῃρήσθω τὸ ΕΛ· λοιπὸς ἄρα ὁ ΨΧΦ γνώμων τῷ Γ ἴσος ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΒ, ἴσον ἐστὶ καὶ τὸ ΑΝ τῷ ΝΒ, τουτέστι τῷ ΛΟ. κοινὸν προσκείσθω τὸ ΕΞ· ὅλον ἄρα τὸ ΑΞ ἴσον ἐστὶ τῷ ΦΧΨ γνώμονι. ἀλλὰ ὁ ΦΧΨ γνώμων τῷ Γ ἴσος ἐστί· καὶ τὸ ΑΞ ἄρα τῷ Γ ἴσον ἐστίν.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν ΑΒ τῷ δοθέντι εὐθυγράμμῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ ΑΞ, ὑπερβάλλον εἴδει παραλληλογράμμῳ τῷ ΠΟ ὁμοίῳ ὄντι τῷ Δ, ἐπεὶ καὶ τὸ ΕΛ ἐστὶν ὅμοιον τῷ ΟΠ. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXX. Probl.

Datam rectam lineam terminatam secundum extremam ac mediam rationem secare.

SIT data recta linea terminata ΑΒ: oportet ipsam ΑΒ secundum extremam ac mediam rationem secare.

Describatur enim [per 46. 1.] ex ΑΒ quadratum ΒΓ; & [per 29. 6.] ad ΑΓ ipsi ΒΓ æquale parallelogrammum applicetur ΓΔ, excedens figura ΑΔ ipsi ΒΓ simili.



Quadratum autem est ΒΓ: ergo & ΑΔ

ΠΡΟΤΑΣΙΣ λ'.

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ· δεῖ δὴ τὴν ΑΒ εὐθεῖαν ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΒΓ, καὶ παραβεβλήθω παρὰ τὴν ΑΓ τῷ ΒΓ ἴσον παραλληλόγραμμον τὸ ΓΔ, ὑπερβάλλον εἴδει τῷ ΑΔ ὁμοίῳ τῷ ΒΓ.

Τετράγωνον δέ ἐστι τὸ ΒΓ· τετράγωνον ἄρα ἐστὶ καὶ

καὶ τὸ ΑΔ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΒΓ τῷ ΓΔ, κοινὸν ἀφῃρήσθω τὸ ΓΕ· λοιπὸν ἄρα τὸ ΒΖ λοιπῷ τῷ ΑΔ ἐστὶν ἴσον. ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον· τῶν ΒΖ, ΑΔ ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἔστιν ἄρα ὡς ἡ ΖΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΑΕ πρὸς τὴν ΕΒ. ἴση δὲ ἡ μὲν ΖΕ τῇ ΑΓ, τουτέστι τῇ ΑΒ, ἡ δὲ ΕΔ τῇ ΑΕ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΑΕ οὕτως ἡ ΑΕ πρὸς τὴν ΕΒ. μείζων δὲ ἡ ΑΒ τῆς ΑΕ· μείζων ἄρα καὶ ἡ ΑΕ τῆς ΕΒ.

Ἡ ἄρα ΑΒ εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Ε, καὶ μεῖζον αὐτῆς τμῆμά ἐστι τὸ ΑΕ. ὅπερ ἔδει ποιῆσαι.

quadratum erit. & quoniam ΒΓ eſt æquale ΓΔ, commune auferatur ΓΕ: reliquum igitur ΒΖ reliquo ΑΔ eſt æquale. eſt autem & ipſi æquiangulum: ergo [per 14.6.] ipſorum ΒΖ, ΑΔ latera quæ circum æquales angulos ſunt reciproce proportionalia: ut igitur ΖΕ ad ΕΔ ita eſt ΑΕ ad ΕΒ. eſt autem [per 34. 1.] ΖΕ æqualis ΑΓ, hoc eſt ipſi ΑΒ; & ΕΔ ipſi ΑΕ: quare ut ΑΒ ad ΑΕ ita ΑΕ ad ΕΒ. ſed ΑΒ major eſt quam ΑΕ: ergo ΑΕ quam ΕΒ eſt major.

Recta igitur linea ΑΒ ſecundum extremam ac mediam rationem ſecta eſt in Ε, & majus ipſius ſegmentum eſt ΑΕ. quod erat faciendum.

ΑΛΛΩΣ.

Ἐκκείσθω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· δεῖ δὴ τὴν ΑΒ εὐθεῖαν ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Τετμήσθω γὰρ ἡ ΑΒ κατὰ τὸ Γ, ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον εἶναι τῷ ἀπὸ τῆς ΑΓ τετραγώνῳ.



Ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἡ ἄρα ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ. ὅπερ ἔδει ποιῆσαι.

ALITER.

Sit data recta linea ΑΒ: oportet ipſam ΑΒ ſecundum extremam ac mediam rationem ſecare.

Secetur enim [per 11. 2.] ΑΒ in Γ, ita ut rectangulum, quod comprehenditur ſub ΑΒ, ΒΓ, æquale ſit quadrato ex ΑΓ.

Quoniam igitur rectangulum quod comprehenditur ſub ΑΒ, ΒΓ æquale eſt quadrato ex ΑΓ; erit [per 17.6.] ut ΑΒ ad ΑΓ ita ΑΓ ad ΓΒ. ergo [per 3. def. 6.] ΑΒ ſecundum extremam & mediam rationem ſecta eſt. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς εἶδος ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν εἴδεσι, τοῖς ὁμοίοις καὶ ὁμοίως ἀναγραφομένοις.

PROP. XXXI. THEOR.

In rectangulis triangulis, figura quæ fit à latere rectum angulum ſubtendente æqualis eſt eis quæ à lateribus rectum angulum comprehendentibus fiunt, ſimilibus & ſimiliter deſcriptis.

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ, ὀρθὴν ἔχον τὴν ὑπὸ ΒΑΓ γωνίαν· λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ εἶδος ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδεσι, τοῖς ὁμοίοις καὶ ὁμοίως ἀναγραφομένοις.



Ἤχθω κάθετος ἡ ΑΔ.

Ἐπεὶ οὖν ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ ΑΒΓ, ἀπὸ τῆς πρὸς τὸ Α ὀρθῆς γωνίας ἐπὶ τὴν ΒΓ βάσιν κάθετος ἦκται ἡ ΑΔ· τὰ ΑΒΔ, ΑΔΓ ἄρα τρίγωνα τῇ καθέτῳ τριγώνῳ ὅμοιά ἐστι τῷ τε ὅλῳ τῷ ΑΒΓ καὶ ἀλλήλοις. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΑΒΓ τῷ ΑΒΔ, ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ. καὶ ἐπεὶ τρεῖς εὐθεῖαι ἀνάλογόν εἰσιν, ἔστιν ὡς πρώτη πρὸς τὴν τρίτην οὕτως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον· ὡς ἄρα ἡ ΓΒ πρὸς τὴν ΒΔ οὕτως τὸ ἀπὸ τῆς ΓΒ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΒΑ, τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΔ οὕτως τὸ ἀπὸ τῆς

SIT triangulum rectangulum ΑΒΓ, rectum habens angulum ΒΑΓ: dico figuram quæ fit à ΒΓ æqualem eſſe eis quæ à ΒΑ, ΑΓ fiunt, ſimilibus & ſimiliter deſcriptis.

Ducatur perpendicularis ΑΔ.

Quoniam igitur in triangulo ΑΒΓ ab angulo recto qui eſt Α ad ΒΓ baſim perpendicularis ducta eſt ΑΔ; erunt [per 8. 6.] triangula ΑΒΔ, ΑΔΓ, quæ ſunt ad perpendicularem, ſimilia toti ΑΒΓ & inter ſe. & quoniam ſimile eſt ΑΒΓ triangulum triangulo ΑΒΔ, erit ut ΓΒ ad ΒΑ ita ΑΒ ad ΒΔ. atqui cum tres rectæ lineæ proportionales ſint; ut prima ad tertiam ita erit [per 2. cor. 20. 6.] figura quæ fit à prima ad ſimilem & ſimiliter deſcriptam à ſecunda: ut igitur ΓΒ ad ΒΔ ita figura quæ fit à ΓΒ ad ſimilem & ſimiliter deſcriptam à ΒΑ. eadem ratione & ut ΒΓ ad ΓΔ ita figura quæ

fit à BΓ ad eam quæ fit à ΓA: quare & ut BΓ ad ipſas BΔ, ΔΓ ita figura quæ fit à BΓ ad eas quæ fiunt à BA, AΓ, ſimiles & ſimiliter deſcriptas. æqualis eſt autem BΓ ipſis BΔ, ΔΓ: ergo figura quæ fit à BΓ æqualis eſt eis quæ à BA, AΓ fiunt, ſimilibus & ſimiliter deſcriptis.

In rectangulis igitur triangulis, figura quæ fit à latere rectum angulum ſubtendente æqualis eſt eis quæ à lateribus rectum angulum comprehendentibus fiunt, ſimilibus & ſimiliter deſcriptis. quod erat demonſtrandum.

ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓΑ, ὥστε καὶ ὡς ἡ ΒΓ πρὸς τὰς ΒΔ, ΔΓ ἕτως τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὰ ἀπὸ τῶν ΒΑ, ΑΓ, τὰ ὅμοια καὶ ὁμοίως ἀναγραφόμενα. ἴση δὲ ἡ ΒΓ τῇ ΒΔ, ΔΓ· ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΒΓ εἶδος τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδεσι, τοῖς ὁμοίοις τε καὶ ὁμοίως ἀναγραφομένοις.

Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς εἶδος ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν εἴδεσι, τοῖς ὁμοίοις τε καὶ ὁμοίως ἀναγραφομένοις. ὅπερ ἔδει δεῖξαι.

Aliter.

Quoniam [per 23. 6.] ſimiles figuræ ſunt in duplicata ratione laterum homologorum; figura quæ fit à BΓ ad eam quæ fit à BA duplicatam rationem habebit ejus quam habet BΓ ad BA. habet autem [per 1. cor. 20. 6.] & quadratum ex BΓ ad quadratum ex BA duplicatam rationem ejus quam habet BΓ ad BA: ergo [per 11. 5.] ut figura quæ fit à BΓ ad eam quæ fit à BA ita quadratum ex BΓ ad quadratum ex BA. eadem ratione & ut figura quæ fit à BΓ ad eam quæ fit à ΓA ita quadratum ex BΓ ad quadratum ex ΓA; & igitur ut figura quæ fit à BΓ ad eas quæ fiunt à BA, AΓ ita quadratum ex BΓ ad quadrata ex BA, AΓ. quadratum autem ex BΓ æquale eſt [per 47. 1.] quadratis ex BA, AΓ: ergo & figura quæ fit à BΓ eſt æqualis eis quæ à BA, AΓ fiunt, ſimilibus & ſimiliter deſcriptis. quod erat demonſtrandum.



Αλλως.

Ἐπεὶ τὰ ὅμοια σχήματα ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν, τὸ ἀπὸ τῆς ΒΓ εἶδος ἄρα πρὸς τὸ ἀπὸ τῆς ΒΑ εἶδος διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΒΑ. ἔχει δὲ καὶ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον διπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΒΑ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΒΑ ἕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον. Διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓΑ εἶδος ἕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΓΑ τετράγωνον· ὥστε καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὰ ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδη ἕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὰ ἀπὸ τῶν ΒΑ, ΑΓ τετράγωνα. ἴσον δὲ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις· ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΒΓ εἶδος τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδεσι, τοῖς ὁμοίοις τε καὶ ὁμοίως ἀναγραφομένοις. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXII. Theor.

Si duo triangula, quæ duo latera duobus lateribus proportionalia habent, componantur ſecundum unum angulum, ita ut homologa latera ipſorum ſint parallela; reliqua triangulorum latera in directum ſibi invicem erunt.

Προτασις λβ'.

Ἐὰν δύο τρίγωνα συντεθῇ κατὰ μίαν γωνίαν, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἀνάλογον ἔχοντα, ὥστε τὰς ὁμολόγους αὐτῶν πλευρὰς ἐν ἀλλήλοις εἶναι· αἱ λοιπαὶ τῶν τριγώνων πλευραὶ ἐπ' εὐθείας ἔσονται.

SInt duo triangula ABΓ, ΔΓE, quæ duo latera BA, AΓ duobus lateribus ΓΔ, ΔB proportionalia habeant, ut quidem BA ad AΓ ita ΓΔ ad ΔE; parallela autem ſit AB ipſi ΔΓ, & AΓ ipſi ΔE: dico BΓ ipſi ΓE in directum eſſe.

Quoniam enim AB parallela eſt ΔΓ, & in ipſas incidit recta linea AΓ; erunt [per 29. 1.] anguli alterni BAΓ, AΓΔ æquales inter ſe. ea-

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΓΕ, τὰς δύο πλευρὰς τὰς ΒΑ, ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΓΔ, ΔΕ ἀνάλογον ἔχοντα, ὡς μὲν τὴν ΒΑ πρὸς τὴν ΑΓ ἕτως τὴν ΓΔ πρὸς τὴν ΔΕ, ὥστε παράλληλον εἶναι τὴν μὲν ΑΒ τῇ ΔΓ, τὴν δὲ ΑΓ τῇ ΔΕ· λέγω ὅτι ἐπ' εὐθείας ἐστὶν ἡ ΒΓ τῇ ΓΕ.

Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΔΓ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΑΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΒΑΓ, ΑΓΔ ἴσαι ἀλλήλαις εἰσί. Διὰ τὰ

τὸ αὐτὸ δὴ καὶ ἡ ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΓΔ ἐστιν ἴση· ὥστε καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΕ ἐστιν ἴση. καὶ ἐπεὶ δύο τρίγωνά ἐστι ΑΒΓ, ΔΓΕ μίαν γωνίαν τὴν πρὸς τῷ Α μιᾷ γωνίᾳ τῇ πρὸς τῷ Δ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ οὕτως τὴν ΓΔ πρὸς τὴν ΔΕ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΓΕ τριγώνῳ· ἴση ἄρα ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΓΕ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΔ τῇ ὑπὸ ΒΑΓ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΓΕ δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΒΑΓ ἴση ἐστί. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΕ, ΑΓΒ τρισὶ ταῖς ὑπὸ ΒΑΓ, ΑΓΒ, ΑΒΓ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΒΑΓ, ΑΓΒ, ΑΒΓ δυσὶν ὀρθαῖς ἴσαι εἰσί· καὶ αἱ ὑπὸ ΑΓΕ, ΑΓΒ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πρὸς δή τινι εὐθείᾳ τῇ ΑΓ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Γ, δύο εὐθεῖαι αἱ ΒΓ, ΓΕ, μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι, τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΑΓΕ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΒΓ τῇ ΓΕ.



Ἐὰν ἄρα δύο τρίγωνα συνιστῇ κατὰ μίαν γωνίαν, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἀνάλογον ἔχοντα, ὥστε τὰς ὁμολόγους αὐτῶν πλευρὰς καὶ παραλλήλους εἶναι· αἱ λοιπαὶ τῶν τριγώνων πλευραὶ ἐπ' εὐθείας ἔσονται. ὅπερ ἔδει δεῖξαι.

dem ratione & angulus ΓΔΕ æqualis eſt angulo ΑΓΔ: quare & ΒΑΓ ipſi ΓΔΕ eſt æqualis. & quoniam ΑΒΓ, ΔΓΕ ſunt duo triangula unum angulum qui ad Α uni angulo qui ad Δ æqualem habentia, circum æquales autem angulos latera proportionalia, ſcilicet ut ΒΑ ad ΑΓ ita ΓΔ ad ΔΕ; erit [per 6. 6.] triangulum ΑΒΓ triangulo ΔΓΕ æquiangulum: ergo ΑΒΓ angulus eſt æqualis angulo ΔΓΕ. oſtenſus autem eſt & angulus ΑΓΔ æqualis angulo ΒΑΓ: totus igitur ΑΓΕ duobus ΑΒΓ, ΒΑΓ eſt æqualis. communis apponatur ΑΓΒ: ergo anguli ΑΓΕ, ΑΓΒ angulis ΒΑΓ, ΑΓΒ, ΑΒΓ æquales ſunt. ſed [per 32. 1.] ΒΑΓ, ΑΓΒ, ΑΒΓ anguli duobus rectis ſunt æquales: & igitur anguli ΑΓΕ, ΑΓΒ duobus rectis æquales erunt. itaque ad quandam rectam lineam ΑΓ, & ad punctum in ipſa Γ, duæ rectæ lineæ ΒΓ, ΓΕ, non ad eaſdem partes poſitæ, angulos qui ſunt deinceps ΑΓΕ, ΑΓΒ duobus rectis æquales faciunt: ergo [per 14. 1.] ΒΓ ipſi ΓΕ in directum erit.

Si igitur duo triangula, quæ duo latera duobus lateribus proportionalia habent, ita componantur ſecundum unum angulum, ut homologa latera ipſorum ſint parallela; reliqua triangulorum latera in directum ſibi invicem erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν λόγον ἔχουσι ταῖς περιφερείαις ἐφ' ὧν βεβήκασιν, ἐάντε πρὸς τοῖς κέντροις, ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι· ἔτι δὲ καὶ οἱ τομεῖς, ἅτε πρὸς τοῖς κέντροις συνεστῶτες.

Prop. XXXIII. Theor.

In circulis æqualibus anguli eandem habent rationem quam circumferentiæ quibus inſiſtunt, ſive ad centra ſive ad circumferentias inſiſtant: adhuc etiam & ſectores, quippe qui ad centra ſunt conſtituti.

Ἐστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ πρὸς μὲν ταῖς κορυφαῖς αὐτῶν ταῖς Η, Θ γωνίαι ἔστωσαν αἱ ὑπὸ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ περιφερείας αἱ ὑπὸ ΒΑΓ, ΕΔΖ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ περιφέρειαν οὕτως καὶ ἡ ὑπὸ ΒΗΓ γωνία πρὸς τὴν ὑπὸ ΕΘΖ, καὶ ἡ ὑπὸ ΒΑΓ πρὸς τὴν ὑπὸ ΕΔΖ· καὶ ἔτι ὁ ΗΒΓ τομεὺς πρὸς τὸν ΘΕΖ τομέα.





Sint æquales circuli ΑΒΓ, ΔΕΖ, & ad centra quidem ipſorum Η, Θ ſint anguli ΒΗΓ, ΕΘΖ, ad circumferentias vero anguli ΒΑΓ, ΕΔΖ: dico ut circumferentia ΒΓ ad ΕΖ circumferentiam ita eſſe & ΒΗΓ angulum ad angulum ΕΘΖ, & angulum ΒΑΓ ad angulum ΕΔΖ: & adhuc ſectorem ΗΒΓ ad ΘΕΖ ſectorem.

Ponantur enim circumferentiæ quidem ΒΓ æquales quotcumque deinceps ΓΚ, ΚΛ, circumferentiæ vero ΕΖ rurſus æquales quotcumque ΖΜ, ΜΝ, & jungantur ΗΚ, ΗΛ, ΘΜ, ΘΝ.

Quoniam igitur circumferentiæ ΒΓ, ΓΚ, ΚΛ inter ſe ſunt æquales, & anguli ΒΗΓ, ΓΗΚ, ΚΗΛ [per 27. 3.] inter ſe æquales erunt: quam multiplex igitur eſt circumferentia ΒΛ circumferentiæ ΒΓ tam multiplex eſt & ΒΗΛ angulus anguli ΒΗΓ. eadem ratione & quam multiplex eſt circumferentia ΕΝ circumferentiæ ΕΖ tam multiplex & ΕΘΝ angulus anguli ΕΘΖ. & ſi æqualis eſt ΒΛ circumferentia circumferentiæ ΕΝ, & angulus ΒΗΛ angulo ΕΘΝ [per 27. 3.] erit æqualis; & ſi circumferentia ΒΛ major eſt circumferentia ΕΝ, major erit & ΒΗΛ angulus angulo ΕΘΝ; & ſi minor, minor: quatuor igitur exiſtentibus magnitudinibus, duabus nimirum circumferentiis ΒΓ, ΕΖ & duobus angulis ΒΗΓ, ΕΘΖ, ſumpta ſunt circumferentiæ quidem ΒΓ & ΒΗΓ anguli æque multiplicia *viz.* circumferentia ΒΛ & ΒΗΛ angulus; circumferentiæ vero ΕΖ & ΕΘΖ anguli æque multiplicia, nempe circumferentia ΕΝ & angulus ΕΘΝ. atque oſtenſum eſt ſi circumferentia ΒΛ ſuperat circumferentiam ΕΝ, & ΒΗΛ angulum ſuperare angulum ΕΘΝ; & ſi æqualis, æqualem; & ſi minor, minorem eſſe: igitur [per 5. def. 5.] ut circumferentia ΒΓ ad ΕΖ circumferentiam ita angulus ΒΗΓ ad angulum ΕΘΖ. ſed [per 15. 5.] ut ΒΗΓ angulus ad angulum ΕΘΖ, ita angulus ΒΑΓ ad ΕΔΖ angulum; uterque enim [per 20. 3.] utriuſque eſt duplus: & igitur ut ΒΓ circumferentia ad circumferentiam ΕΖ ita & angulus ΒΗΓ ad angulum ΕΘΖ, & angulus ΒΑΓ ad ΕΔΖ angulum.





In circulis igitur æqualibus anguli eandem habent rationem quam circumferentiæ quibus inſiſtunt, ſive ad centra ſive ad circumferentias inſiſtant. quod erat demonſtrandum.

Dico inſuper & ut ΒΓ circumferentia ad circumferentiam ΕΖ ita eſſe ſectorem ΗΒΓ ad ΘΕΖ ſectorem.

Jungantur enim ΒΓ, ΓΚ, & ſumptis in circumferentiis ΒΓ, ΓΚ punctis Ξ, Ο, jungantur & ΒΞ, ΞΓ, ΓΟ, ΟΚ.

Quoniam enim est ut Α unitas ad Β ita Δ ad Ε; Α unitas numerum Β æqualiter metitur [per 20. def. 7.] atque Δ ipsum Ε: quare permutando [per 15. 7.] Α unitas numerum Δ æqualiter metitur atque Β ipsum Ε. sed Α unitas metitur Δ per eas quæ sunt in ipso Δ unitates: ergo & Β metitur Ε per unitates quæ sunt in Δ: minor igitur Β majorem Ε metitur per aliquem eorum qui sunt in numeris proportionalibus. quod erat demonstrandum.

* i. e. *Quod est contra Hypothesin.* Atque hoc sæpius in decursu.

Prop.

Prop. XII. Theor.

Si ab unitate quotlibet numeri deinceps proportionales fuerint: quicunque primorum numerorum metiuntur ultimum, iidem & eum qui unitati proximus eſt metientur.

SInt ab unitate quotlibet numeri deinceps proportionales A, B, Γ, Δ: dico quicunque primorum numerorum metiuntur Δ, eoſdem & ipſum A metiri.

Metiatur enim aliquis primus numerus E ipſum Δ: dico E ipſum quoque A metiri. non enim metiatur E ipſum A, atque E eſt primus; omnis autem primus numerus [per 31. 7.] ad omnem numerum quem non metitur primus eſt: ergo E, A numeri inter ſe primi ſunt. & cum E metitur ipſum Δ, metiatur per unitates quæ ſunt in Z: ergo E multiplicans Z ipſum Δ fecit. rurſus, quoniam [per 11. 9.] A metitur ipſum Δ per eas quæ ſunt in Γ unitates, A multiplicans Γ ipſum Δ fecit. ſed & E multiplicans Z fecit Δ: qui igitur fit ex A, Γ ei qui fit ex E, Z eſt æqualis: ergo [per 19. 7.] ut A ad E ita Z ad Γ. ſuntque A, E primi, primi autem [per 23. 7.] & minimi, minimi vero eos qui eandem habent rationem æqualiter metiuntur, [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem: metitur igitur E ipſum Γ. metiatur per H: ergo E ipſum H multiplicans fecit Γ. ſed & A multiplicans B ipſum Γ fecit: qui igitur fit ex A, B æqualis eſt ei qui ex E, H: ergo ut A ad E ita H ad B. & ſunt A, E primi, ſed primi etiam & minimi, minimi vero eos qui eandem habent rationem æqualiter metiuntur [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem: quare & E ipſum B metitur. metiatur per Θ: multiplicans igitur E ipſum Θ fecit B. ſed & A ſeipſum multiplicans fecit B; ergo qui fit ex Θ, E eſt æqualis ei qui fit ab ipſo A: eſt igitur [per 20. 7.] ut E ad A ita A ad Θ. ſuntque A, E primi, ſed primi etiam & minimi, minimi vero æqualiter metiuntur eos qui eandem quam ipſi rationem habent, [per 21. 7.] major majorem & minor minorem, hoc eſt antecedens antecedentem & conſequens conſequentem: ergo E metitur ipſum A. ſed & non metitur, quod fieri non poteſt: non igitur A, E ſunt inter ſe primi: ergo compoſiti erunt. compoſitos vero [per 14. def. 7.] primus aliquis numerus metitur: quare ipſos A, E metietur aliquis numerus primus. & quoniam E primus ponitur, primum autem non metitur alius numerus [per 11. def. 7.] præter ſeipſum: metitur igitur E ipſos A, E: ideoque E ipſum A metitur. metitur autem & ipſum Δ: ergo E ipſos A, Δ metietur. ſimiliter demonſtrabimus quicunque primorum numerorum metiuntur Δ, eoſdem & ipſum A metiri.

1. A, 4. B, 16. Γ, 64. Δ, 256.
E, 2. Θ, 8. H, 32. Z, 128.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον ὦσιν· ὑφ' ὅσων ἂν ὁ ἔσχατος πρώτων ἀριθμῶν μετρῇ, τούτων καὶ ὁ πρὸς τὴν μονάδα μετρήσει.

Ἔστωσαν ἀπὸ μονάδος ὁποσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, οἱ A, B, Γ, Δ· λέγω ὅτι ὑφ' ὅσων ἂν ὁ Δ πρώτων ἀριθμῶν μετρῆται, τούτων καὶ ὁ A μετρηθήσεται.

Μετρείσθω γὰρ ὁ Δ τινος πρώτου ἀριθμοῦ, οὗ E· λέγω ὅτι ὁ E καὶ τὸν A μετρεῖ. μὴ γὰρ μετρείτω ὁ E τὸν A, καὶ ἔστιν ὁ E πρῶτος, ἅπας δὲ πρῶτος ἀριθμὸς πρὸς ἅπαντα ἀριθμὸν ὃν μὴ μετρεῖ πρῶτος ἐστίν· οἱ E, A ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσί. ἐπεὶ οὖν ὁ E τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Z· ὁ E ἄρα τὸν Z πολλαπλασιάσας τὸν Δ πεποίηκε. πάλιν, ἐπεὶ ὁ A τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας· ὁ A ἄρα τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκε. ἀλλὰ μὴν καὶ ὁ E τὸν Z πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν A, Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν E, Z· ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν E οὕτως ὁ Z πρὸς τὸν Γ. οἱ δὲ A, E πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ E τὸν Γ. μετρείτω αὐτὸν κατὰ τὸν H· ὁ E ἄρα τὸν H πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ A τὸν B πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν A, B ἴσος ἐστὶ τῷ ἐκ τῶν E, H· ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν E οὕτως ὁ H πρὸς τὸν B. οἱ δὲ A, E πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις, ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ E τὸν B. μετρείτω αὐτὸν κατὰ τὸν Θ· ὁ E ἄρα τὸν Θ πολλαπλασιάσας τὸν B πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ A ἑαυτὸν πολλαπλασιάσας τὸν B πεποίηκεν· ἔστιν ἄρα ὁ ἐκ τῶν Θ, E ἴσος τῷ ἀπὸ τοῦ A· ἔστιν ἄρα ὡς ὁ E πρὸς τὸν A οὕτως ὁ A πρὸς τὸν Θ. οἱ δὲ A, E πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάττων τὸν ἐλάττονα, τουτέστιν ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα καὶ ὁ E τὸν A. * ἀλλὰ μὴν καὶ μετρεῖ, ὅπερ ἀδύνατον· οὐκ ἄρα οἱ A, E πρῶτοι πρὸς ἀλλήλους εἰσί· συνθετοὶ ἄρα. οἱ δὲ συνθετοὶ ὑπὸ πρώτου ἀριθμοῦ τινος μετροῦνται· οἱ A, E ἄρα ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετροῦνται. ἐπεὶ οὖν ὁ E πρῶτος οὐκ ἔστι, μετρείσθω δὲ ὑπὸ τινος ἑτέρου ἀριθμοῦ τοῦ μετροῦντος· ὑφ' ἑαυτὸν· ὁ E ἄρα τοὺς A, E μετρεῖ· ὥστε καὶ ὁ E τὸν A μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Δ· ὁ E ἄρα τοὺς A, Δ μετρεῖ. ὁμοίως δὴ δείξομεν ὅτι ὑφ' ὅσων ἂν ὁ Δ πρώ-

* In quibuſdam codicibus quæ ſequuntur rectius abſunt, ſcribiturque οὐκ ἄρα ὁ μετρῶν ὁ E τὸν A· μετρεῖ ἄρα. ὅπερ ἔδει δεῖξαι.

τῶν

των ἀριθμῶν μετρεῖται, ὑπὸ τ' αὐτῶν καὶ ὁ Α μετρηθήσεται. ὅπερ ἔδει δεῖξαι.

merorum metiuntur ipſum Δ, eoſdem & ipſum Α metiri. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα πρῶτος ᾖ· ὁ μέγιστος ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται, πάρεξ τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Prop. XIII. Theor.

Si ab unitate quotcunque numeri deinceps proportionales fuerint, qui vero poſt unitatem primus ſit; maximum nullus alius metietur, præter eos qui ſunt in numeris proportionalibus.

Ἐστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἀπὸ μονάδος ἀνάλογον οἱ Α, Β, Γ, Δ, οἱ δὲ μετὰ τὴν μονάδα ὁ Α πρῶτος ἔστω· λέγω ὅτι ὁ μέγιστος αὐτῶν ὁ Δ ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται, πάρεξ τ Α, Β, Γ.

Εἰ γὰρ δυνατόν, μετρείσθω ὑπό τις Ε, καὶ ὁ Ε μηδενὶ τ Α, Β, Γ ἔστω ὁ αὐτός· φανερὸν δὴ ὅτι ὁ Ε πρῶτος οὐκ ἔστιν. εἰ γὰρ ὁ Ε πρῶτός ἐστι καὶ μετρεῖ τὸν Δ, καὶ τὸν Α μετρήσει πρῶτον ὄντα, μὴ ὢν αὐτῷ ὁ αὐτός, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ὁ Ε πρῶτός ἐστι· σύνθετος ἄρα· ἅπας δὴ σύνθετος ἀριθμὸς ὑπό τινος πρώτου ἀριθμοῦ μετρεῖται. λέγω δὴ ὅτι ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται πρώτου, πλὴν ὧν Α. εἰ γὰρ ὑφ' ἑτέρου μετρεῖται ὁ Ε, ὁ δὲ Ε τὸν Δ μετρεῖ· καὶ ἐκεῖνος ἄρα τὸν Δ μετρήσει· ὥστε καὶ τὸν Α μετρήσει πρῶτον ὄντα, μὴ ὢν αὐτῷ ὁ αὐτός, ὅπερ ἐστὶν ἀδύνατον· ὁ Α ἄρα τ Ε μετρεῖ· καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ κατὰ τὸν Ζ· ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τ Α, Γ ἴσος ἐστὶ τῷ ἐκ τ Ε, Ζ· ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Ε οὕτως ὁ Ζ πρὸς τὸν Γ. ὁ δὲ Α τὸν Ε μετρεῖ· καὶ ὁ Ζ ἄρα τὸν Γ μετρεῖ. μετρείτω αὐτὸν κατὰ τὸν Η. ὁμοίως δὴ δείξομεν ὅτι ὁ Η ἑνὶ τ Α, Β ἐστὶν ὁ αὐτός, καὶ ὅτι μετρεῖται ὑπὸ τ Α. καὶ ἐπεὶ ὁ Ζ τὸν Γ μετρεῖ κατὰ τὸν Η· ὁ Ζ ἄρα τὸν Η πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν

Sint quotcunque numeri ab unitate deinceps proportionales Α, Β, Γ, Δ, & qui poſt unitatem videlicet Α ſit primus: dico maximum Δ nullum alium metiri, præter ipſos Α, Β, Γ.

Si enim fieri poteſt, metiatur Ε ipſum Δ, & non ſit Ε idem qui aliquis ipſorum Α, Β, Γ: manifeſtum eſt Ε primum non eſſe. ſi enim primus ſit, & metiatur Δ; [per 12. 9.] ipſum quoque Α metietur primum exiſtentem, cum non ſit idem qui Α, quod fieri non poteſt: non igitur Ε primus eſt; ergo compoſitus: omnem autem compoſitum numerum [per 33. 7.] primus aliquis numerus metitur. dico nullum alium primum metiri ipſum Ε, præterquam Α. ſi enim alius metitur Ε, & Ε metitur Δ, & alius ille ipſum Δ metietur: quare [per 12. 9.] & ipſum Α primum exiſtentem, cum non ſit idem qui Α, quod fieri non poteſt: ergo Α ipſum Ε metitur. & quoniam Ε metitur Δ, metiatur ipſum per Ζ. dico non eſſe Ζ eundem cum aliquo ipſorum Α, Β, Γ. ſi enim eſt idem, metiturque ipſum Δ per Ε; & unus ipſorum Α, Β, Γ ipſum Δ per Ε metietur. ſed [per 11. 9.] quilibet ipſorum Α, Β, Γ metitur Δ per aliquem ipſorum Α, Β, Γ: quare & Ε idem erit qui unus ipſorum Α, Β, Γ, quod non ſupponitur: non igitur eſt Ζ idem qui unus ipſorum Α, Β, Γ. ſimiliter oſtendemus Α metiri ipſum Ζ, rurſus oſtendentes non eſſe Ζ primum numerum. ſi enim eſt primus, & metitur ipſum Δ, [per 12. 9.] ipſum quoque Α metietur primum exiſtentem, cum non ſit idem qui Α, quod fieri non poteſt: non igitur Ζ primus eſt: ergo compoſitus, & [per 33. 7.] eum aliquis primus metietur. dico nullum alium metiri ipſum Ζ præterquam Α. ſi enim alius metitur Ζ, & Ζ metitur Δ; & alius ille ipſum Δ metietur: quare [per 12. 9.] & ipſum Α primum exiſtentem, cum non ſit idem qui Α, quod fieri non poteſt: ergo Α ipſum Ζ metitur. & quoniam Ε metitur Δ per Ζ; & Ε multiplicans Ζ ipſum Δ fecit. ſed [ex hyp.] & Α multiplicans Γ fecit Δ: qui igitur fit ex Α, Γ eſt æqualis ei qui ex Ε, Ζ: ergo [per 19. 7] ut Α ad Ε ita eſt Ζ ad Γ. ſed Α metitur Ε: quare [per 20. def. 7.] & Ζ ipſum Γ metitur. metiatur per Η. ſimiliter demonſtrabimus Η non eſſe eundem qui unus ipſorum Α, Β, & Α ipſum Η metiri. & quoniam Ζ ipſum Γ metitur per Η, multiplicans Ζ ipſum Η fecit Γ. ſed & Α multiplicans Β ipſum Γ fecit: ergo

I.	Α, 5.	Β, 25.	
	Ε ——	Θ ——	
Γ, 125.	Δ, 625.		
Η ——	Ζ ——		

qui fit ex A, B ei qui ex Z, H eſt æqualis: ut igitur A ad Z ita eſt H ad B. metitur autem A ipſum Z: ergo & H ipſum B metietur. metiatur per Θ. ſimiliter demonſtrabimus Θ non eſſe eundem qui A. &

quoniam H ipſum B per Θ metitur, H multiplicans Θ ipſum B fecit.	I.	A, 5. E ——	B, 25. Θ ——

ſed & A ſeipſum multiplicans [ex hyp.] fecit B: qui igitur fit ex Θ, H eſt æqualis quadrato qui ex A: ergo [per 20. 7.] ut Θ ad A ita A ad H. metitur autem A ipſum H; quare & Θ ipſum A metietur, primum exiſtentem, cum non ſit idem qui A; quod eſt abſurdum: non igitur aliquis alius metietur ipſum Δ maximum, præter ipſos A, B, Γ. quod erat demonſtrandum.

Α, Β ἴσους ἐστὶ τῷ ἐκ τῶν Ζ, Η· ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Ζ οὕτως ὁ Η πρὸς τὸν Β. μετρεῖ δὲ ὁ Α τὸν Ζ· μετρεῖ ἄρα καὶ ὁ Η τὸν Β. μετρείτω αὐτὸν κατὰ τὸν Θ. ὁμοίως δὴ δείξομεν ὅτι ὁ Θ τῷ Α ἐστὶν ὁ αὐτός. καὶ ἐπεὶ ὁ Η τὸν Β μετρεῖ κατὰ τὸν Θ· ὁ Η ἄρα τὸν Θ πολλαπλασιάσας τὸν Β πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Θ, Η ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ Α τετραγώνῳ· ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Α οὕτως ὁ Α πρὸς τὸν Η. μετρεῖ δὲ ὁ Α τὸν Η· μετρεῖ ἄρα καὶ ὁ Θ τὸν Α πρῶτον ὄντα, μὴ ὢν αὐτὸς ὁ αὐτός, ὅπερ ἄτοπον· οὐκ ἄρα ὁμέγιστος ὁ Δ ὑφ' ἑτέρου ἀριθμοῦ μετρηθήσεται, πάρεξ τῶν Α, Β, Γ. ὅπερ ἔδει δεῖξαι.

Γ, 125.	Δ, 625.		
Η ——	Ζ ——		

Prop. XIV. Theor.

Si minimum numerum primi numeri metiantur: nullus alius numerus metietur ipſum, præter eos qui à principio metiebantur.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Ἐὰν ἐλάχιστος ἀριθμὸς ὑπὸ τῶν πρώτων ἀριθμῶν μετρῆται· ὑπ' οὐδενὸς ἄλλου ἀριθμοῦ μετρηθήσεται, πάρεξ τῶν ἐξ ἀρχῆς μετρούντων.

Minimum enim numerum A primi numeri B, Γ, Δ metiantur: dico nullum alium primum numerum metiri ipſum A, præter ipſos B, Γ, Δ.

Si enim fieri poteſt, metiatur E ipſum A; & non ſit E idem qui aliquis ipſorum B, Γ, Δ. & quoniam E metitur A, ipſum per Z metiatur: ergo E multiplicans Z ipſum A fecit. & metiuntur A primi numeri B, Γ, Δ.

ſi autem duo numeri ſeſe multiplicantes aliquem faciant, & factum ex ipſis metiatur aliquis primus numerus, [per 32. 7.] & unum eorum qui à principio poſiti ſunt metietur: ergo numeri B, Γ, Δ metientur unum ipſorum E, Z. ipſum quidem E non metientur, etenim [ex hyp.] B primus eſt; & non idem qui aliquis ipſorum B, Γ, Δ: ergo metientur ipſum Z qui eſt minor quam A, quod fieri non poteſt; ponitur enim A minimus eorum quos B, Γ, Δ metiantur: non igitur ipſum A metietur aliquis primus numerus, præter ipſos B, Γ, Δ. quod erat demonſtrandum.	A, 30.	B, 2. Γ, 3. Δ, 5.	
		E ——	
		Z ——	

Ἐλάχιστος γὰρ ἀριθμὸς ὁ Α ὑπὸ πρώτων ἀριθμῶν τῶν Β, Γ, Δ μετρείσθω· λέγω ὅτι ὁ Α ὑπ' οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ μετρηθήσεται, πάρεξ τῶν Β, Γ, Δ.

Εἰ γὰρ δυνατόν, μετρείσθω ὑπὸ πρώτου τοῦ Ε, καὶ ὁ Ε μηδενὶ τῶν Β, Γ, Δ ἔστω ὁ αὐτός. ἐπεὶ ὁ Ε τὸν Α μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ· ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Α πεποίηκε. καὶ μετρεῖται ὁ Α ὑπὸ πρώτων ἀριθμῶν τῶν Β, Γ, Δ. ἐὰν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, τὸν γενόμενον ἐξ αὐτῶν μετρῇ τις πρῶτος ἀριθμός, καὶ ἕνα τῶν ἐξ ἀρχῆς μετρήσει· οἱ Β, Γ, Δ ἄρα ἕνα τῶν Ε, Ζ μετρήσουσι. τὸν μὲν οὖν Ε οὐ μετρήσουσιν, ὁ γὰρ Ε πρῶτός ἐστι, καὶ οὐδενὶ τῶν Β, Γ, Δ ὁ αὐτός· τὸν Ζ ἄρα μετρήσουσιν ἐλάσσονα ὄντα τοῦ Α, ὅπερ ἐστὶν ἀδύνατον, ὁ γὰρ Α ὑπόκειται ἐλάχιστος ὑπὸ τῶν Β, Γ, Δ μετρούμενον· οὐκ ἄρα τὸν Α μετρήσει πρῶτος ἀριθμὸς, πάρεξ τῶν Β, Γ, Δ. ὅπερ ἔδει δεῖξαι.

Prop. XV. Theor.

Si tres numeri deinceps proportionales fuerint, minimi omnium eandem cum ipſis rationem habentium; duo quilibet compoſiti ad reliquum primi erunt.

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐὰν τρεῖς ἀριθμοὶ ἐξῆς ἀνάλογον ὦσιν, ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· δύο ὁποιοιῦν συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν.

Sint A, B, Γ tres numeri deinceps proportionales, minimi omnium eandem cum ipſis rationem habentium: dico duos quoſlibet compoſitos ad reliquum primos eſſe, videlicet A, B ad Γ, & B, Γ ad A, & A, Γ ad B.

Ἔστωσαν τρεῖς ἀριθμοὶ ἐξῆς ἀνάλογον, ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ Α, Β, Γ· λέγω ὅτι δύο ὁποιοιῦν συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν, οἱ μὲν Α, Β πρὸς τὸν Γ, οἱ δὲ Β, Γ πρὸς τὸν Α, καὶ ἔτι οἱ Α, Γ πρὸς τὸν Β.

Εἰλήφθω-

Εἰλήφθωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τοῦ αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β, Γ δύο οἱ ΔΕ, ΕΖ. Φανερὸν δὲ ὅτι ὁ μὲν ΔΕ ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίηκε, τὸν δὲ ΕΖ πολλαπλασιάσας τὸν Β πεποίηκε, ἔτι δὲ ὁ ΕΖ ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκε. καὶ ἐπεὶ οἱ ΔΕ, ΕΖ ἐλάχιστοί εἰσι, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσι, καὶ συναμφότερος πρὸς ἑκάτερον πρῶτός ἐστιν· καὶ ὁ ΔΖ ἄρα πρὸς ἑκάτερον τῶν ΔΕ, ΕΖ πρῶτός ἐστιν. ἀλλὰ μὴν καὶ ὁ ΔΕ πρὸς τὸν ΕΖ πρῶτός ἐστιν· οἱ ΔΖ, ΔΕ ἄρα πρῶτοί εἰσι πρὸς τὸν ΕΖ· καὶ ὁ ἐκ τῶν Ζ Δ, ΔΕ ἄρα πρὸς τὸν ΕΖ· πρῶτός ἐστιν. ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ ἀπὸ τοῦ ἑνὸς αὐτῶν γενόμενος πρὸς τὸν λοιπὸν πρῶτός ἐστιν· ὥστε ὁ ἐκ τῶν Ζ Δ, ΔΕ καὶ πρὸς τὸν ἀπὸ ΕΖ πρῶτός ἐστιν. ἀλλ' ὁ ἐκ τῶν Ζ Δ, ΔΕ ὁ ἀπὸ ΔΕ ἐστὶ μετὰ ἐκ τῶν ΔΕ, ΕΖ· ὁ ἄρα ἀπὸ ΔΕ μετὰ ἐκ τοῦ ΔΕ, ΕΖ πρὸς τὸν ἀπὸ τῆς ΕΖ πρῶτός ἐστι. καὶ ἔστιν ὁ μὲν ἀπὸ ΔΕ ὁ Α, ὁ δὲ ἐκ τῶν ΔΕ, ΕΖ ὁ Β, ὁ δὲ ἀπὸ ΕΖ ὁ Γ· οἱ Α, Β ἄρα συντεθέντες πρὸς τὸ Γ πρῶτοί εἰσιν· ὁμοίως δὴ δείξομεν ὅτι καὶ οἱ Β, Γ πρὸς τὸν Α πρῶτοί εἰσι. Λέγω δὴ ὅτι καὶ οἱ Α, Γ πρὸς τὸν Β πρῶτοί εἰσιν. ἐπεὶ γὰρ ὁ ΔΖ πρὸς ἑκάτερον τῶν ΔΕ, ΕΖ πρῶτός ἐστιν· ὥστε καὶ ὁ ἀπὸ ΔΖ πρὸς τὸ ὑπὸ ΔΕ, ΕΖ πρῶτός ἐστιν. ἀλλὰ τῷ μὲν ἀπὸ ΔΖ ἴσοι εἰσὶν οἱ ἀπὸ ΔΕ, ΕΖ μετὰ τοῦ δὶς ὑπὸ ΔΕ, ΕΖ· καὶ οἱ ἀπὸ ΔΕ, ΕΖ ἄρα μετὰ δὶς ἐκ ΔΕ, ΕΖ πρὸς τὸν ὑπὸ ΔΕ, ΕΖ πρῶτοί εἰσι. διελόντι οἱ ἀπὸ ΔΕ, ΕΖ μετὰ ἅπαξ ὑπὸ τῶν ΔΕ, ΕΖ πρὸς τὸν ὑπὸ ΔΕ, ΕΖ πρῶτοί εἰσιν· ἔτι διελόντι οἱ ἀπὸ ΔΕ, ΕΖ ἄρα πρὸς τὸν ὑπὸ ΔΕ, ΕΖ πρῶτοί εἰσι. καὶ ἔστιν ὁ μὲν ἀπὸ ΔΕ ὁ Α, ὁ δὲ ὑπὸ ΔΕ, ΕΖ ὁ Β, ὁ δὲ ἀπὸ τῆς ΕΖ ὁ Γ· οἱ Α, Γ ἄρα συντεθέντες πρὸς τὸ Β πρῶτοί εἰσιν. ὅπερ ἔδει δεῖξαι.

Sumantur enim duo minimi numeri eandem cum ipſis A, B, Γ rationem habentes, ΔΕ, ΕΖ. manifeſtum eſt [per 2. 8.] ΔΕ ſeipſum quidem multiplicantem facere A; multiplicantem vero ΕΖ facere B, & ΕΖ ſeipſum multiplicantem facere Γ. & quoniam ΔΕ, ΕΖ minimi ſunt, [per 24. 7.] primi erunt inter ſe. ſi autem duo numeri primi inter ſe fuerint, [per 30. 7.] & uterque ſimul ad utrumque primus erit: ergo ΔΖ ad utrumque ipſorum ΔΕ, ΕΖ primus eſt. ſed & ΔΕ ad ΕΖ eſt primus: quare ΔΖ, ΔΕ ad ΕΖ primi ſunt: ac propterea [per 26. 7.] qui fit ex ΖΔ, ΔΕ primus eſt ad ΕΖ. ſi autem duo numeri primi inter ſe fuerint [per 27. 7.] qui fit ex uno ipſorum ad reliquum primus erit: ergo qui fit ex ΖΔ, ΔΕ ad eum qui fit ex ΒΖ eſt primus. ſed * qui ex ΖΔ, ΔΕ eſt is qui fit ex ΔΕ una cum eo qui ex ΔΕ, ΕΖ: qui igitur ex ΔΕ una cum eo qui ex ΔΕ, ΕΖ primus eſt ad eum qui ex ΕΖ. ſed qui fit ex ΔΕ eſt A; qui vero ex ΔΕ, ΕΖ eſt B, & qui ex ΕΖ eſt Γ: ergo A, B compoſiti ad ipſum Γ primi ſunt: ſimiliter oſtendemus & B, Γ ad A eſſe primos. Dico & A, Γ ad B primos eſſe. quoniam enim [per 30. 7.] ΔΖ ad utrumque ipſorum ΔΕ, ΕΖ eſt primus; & [per 26. & 27. 7.] qui fit ex ΔΖ ad eum qui ex ΔΕ, ΕΖ primus erit. ſed [per 4. 2.] ei qui fit ex ΔΖ æquales ſunt qui ex ΔΕ & ΕΖ fiunt una cum eo qui bis fit ex ΔΕ, ΕΖ: qui igitur ex ΔΕ & ΕΖ fiunt una cum eo qui bis ex ΔΕ, ΕΖ primi ſunt ad eum qui ex ΔΕ, ΕΖ: ergo & dividendo qui fiunt ex ΔΕ & ΕΖ una cum eo qui ſemel fit ex ΔΕ, ΕΖ primi ſunt ad eum qui ex ΔΕ, ΕΖ; & rurſus dividendo, qui fiunt ex ΔΕ & ΕΖ ad eum qui fit ex ΔΕ, ΕΖ primi ſunt. ſed qui fit ex ΔΕ eſt A; qui vero ex ΔΕ, ΕΖ eſt B; & qui ex ΕΖ eſt Γ: ergo A, Γ compoſiti ad ipſum B primi erunt. quod erat demonſtrandum.

A, 9. B, 12. Γ, 16.
Δ . . . Ε . . . . Ζ.

ΠΡΟΤΑΣΙΣ ιϛ'.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον οὕτως ὁ δεύτερος πρός τινα ἄλλον.

PROP. XVI. THEOR.

Si duo numeri primi inter ſe fuerint; non erit ut primus ad ſecundum ita ſecundus ad alium ullum.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω ὅτι οὐκ ἔστιν ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρός τινα ἄλλον.

Εἰ γὰρ δυνατόν, ἔστω ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Γ. οἱ δὲ Α, Β πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις, ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Α τὸν Β, ὡς ἡγούμενος ἡγούμενον. μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ Α ἄρα τοὺς Α, Β μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἄτοπόν ἐστιν· οὐκ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Γ. ὅπερ ἔδει δεῖξαι.

DUO enim numeri A, B primi inter ſe ſint: dico non eſſe ut A ad B ita B ad alium ullum.

Si enim fieri poteſt, ſit ut A ad B ita B ad Γ. & ſunt A, B primi, primi vero ſunt [per 23. 7.] & minimi, minimi vero eos qui eandem habent rationem æqualiter metiuntur, [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem; metitur igitur A ipſum B, ut antecedens antecedentem. ſed & ipſe ſeipſum metitur: ergo A metitur ipſos A, B primos inter ſe exiſtentes, quod eſt abſurdum: non igitur eſt ut A ad B ita B ad Γ. quod erat demonſtrandum.

A, 5. B, 8. Γ ——

* Hoc ab *Euclide* demonſtratur in lineis ad *prop. 3. lib. 2.* ſed in numeris à *Barlaam Monacho Theor. 3.* Nos, in ſimilibus caſibus, ſolas *Euclidis* correſpondentes propoſitiones *libri 2.* poſthac citabimus.

PROP. XVII. THEOR.

Si fuerint quotcunque numeri deinceps proportionales, extremi autem ipſorum primi inter ſe ſint; non erit ut primus ad ſecundum ita ultimus ad alium ullum.

SInt quotcunque numeri deinceps proportionales A, B, Γ, Δ, extremi autem ipſorum A, Δ primi ſint inter ſe: dico non eſſe ut A ad B ita Δ ad alium ullum.

Si enim fieri poteſt, ſit ut A ad B ita Δ ad E: quare permutando ut A ad Δ ita erit [per 13. 7.] B ad E. & etiam [ex hyp.] ſunt A, Δ primi, [per 23. 7.] primi etiam & minimi, minimi vero eos qui eandem habent rationem æqualiter metiuntur, [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem: metitur igitur A ipſum B. atque eſt ut A ad B ita B ad Γ: ergo & B metitur ipſum Γ, & ob id A quoque ipſum Γ metitur. & quoniam eſt ut B ad Γ ita Γ ad Δ, metitur autem B ipſum Γ; & Γ ipſum Δ metitur. ſed A metitur Γ; quare & A metitur ipſum Δ. metitur autem & ſeipſum: ergo A ipſos A, Δ primos inter ſe exiſtentes metitur; quod fieri non poteſt: non igitur erit ut A ad B ita Δ ad alium ullum. quod erat demonſtrandum.

A, 8. B, 12. Γ, 18. Δ, 27. E ——

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν· οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον οὕτως ὁ ἔσχατος πρός τινα ἄλλον.

Ἔστωσαν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον οἱ A, B, Γ, Δ, οἱ δὲ ἄκροι αὐτῶν οἱ A, Δ πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω ὅτι οὐκ ἔστιν ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Δ πρὸς ἄλλον τινά.

Εἰ γὰρ δυνατόν, ἔστω ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ A πρὸς τὸν E· καὶ ἀλλάξ ἄρα ὡς ὁ A πρὸς τὸν Δ οὕτως ὁ B πρὸς τὸν E. οἱ δὲ A, Δ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις, ὁ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ A τὸν B. ἔστιν ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ B πρὸς τὸν Γ· καὶ ὁ B ἄρα τὸν Γ μετρεῖ, ὥστε καὶ ὁ A τὸν Γ μετρεῖ. καὶ ἐπεί ἐστιν ὡς ὁ B πρὸς τὸν Γ οὕτως ὁ Γ πρὸς τὸν Δ, μετρεῖ δὲ ὁ B τὸν Γ· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ. ἀλλ' ὁ A τὸν Γ μετρεῖ· ὥστε καὶ ὁ A τὸν Δ μετρεῖ. μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ A ἄρα τοὺς A, Δ μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἔστιν ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ Δ πρὸς ἄλλον τινά. ὅπερ ἔδει δεῖξαι.

A, 8. B, 12. Γ, 18. Δ, 27. E ——

PROP. XVIII. THEOR.

Duobus numeris datis conſiderare, an tertius ipſis proportionalis inveniri poſſit.

SInt dati duo numeri A, B, & oporteat conſiderare, an poſſit tertius ipſis proportionalis inveniri.

Itaque A, B vel primi inter ſe ſunt, vel non primi. ſi quidem primi, jam oſtenſum eſt [ad 16. 9.] fieri non poſſe, ut tertius ipſis proportionalis inveniatur.

A, 4.

Sed non ſint A, B inter ſe primi, & B ſeipſum multiplicans faciat Γ. vel igitur A metitur Γ, vel non metitur. metiatur primum per Δ: ergo A multiplicans Δ ipſum Γ fecit. ſed & B ſeipſum multiplicans fecit Γ: qui igitur fit ex A, Δ eſt æqualis ei qui ex B: ergo [per 20. 7.] ut A ad B ita B ad Δ; ac propterea ipſis A, B tertius proportionalis Δ inventus eſt.

A, 4. B, 6.

Sed non metiatur A ipſum Γ: dico fieri non poſſe, ut ipſis A, B tertius proportionalis inveniatur. ſi enim fieri poteſt, inventus ſit Δ: ergo [per 20. 7.] qui fit ex A, Δ æqualis eſt ei qui fit ex B, ſed qui fit ex B eſt Γ; qui igitur fit ex A, Δ ipſi Γ eſt æqualis: ergo A ipſum Δ multiplicans fecit

A, 6. B, 4. Δ —— Γ, 16.

ΠΡΟΤΑΣΙΣ ιη'.

Δύο ἀριθμῶν δοθέντων ὁπισκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ A, B, καὶ δέον ἔστω ὁπισκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Οἱ δὴ A, B ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν, ἢ οὔ· εἰ μὲν οὖν πρῶτοι πρὸς ἀλλήλους εἰσί, δέδεικται ὅτι ἀδύνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

B, 7.

Ἀλλὰ δὴ μὴ ἔστωσαν οἱ A, B πρῶτοι πρὸς ἀλλήλους, καὶ ὁ B ἑαυτὸν πολλαπλασιάσας τὸν Γ ποιείτω. ὁ A δὴ τὸν Γ ἤτοι μετρεῖ, ἢ οὐ μετρεῖ. μετρείτω πρότερον κατὰ τὸν Δ· ὁ A ἄρα τὸν Δ πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ B ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν A, Δ ἴσος ἐστὶ τῷ ἐκ τοῦ B· ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν B οὕτως ὁ B πρὸς τὸν Δ· τοῖς A, B ἄρα τρίτος ἀριθμὸς προσεύρηται, ὁ Δ.

A, 4. B, 6. Δ, 9. Γ, 36.

Ἀλλὰ δὴ μὴ μετρείτω ὁ A τὸν Γ· λέγω ὅτι τοῖς A, B ἀδύνατόν ἐστι τρίτον ἀνάλογον προσευρεῖν ἀριθμόν. εἰ γὰρ δυνατόν, προσευρήσθω ὁ Δ· ὁ ἄρα ἐκ τῶν A, Δ ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ B, ὁ δὲ ἀπὸ τοῦ B ἐστὶν ὁ Γ· ὁ ἄρα ἐκ τῶν A, Δ ἴσος ἐστὶ τῷ Γ· ὥστε ὁ A τὸν Δ πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ A

A, 6. B, 4. Δ —— Γ, 16.

ὁ Α ἄρα τὸν Γ μετρεῖ κατὰ τὸν Δ. ἀλλὰ μὴν καὶ μὴ μετρῶν, ὅπερ ἄτοπον· οὐκ ἄρα δυνατόν ἐστι τοῖς Α, Β τρίτον ἀνάλογον προσευρεῖν ἀριθμόν, ὅταν ὁ Α τὸν Γ μὴ μετρῇ. ὅπερ ἔδει δεῖξαι.

Γ, & ob id Α ipſum Γ per Δ metitur. ſed & non metiri poſitum eſt, quod eſt abſurdum: non igitur fieri poteſt, ut ipſis Α, Β tertius inveniatur proportionalis, quando Α ipſum Γ non metitur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Τριῶν ἀριθμῶν δοθέντων ὑποσκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Prop. XIX. Probl.

Tribus numeris datis conſiderare, an quartus ipſis proportionalis inveniri poſſit.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ οἱ Α, Β, Γ, δεῖ δὴ ὑποσκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Οἱ δὴ Α, Β, Γ ἤτοι ἐξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν οἱ Α, Γ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἢ οὔ [*ἀνάλογον μὲν ἐξῆς εἰσιν, οἱ ἄκροι δὲ αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσὶν· ἢ ἀνάλογον μὲν ἐξῆς, οὐ πρῶτοι δὲ οἱ ἄκροι αὐτῶν πρὸς ἀλλήλους εἰσὶν· ἢ οὔτε ἀνάλογον ἐξῆς, οὔτε οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.]

Εἰ μὲν οὖν οἱ Α, Β, Γ ἐξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν οἱ Α, Γ πρῶτοι πρὸς ἀλλήλους εἰσί, δέδεικται ὅτι ἀδυνάτου ἐστὶν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν.

Sint dati tres numeri Α, Β, Γ, & oporteat conſiderare, an poſſit quartus ipſis proportionalis inveniri.

Itaque Α, Β, Γ vel deinceps ſunt proportionales, & eorum extremi primi inter ſe ſunt; vel non [*deinceps proportionales, & eorum extremi ſunt primi inter ſe; vel proportionales quidem deinceps, non autem extremi ipſorum inter ſe primi; vel neque proportionales deinceps, neque eorum extremi inter ſe ſunt.]

Si quidem igitur Α, Β, Γ deinceps ſunt proportionales, & eorum extremi Α, Γ primi inter ſe; jam demonſtratum eſt [ad 17. 9.] fieri non poſſe ut quartus ipſis proportionalis inveniatur.

Α, 4. Β, 6. Γ, 9.

[Εἰδ' οὐκ ἀνάλογον μὲν ἐξῆς εἰσι, ἄκροι δὲ οἱ πρῶτοι· λέγω ὅτι τέταρτον ἀνάλογον προσευρεῖν ἐστὶν ἀδύνατον. εἰ γὰρ μή, προσευρήσθω, καὶ ἔστω ὁ Δ· ὡς ἄρα ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Δ, ὡς δὲ ὁ Β πρὸς τὸν Γ οὕτως ὁ Δ πρὸς τὸν Ε· ἐξ ἴσου ἄρα ὡς ὁ Α πρὸς τὸν Γ οὕτως ὁ Γ πρὸς τὸν Ε. ἀλλὰ μὴν οἱ Α, Γ πρῶτοί εἰσι, πρῶτοι δὲ ἐλάχιστοι, οἱ ἐλάχιστοι δὲ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς, ὅ, τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Α τὸν Γ, ὁ ἡγούμενος τὸν ἡγούμενον. μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ Α ἄρα τοὺς Α, Γ μετρεῖ πρώτους πρὸς ἀλλήλους ὄντας, ὅπερ ἀδύνατον· τοῖς Α, Β, Γ ἄρα τέταρτον ἀνάλογον προσευρεῖν ἀδύνατον.]

Α, 4. Β, 6. Γ, 5. Δ —— Ε ——

[Si vero non ſunt deinceps proportionales, & extremi ipſorum ſunt primi: dico quartum proportionalem inveniri non poſſe. ſi enim inveniri poteſt, ſit Δ: ut igitur Α ad Β ita Γ ad Δ, & ut Β ad Γ ita ſit Δ ad Ε: ergo ex æquo [per 14. 7.] ut Α ad Γ ita Γ ad Ε. ſed ſunt Α, Γ primi, primi autem [per 23. 7.] & minimi, minimi vero eos qui eandem rationem habent æqualiter metiuntur, [per 21. 7.] antecedens antecedentem & conſequens conſequentem: ergo Α ipſum Γ metitur, antecedens antecedentem. metitur autem & ſeipſum: quare Α ipſos Α, Γ primos inter ſe exiſtentes metitur; quod fieri non poteſt: ipſis igitur Α, Β, Γ non poteſt quartus proportionalis inveniri.]

Πάλιν, οἱ Α, Β, Γ ἀνάλογον ἐξῆς ἔστωσαν μὲν, οἱ δὲ Α, Γ ἄκροι οὐ πρῶτοι· λέγω ὅτι τέταρτον ἀνάλογον προσευρεῖν δυνατόν ἐστιν. ὁ Β γὰρ τὸν Γ πολλαπλασιάσας τὸν Δ ποιείτω· ὁ δὴ Α τὸν Δ ἤτοι μετρεῖ, ἢ οὔ μετρείτω πρότερον κατὰ τὸν Ε· ὁ Α ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Β τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ὑπὸ τῶν Α, Ε ἴσος ἐστὶ τῷ ὑπὸ τῶν Β, Γ· ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Γ πρὸς τὸν Ε· τῶν Α, Β, Γ ἄρα τέταρτος προσεύρηται ἀνάλογον ὁ Ε.

Α, 8. Β, 12. Γ, 18. Ε, 27. Δ, 216.

Rurſus Α, Β, Γ proportionales quidem ſint deinceps, non autem extremi eorum primi: dico quartum proportionalem inveniri poſſe, multiplicans enim Β ipſum Γ faciat Δ: itaque vel Α metitur ipſum Δ vel non metitur. metiatur primum per Ε: ergo Α multiplicans Ε fecit Δ. ſed & Β multiplicans Γ ipſum Δ fecit: qui igitur fit ex Α, Ε eſt æqualis ei qui ex Β, Γ: propterea que [per 19. 7.] ut Α ad Β ita eſt Γ ad Ε: ipſis igitur Α, Β, Γ quartus proportionalis Ε inventus eſt.

* Corruptiſſima eſt hæc propoſitio. Nos ex auctoritate Codicum MSS. ita corrigendam cenſemus, ut quæ uncis ſunt incluſa pro deletis habeantur. In univerſum datis tribus numeris quartus proportionalis inveniri poteſt, quando primus metitur eum qui fit cum ſecundus multiplicat tertium; alioquin ἀδύνατον: & quartus eſt numerus per quem primus metitur numerum ita creatum. Ideoque Propoſitionis diviſio in quatuor caſus non eſt neceſſaria, certe Euclidi conſentaneitati minime reſpondet: immo caſus ſecundus paralogiſmus merus eſt, cum quod falſum probat, tum quod ἀλογίστως: Patet enim tribus numeris 4, 8, 9 poſſe quartum proportionalem inveniri nempe 18, licet non ſunt deinceps proportionales, & eorum extremi ſunt inter ſe primi.

Sed non metiatur A ipſum Δ: dico fieri non poſſe, ut ipſis A, B, Γ inveniatur quartus proportionalis. ſi enim inveniri poteſt, inveniatur, ſitque E: ergo [per 19.7.] qui fit ex A, E eſt æqualis ei qui ex B, Γ. ſed qui fit ex B, Γ eſt Δ; quare qui fit ex A, E ipſi Δ eſt æqualis, & ob id A ipſum E multiplicans fecit Δ: metitur igitur A ipſum Δ per E; quare A ipſum Δ metitur. ſed & non metitur; quod eſt abſurdum: non igitur fieri poteſt, ut ipſis A, B, Γ inveniatur quartus proportionalis, quando A ipſum Δ non metitur.

A, 20. B, 30. Γ, 45. E —— Δ, 1350.

[Sed non ſint A, B, Γ neque deinceps proportionales, neque A, Γ inter ſe primi, & B ipſum Γ multiplicans faciat Δ, ſimiliter demonſtrabimus ſi A ipſum Δ metiatur, inveniri poſſe quartum proportionalem: ſin minus, inveniri non poſſe.] quod erat demonſtrandum.

A, 3. B, 4. Γ, 9. E, 12. Δ, 36.

A, 4. B, 5. Γ, 14. E —— Δ, 70.

Αλλὰ δὴ μὴ μετρείτω ὁ Α τὸν Δ· λέγω ὅτι ἀδύνατόν ἐστι τοῖς Α, Β, Γ τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν. εἰ γὰρ δυνατόν, προσευρήσθω ὁ Ε· ὁ ἄρα ἐκ τῶν Α, Ε ἴσος ἐστὶ τῷ ἐκ τῶν Β, Γ. ἀλλ' ὁ ἐκ τῶν Β, Γ ἐστὶν ὁ Δ· καὶ ὁ ἐκ τῶν Α, Ε ἄρα ἴσος ἐστὶ τῷ Δ· ὁ Α ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ Α ἄρα τὸν Δ μετρεῖ κατὰ τοὺς Ε· ὥστε μετρεῖ ὁ Α τὸν Δ. ἀλλὰ καὶ οὐ μετρεῖ, ὅπερ ἄτοπον· οὐκ ἄρα δυνατόν ἐστι τοῖς Α, Β, Γ τέταρτον ἀνάλογον προσευρεῖν, ὅταν ὁ Α τὸν Δ μὴ μετρῇ.

[Αλλὰ μὴν ἀλλ' ἀνάλογον ἐχέτω οἱ Α, Β, Γ, ἔστω πρῶτοι οἱ Α, Γ ἄκροι ἔστωσαν, καὶ ὁ Β τὸν Γ πολλαπλασιάσας τὸν Δ ποιείτω, ὁμοίως δείξομεν ὅτι ὁ Α τὸν Δ μετρεῖ ὅτι τέταρτον ἀνάλογον εὑρεῖν δυνατόν ἐστιν· ἐὰν δὲ μὴ μετρῇ, ὅτι ἀδύνατον.] ὅπερ ἔδει δεῖξαι.

Prop. XX. Theor.

Primi numeri plures ſunt omni propoſita multitudine primorum numerorum.

ΠΡΟΤΑΣΙΣ κ'.

Οἱ πρῶτοι ἀριθμοὶ πλείους εἰσὶ παντὸς τοῦ προτεθέντος πλήθους πρώτων ἀριθμῶν.

SInt propoſiti primi numeri A, B, Γ: dico ipſis A, B, Γ plures eſſe primos numeros.

Sumatur enim [per 38. 7.] minimus, quem ipſi A, B, Γ metiantur, ſitque Δ E, & ipſi Δ E apponatur unitas Δ Z: ergo E Z vel primus eſt, vel non. ſit primum primus: inventi igitur ſunt primi numeri A, B, Γ, E Z plures quam ipſi A, B, Γ.

A, 2. B, 3. Γ, 5. E 30. Δ. Z.

Sed non ſit E Z primus: ergo [per 33. 7.] eum primus metitur. metiatur H: dico H nulli ipſorum A, B, Γ eundem eſſe. ſi enim H idem ſit qui unus ipſorum A, B, Γ, ipſi autem A, B, Γ metiantur Δ E; & H ipſum Δ E metietur. metitur autem & E Z; & reliquam igitur Δ Z unitatem metietur H numerus exiſtens, quod eſt abſurdum: ergo H non eſt idem qui unus ipſorum A, B, Γ. & ponitur primus. inventi igitur ſunt primi numeri A, B, Γ, H plures propoſita multitudine primorum numerorum A, B, Γ. quod erat demonſtrandum.

A, 2. B, 3. Γ, 7. E 105. Δ. Z H, 53.

Ἑστωσαν οἱ προτεθέντες πρῶτοι ἀριθμοὶ οἱ Α, Β, Γ· λέγω ὅτι τῶν Α, Β, Γ πλείους εἰσὶ πρῶτοι ἀριθμοί.

Εἰλήφθω γὰρ ὁ ὑπὸ τῶν Α, Β, Γ ἐλάχιστος μετρούμενος, καὶ ἔστω ὁ Δ Ε, προσκείσθω τῷ Δ Ε μονὰς ἡ Δ Ζ· ὁ δὴ Ε Ζ ἤτοι πρῶτός ἐστιν, ἢ οὔ. ἔστω πρότερον πρῶτος· εὑρημένοι ἄρα εἰσὶ πρῶτοι ἀριθμοὶ οἱ Α, Β, Γ, Ε, Ζ πλείους τῶν Α, Β, Γ.

Ἀλλὰ δὴ μὴ ἔστω ὁ Ε Ζ πρῶτος· ὑπό τινος ἄρα πρώτου ἀριθμοῦ μετρεῖται. μετρείσθω ὑπὸ πρώτου τοῦ Η· λέγω ὅτι ὁ Η οὐδενὶ τῶν Α, Β, Γ ἐστὶν ὁ αὐτός. εἰ γὰρ ὁ Η ἑνί τῶν Α, Β, Γ ἐστὶν ὁ αὐτός, οἱ δὲ Α, Β, Γ τὸν Δ Ε μετροῦσι· καὶ ὁ Η ἄρα τὸν Δ Ε μετρήσει· μετρεῖ δὲ καὶ τὸν Ε Ζ· καὶ λοιπὸν ἄρα τὸ Δ Ζ μονάδα μετρήσει ὁ Η ἀριθμὸς ὤν, ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ Η ἑνί τῶν Α, Β, Γ ἐστὶν ὁ αὐτός. καὶ ὑπόκειται πρῶτος· εὑρημένοι ἄρα εἰσὶ πρῶτοι ἀριθμοὶ πλείους τοῦ προτεθέντος πλήθους τῶν Α, Β, Γ, οἱ Α, Β, Γ, Η. ὅπερ ἔδει δεῖξαι.

Prop. XXI. Theor.

Si pares numeri quotcunque componantur, totus par erit.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἐὰν ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστι.

COmponantur enim pares numeri quotcunque A B, B Γ, Γ Δ, Δ E: dico totum A E parem eſſe.

Συγκείσθωσαν γὰρ ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν, οἱ Α Β, Β Γ, Γ Δ, Δ Ε· λέγω ὅτι ὅλος ὁ Α Ε ἄρτιός ἐστιν.

Επὶ

Επεὶ γὰρ ἕκαστος τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ ἄρτιός ἐστιν, ἔχει μέρος ἥμισυ· ὥστε καὶ ὅλος ὁ ΑΕ ἔχει μέρος ἥμισυ. ἄρτιος δὲ ἀριθμός ἐστιν ὁ δίχα διαιρούμενος· ἄρτιος ἄρα ἐστὶν ὁ ΑΕ. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim unuſquiſque ipſorum AB, BΓ, ΓΔ, ΔΕ par eſt, [per 6. def. 7.] habet partem dimidiam: quare & totus AΕ partem dimidiam habebit. par autem numerus eſt qui bifariam dividitur: ergo AΕ par eſt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κϐ'.

Εὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ὁποσοιῶν συντεθῶσι, τὸ δὲ πλῆθος αὐτῶν ἄρτιοι ᾖ· ὅλος ἄρτιος ἔσται.

PROP. XXII. THEOR.

Si impares numeri quotcunque componantur, multitudo autem ipſorum ſit par; totus par erit.

Συγκείσθωσαν γὰρ ὁποσοιοῦν ἀριθμοὶ ὁποσοιῶν ἄρτιοι τὸ πλῆθος, οἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ· λέγω ὅτι ὅλος ὁ ΑΕ ἄρτιός ἐστιν.

Επεὶ γὰρ ἕκαστος τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ περισσός ἐστιν, ἀφῃρήσθω ἀφ' ἑκάστου ἕκαστος ἄρα τῶν λοιπῶν ἄρτιος ἔσται· ὥστε καὶ ὁ συγκείμενος ἐξ αὐτῶν ἄρτιος ἔσται. ἔστι δὲ καὶ τὸ πλῆθος τῶν μονάδων ἄρτιον· καὶ ὅλος ἄρα ὁ ΑΕ ἄρτιός ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Comparantur enim impares numeri quotcunque multitudine pares AB, BΓ, ΓΔ, ΔΕ: dico totum AΕ parem eſſe.

Quoniam enim unuſquiſque ipſorum AB, BΓ, ΓΔ, ΔΕ impar eſt, detracta ab unoquoque unitate, erit unuſquiſque reliquorum par: quare [per 21. 9.] & compoſitus ex ipſis par erit. eſt autem par & unitatum multitudo: & totus igitur AΕ par eſt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κγ'.

Εὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ὁποσοιῶν συντεθῶσι, τὸ δὲ πλῆθος αὐτῶν περισσοὶ ᾖ· καὶ ὅλος περισσὸς ἔσται.

PROP. XXIII. THEOR.

Si impares numeri quotcunque componantur, & multitudo ipſorum ſit impar; & totus impar erit.

Συγκείσθωσαν γὰρ ἀριθμοὶ περισσοὶ ὁποσοιοῦν, ὧν τὸ πλῆθος περισσὸν ἔστω, οἱ ΑΒ, ΒΓ, ΓΔ· λέγω ὅτι καὶ ὅλος ὁ ΑΔ περισσός ἐστιν.

Αφῃρήσθω ἀπὸ τοῦ ΓΔ μονὰς ἡ ΔΕ· λοιπὸς ἄρα ὁ ΓΕ ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ ΑΓ ἄρτιος· καὶ ὅλος ἄρα ὁ ΑΕ ἄρτιός ἐστι. καί ἐστιν ἡ μονὰς ἡ ΔΕ· περισσὸς ἄρα ἐστὶν ὁ ΑΔ. ὅπερ ἔδει δεῖξαι.

Comparantur enim numeri impares quotcunque, quorum multitudo ſit impar, AB, BΓ, ΓΔ: dico & totum AΔ imparem eſſe.

Auferatur ab ipſo ΓΔ unitas ΔΕ: reliquus igitur ΓΕ [per 7. def. 7.] par eſt. eſt autem [per 22. 9.] & AΓ par; ergo [per 21. 9.] & totus AΕ par erit. atque eſt ΔΕ unitas: impar igitur eſt AΔ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κδ'.

Εὰν ἀπὸ ἀρτίου ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, καὶ ὁ λοιπὸς ἄρτιος ἔσται.

PROP. XXIV. THEOR.

Si à pari numero par auferatur, & reliquus par erit.

Απὸ γὰρ ἀρτίου τοῦ ΑΒ ἄρτιος ἀφῃρήσθω ὁ ΒΓ· λέγω ὅτι ὁ λοιπὸς ὁ ΓΑ ἄρτιός ἐστιν.

Επεὶ γὰρ ὁ ΑΒ ἄρτιός ἐστιν, ἔχει μέρος ἥμισυ. Διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΒΓ ἔχει μέρος ἥμισυ· ὥστε καὶ λοιπὸς ὁ ΓΑ ἔχει μέρος ἥμισυ· ἄρτιος ἄρα ἐστὶν ὁ ΑΓ. ὅπερ ἔδει δεῖξαι.

A Pari enim numero AB par auferatur BΓ: dico & reliquum ΓΑ parem eſſe.

Quoniam enim AB par eſt, habet partem dimidiam. eadem ratione & BΓ habet partem dimidiam: quare & reliquus ΓΑ partem habet dimidiam: par igitur eſt AΓ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ κε'.

Εὰν ἀπὸ ἀρτίου ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ, καὶ ὁ λοιπὸς περισσὸς ἔσται.

PROP. XXV. THEOR.

Si à pari numero impar auferatur, & reliquus impar erit.

Απὸ γὰρ ἀρτίου τοῦ ΑΒ περισσὸς ἀφῃρήσθω ὁ ΒΓ· λέγω ὅτι καὶ ὁ λοιπὸς ὁ ΓΑ περισσός ἐστιν.

A Pari enim numero AB impar BΓ auferatur: dico & reliquum ΓΑ imparem eſſe.

Aufe-

Auferatur ab ipſo B Γ unitas Γ Δ: ergo [per 7. def. 7.] Δ B par eſt. eſt autem par & A B: & reliquus igitur A Δ [per 24. 9.] eſt par. atque eſt Γ Δ unitas: ergo Γ A impar eſt. quod erat demonſtrandum.

A . . . . . Γ . Δ . . . . B

Αφηρήθω γὰρ ἀπὸ τοῦ ΒΓ μονὰς ἡ ΓΔ· ὁ ΔΒ ἄρα ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ ΑΒ ἄρτιος· καὶ λοιπὸς ἄρα ὁ ΑΔ ἄρτιός ἐστι. καὶ ἔστι μονὰς ἡ ΓΔ· ὁ ΓΑ ἄρα περισσός ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVI. Theor.

Si ab impari numero impar auferatur, & reliquus par erit.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ, καὶ ὁ λοιπὸς ἄρτιος ἔσται.

AB impari enim numero AB impar BΓ auferatur: dico reliquum ΓA parem eſſe.

Quoniam enim AB impar eſt, auferatur unitas BΔ: reliquus AΔ igitur eſt par. eadem ratione & ΓΔ eſt par: quare [per 24. 9.] & reliquus AΓ par eſt. quod erat demonſtrandum.

A . . . . Γ . . . . . Δ . B

Ἀπὸ γὰρ περισσοῦ τοῦ ΑΒ περισσὸς ἀφῃρήθω ὁ ΒΓ· λέγω ὅτι ὁ λοιπὸς ὁ ΓΑ ἄρτιός ἐστιν.

Ἐπεὶ γὰρ ὁ ΑΒ περισσός ἐστιν, ἀφῃρήθω μονὰς ἡ ΒΔ· λοιπὸς ἄρα ὁ ΑΔ ἄρτιός ἐστι. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΓΔ ἄρτιός ἐστιν· ὥστε καὶ λοιπὸς ὁ ΑΓ ἄρτιός ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVII. Theor.

Si ab impari numero par auferatur, reliquus impar erit.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, ὁ λοιπὸς περισσὸς ἔσται.

AB impari enim numero AB par auferatur BΓ: dico reliquum ΓA imparem eſſe.

Auferatur enim unitas AΔ: ergo ΔB par eſt. eſt autem par & BΓ: & reliquus igitur ΓΔ [per 24. 9.] eſt par. atque eſt ΔA unitas: ergo [per 7. def. 7.] ΓA impar eſt. quod erat demonſtrandum.

A . Δ . . . . Γ . . . . B

Ἀπὸ δὲ περισσοῦ ἀριθμοῦ τοῦ ΑΒ ἄρτιος ἀφῃρήθω ὁ ΒΓ· λέγω ὅτι ὁ λοιπὸς ὁ ΓΑ περισσός ἐστιν.

Ἀφῃρήθω γὰρ μονὰς ἡ ΑΔ· ὁ ΔΒ ἄρα ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ ΒΓ ἄρτιος· καὶ λοιπὸς ἄρα ὁ ΓΔ ἄρτιός ἐστιν. ἔστι δὲ καὶ μονὰς ἡ ΔΑ· περισσὸς ἄρα ἐστὶν ὁ ΓΑ. ὅπερ ἔδει δεῖξαι.

Prop. XXVIII. Theor.

Si impar numerus parem multiplicans faciat aliquem, factus par erit.

ΠΡΟΤΑΣΙΣ κη'.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος ἄρτιος ἔσται.

IMpar enim numerus A parem numerum B multiplicans faciat Γ: dico Γ parem eſſe.

Quoniam enim A multiplicans B ipſum Γ fecit, componitur Γ ex tot numeris æqualibus ipſi B quot unitates ſunt in A. atque eſt B par: ergo Γ ex paribus numeris componitur. ſi autem pares numeri quotcunque componantur, [per 21. 9.] totus par erit: ergo Γ eſt par. quod erat demonſtrandum.

A . . .
B . . . .
Γ . . . . . .

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α ἄρτιον τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω ὅτι ὁ Γ ἄρτιός ἐστιν.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ Γ ἄρα σύγκειται ἐκ τοσούτων ἴσων τῷ Β ὅσαι εἰσὶν ἐν τῷ Α μονάδες. καὶ ἔστιν ὁ Β ἄρτιος· ὁ Γ ἄρα σύγκειται ἐξ ἀρτίων. ἐὰν δὲ ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστιν· ἄρτιος ἄρα ἐστὶν ὁ Γ. ὅπερ ἔδει δεῖξαι.

Prop. XXIX. Theor.

Si impar numerus imparem numerum multiplicans faciat aliquem, factus impar erit.

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐὰν περισσὸς ἀριθμὸς περισσὸν ἀριθμὸν πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος περισσὸς ἔσται.

IMpar enim numerus A numerum imparem B multiplicans faciat Γ: dico Γ imparem eſſe.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α περισσὸν τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω ὅτι ὁ Γ περισσός ἐστιν.

Ἐπεὶ

Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ Γ ἄρα σύγκειται ἐκ ποσάτων ἴσων τῷ Β ὅσαι εἰσὶν ἐν τῷ Α μονάδες. καὶ ἔστιν ἑκάτερος τῶν Α, Β περισσός· ὁ Γ ἄρα σύγκειται ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν. ὁ δὲ συγκείμενος ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν, περισσός ἐστιν· ὥστε ὁ Γ περισσός ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Quoniam enim A multiplicans B ipsum Γ fecit, componitur Γ ex tot numeris æqualibus ipsi B quot sunt in A unitates. atque est uterque ipsorum A, B impar: ergo Γ ex imparibus numeris componitur, quorum multitudo est impar. qui autem componitur ex imparibus numeris, quorum multitudo impar, [per 23. 9.] & ipse impar erit: ergo Γ est impar. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λ'.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον ἀριθμὸν μετρῇ, καὶ τὴν ἥμισυν αὐτοῦ μετρήσει.

Prop. XXX. Theor.

Si impar numerus parem numerum metiatur, & dimidium ejus metietur.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α ἄρτιον τὸν Β μετρείτω· λέγω ὅτι καὶ τὴν ἥμισυν αὐτοῦ μετρήσει.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Γ· λέγω ὅτι ὁ Γ οὐκ ἔστι περισσός. εἰ γὰρ δυνατόν, ἔστω. καὶ ἐπεὶ ὁ Α τὸν Β μετρεῖ κατὰ τοὺς Γ· ὁ Α ἄρα τὸν Γ πολλαπλασιάσας τὸν Β πεποίηκεν· ὁ ἄρα Β σύγκειται ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν ἐστιν· ὁ Β ἄρα περισσός ἐστιν, ὅπερ ἄτοπον, ὑπόκειται γὰρ ἄρτιος· οὐκ ἄρα ὁ Γ περισσός ἐστιν· ἄρτιος ἄρα ὁ Γ· ὥστε ὁ Α τὸν Β μετρεῖ ἀρτιάκις, λέγω δὴ τοῦτο καὶ τὴν ἥμισυν αὐτοῦ μετρήσει. ὅπερ ἔδει δεῖξαι.

Impar enim numerus A parem numerum B metiatur: dico & dimidium ejus metiri.

Quoniam enim A metitur B, metiatur ipsum per Γ: dico Γ non esse imparem. nam si fieri potest, sit impar. & quoniam A ipsum B metitur per Γ; A multiplicans ipsum Γ fecit B: ergo B componitur ex imparibus numeris, quorum multitudo est impar; ac propterea impar est B, quod est absurdum, par enim ponitur: non igitur Γ est impar: ergo par: quare A ipsum B pariter metitur, & ob id ejus quoque dimidium metietur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐὰν περισσὸς ἀριθμὸς πρός τινα ἀριθμὸν πρῶτος ᾖ, καὶ πρὸς τὸν διπλάσιον αὐτοῦ πρῶτος ἔσται.

Prop. XXXI. Theor.

Si impar numerus ad aliquem numerum sit primus, & ad ipsius duplum primus erit.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α πρός τινα ἀριθμὸν τὸν Β πρῶτος ἔστω, τοῦ δὲ Β διπλάσιος ἔστω ὁ Γ· λέγω ὅτι ὁ Α καὶ πρὸς τὸν Γ πρῶτός ἐστιν.

Εἰ γὰρ μή εἰσιν οἱ Α, Γ πρῶτοι, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Δ. καὶ ἔστιν ὁ Α περισσός· περισσὸς ἄρα καὶ ὁ Δ. καὶ ἐπεὶ ὁ Δ περισσὸς ὢν τὸν Γ μετρεῖ, καὶ ἔστιν ὁ Γ ἄρτιος· καὶ τὸν ἥμισυν ἄρα τοῦ Γ μετρήσει ὁ Δ. τοῦ δὲ Γ ἥμισύς ἐστιν ὁ Β· ὁ Δ ἄρα τοὺς Α, Β μετρεῖ, πρώτους ὄντας πρὸς ἀλλήλους, ὅπερ ἔστιν ἀδύνατον· οὐκ ἄρα ὁ Α πρὸς τὸν Γ πρῶτός ἐστιν· οἱ Α, Γ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι.

Si enim non sint A, Γ primi, eos aliquis numerus metietur. metiatur, sitque Δ. & est A impar: impar igitur est & Δ. & quoniam Δ impar existens metitur ipsum Γ, atque est Γ par; & Δ [per 30. 9.] ipsius Γ dimidium metietur. sed ipsius Γ dimidium est B: ergo Δ ipsum B metitur. metitur autem & ipsum A: quare Δ ipsos A, B metitur, primos inter se existentes, quod fieri non potest: non igitur A ad Γ primus non est: ergo A, Γ inter se primi sunt. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λβ'.

Τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἀριθμῶν ἕκαστος ἀρτιάκις ἄρτιός ἐστι μόνον.

Prop. XXXII. Theor.

Numerorum à binario duplatorum unusquisque pariter par est tantum.

Ἀπὸ γὰρ δυάδος τὸ Α δεδιπλασιάσθωσαν ὁσοιδηποτοῦν ἀριθμοὶ, οἱ Β, Γ, Δ· λέγω ὅτι οἱ Β, Γ, Δ ἀρτιάκις ἄρτιοί εἰσι μόνον.

A binario enim A duplentur quotlibet numeri B, Γ, Δ: dico B, Γ, Δ pariter pares esse tantum.

At vero unumquemque ipſorum B, Γ, Δ pariter parem eſſe [per 8. def. 7.] manifeſto conſtat: à binario namque duplatus eſt. dico & tantum. exponatur enim unitas E. quoniam igitur ab unitate quotlibet numeri deinceps proportionales ſunt, & poſt unitatem A primus eſt; maximum ipſorum numerorum A, B, Γ, Δ, videlicet Δ, nullus alius metietur [per 13. 9.] præter ipſos A, B, Γ. atque eſt unuſquiſque ipſorum A, B, Γ par; ergo Δ pariter par eſt tantum. ſimiliter demonſtrabimus & unumquemque ipſorum B, Γ pariter parem eſſe tantum. quod erat demonſtrandum.

E, 1. A, 2. B, 4. Γ, 8. Δ, 16.

Οτι μὴν ἕκαστος τῶν Β, Γ, Δ ἀρτιάκις ἄρτιός ἐστι, φανερόν· ἀπὸ γὰρ δυάδος ἐστὶ διπλασιασθείς. λέγω δὴ ὅτι καὶ μόνον. σκοπείσθω γὰρ μονὰς ἡ Ε. ἐπεὶ οὖν ἀπὸ μονάδος ὁποσωνοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογόν εἰσιν, ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α πρῶτός ἐστιν, ὁ μέγιστος τῶν Α, Β, Γ, Δ ὁ Δ ὑπὸ οὐδενὸς ἄλλου μετρηθήσεται πάρεξ τῶν Α, Β, Γ. καὶ ἔστιν ἕκαστος τῶν Α, Β, Γ ἄρτιος· ὁ Δ ἄρα ἀρτιάκις ἄρτιός ἐστι μόνον. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἑκάτερος τῶν Α, Β, Γ ἀρτιάκις ἄρτιός ἐστι μόνον. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXIII. Theor.

Si numerus dimidium habeat imparem, pariter impar eſt tantum.

NUmerus enim A dimidium imparem habeat: dico A pariter imparem eſſe tantum. At vero pariter imparem eſſe [per 9. def. 7.] perſpicuum eſt: dimidium enim ipſius impar exiſtens ipſum pariter metitur. dico & tantum. nam ſi A ſit etiam pariter par, [*dimidius ipſius par erit; atque] eum par numerus [per 8. def. 7.] per parem numerum metietur: ergo dimidium ipſius parem numerum metitur, impar exiſtens, quod eſt abſurdum: quare A pariter impar eſt tantum. quod erat demonſtrandum.

A .....

ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐὰν ἀριθμὸς τὸ ἥμισυ ἔχῃ περισσόν, ἀρτιάκις περισσός ἐστι μόνον.

ΑΡιθμὸς γὰρ ὁ Α τὸν ἥμισυ ἐχέτω περισσόν· λέγω ὅτι ὁ Α ἀρτιάκις περισσός ἐστι μόνον.

Οτι μὲν οὖν ἀρτιάκις περισσός ἐστι, φανερόν· ὁ γὰρ ἥμισυς αὐτοῦ περισσὸς ὢν μετρεῖ αὐτὸν ἀρτιάκις. λέγω δὴ ὅτι οὐ μόνον. εἰ γὰρ ἔστιν ὁ Α οὐκ ἀρτιάκις ἄρτιος, [*ὁ ἥμισυς αὐτοῦ ἄρτιός ἐστι, οὐ] μετρηθήσεται ὑπὸ ἀρτίου κατὰ ἄρτιον ἀριθμόν· ὥστε οὐκ ὁ ἥμισυς αὐτοῦ μετρηθήσεται ὑπὸ ἀρτίου ἀριθμοῦ, περισσὸς ὤν, ὅπερ ἐστὶν ἄτοπον· ὁ Α ἄρα ἀρτιάκις περισσός ἐστι μόνον. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXIV. Theor.

Si par numerus neque ſit à binario duplatus, neque dimidium imparem habeat; pariter par eſt & pariter impar.

NUmerus enim A neque ſit à binario duplatus, neque dimidium imparem habeat: dico A & pariter parem & pariter imparem eſſe.

At vero A pariter parem eſſe [per 8. def. 7.] manifeſtum eſt; dimidium enim imparem non habet. dico etiam pariter imparem eſſe. nam ſi A bifariam ſecemus, & dimidium ipſius bifariam, & hoc ſemper faciamus, tandem incidemus in aliquem imparem qui ipſum A per numerum parem metietur. ſi enim non incidemus in aliquem imparem qui ipſum A per numerum parem metietur, incidemus in binarium, atque erit A à binario duplatus; quod non ponitur: quare A pariter impar eſt. oſtenſum autem eſt & pariter eſſe parem: eſt igitur A & pariter par & pariter impar. quod erat demonſtrandum.

A .....

ΠΡΟΤΑΣΙΣ λδ'.

Ἐὰν ἄρτιος ἀριθμὸς μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομένων ᾖ, μήτε τὸ ἥμισυ ἔχῃ περισσόν. ἀρτιάκις τε ἄρτιός ἐστι, καὶ ἀρτιάκις περισσός.

ΑΡιθμὸς γὰρ ὁ Α μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἔστω, μήτε τὸ ἥμισυν ἐχέτω περισσόν· λέγω ὅτι ὁ Α ἀρτιάκις τε ἐστὶν ἄρτιος, καὶ ἀρτιάκις περισσός.

Οτι μὲν οὖν ὁ Α ἀρτιάκις ἐστὶν ἄρτιος, φανερόν· τὸν γὰρ ἥμισυν οὐκ ἔχει περισσόν. λέγω δὴ ὅτι καὶ ἀρτιάκις ἐστὶ περισσός. ἐὰν γὰρ τὸ Α πολλαπλασιάσω δύο, καὶ τὸν ἥμισυν αὐτοῦ δύο, καὶ τοῦτο ἀεὶ ποιῶμεν, καταντήσομεν εἴς τινα περισσόν, ὃς μετρήσει τὸ Α κατὰ ἄρτιον ἀριθμόν. εἰ γὰρ οὐ καταντήσομεν εἴς τινα περισσὸν ὃς μετρήσει τὸ Α κατὰ ἄρτιον ἀριθμόν, καταντήσομεν εἰς δυάδα, καὶ ἔσται ὁ Α τῶν ἀπὸ δυάδος διπλασιαζομένων. ὅπερ οὐχ ὑπόκειται· ὥστε ὁ Α καὶ ἀρτιάκις περισσός ἐστιν. ἐδείχθη δὲ καὶ ἀρτιάκις ἄρτιος· ὁ Α ἄρα ἀρτιάκις τε ἄρτιός ἐστι, καὶ ἀρτιάκις περισσός. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXV. Theor.

Si ſint quotcunque numeri deinceps proportionales, auferantur autem à ſecundo & ultimo æquales primo; erit ut ſecundi exceſſus ad primum ita ul-

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογοι, ἀφαιρεθῶσι δὲ ἀπό τε τοῦ δευτέρου καὶ τοῦ ἐσχάτου ἴσοι τῷ πρώτῳ· ἔσται ὡς ἡ τοῦ δευτέρου ὑπερο-

* Illa uncis incluſa non ignoſcunt Codd. MSS. & rectius quidem abeſſe poſſunt.

καὶ πρὸς τὸ πρῶτον, ὕπερ ἡ ἐφ' ἑκάστῳ ὑπεροχὴ πρὸς τὰς πρὸ ἑαυτῆς ἁπάντας.

timi excessus ad omnes ipsum antecedentes.

ΕΣτωσαν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον οἱ Α, ΒΓ, Δ, ΕΖ, ἀρχόμενοι ἀπὸ ἐλαχίστου τοῦ Α, καὶ ἀφῃρήσθω ἀπὸ μὲν τοῦ ΒΓ καὶ τοῦ ΕΖ τῷ Α ἴσος, ἑκάτερος τῶν ΗΓ, ΖΘ· λέγω ὅτι ἐστὶν ὡς ὁ ΒΗ πρὸς τὸν Α οὕτως ὁ ΕΘ πρὸς τοὺς Α, ΒΓ, Δ,

SInt quotcunque numeri deinceps proportionales Α, ΒΓ, Δ, ΕΖ incipientes à minimo Α, & auferatur ab ipso ΒΓ & ab ΕΖ æqualis ipsi Α, videlicet ΗΓ, ΖΘ: dico ut ΒΗ ad Α ita esse ΕΘ ad Α, ΒΓ, Δ.

Κείσθω γὰρ τῷ μὲν ΒΓ ἴσος ὁ ΖΚ, τῷ δὲ Δ ἴσος ὁ ΖΛ. καὶ ἐπεὶ ὁ ΖΚ τῷ ΒΓ ἴσος ἐστίν, ὧν ὁ ΖΘ τῷ ΗΓ ἴσος· λοιπὸς ἄρα ὁ ΘΚ λοιπῷ τῷ ΗΒ ἐστὶν ἴσος. καὶ ἐπεί ἐστιν ὡς ὁ ΕΖ πρὸς τὸ Δ οὕτως ὁ Δ πρὸς τὸ ΒΓ καὶ ὁ ΒΓ πρὸς τὸ Α, ἴσος δὲ ὁ μὲν Δ τῷ ΖΛ, ὁ δὲ ΒΓ τῷ ΖΚ, ὁ δὲ Α τῷ ΖΘ· ἔστιν ἄρα ὡς ὁ ΕΖ πρὸς τὸ ΛΖ οὕτως ὁ ΛΖ πρὸς τὸ ΖΚ, καὶ ὁ ΖΚ πρὸς τὸ ΖΘ· διελόντι, ὡς ὁ ΕΛ πρὸς τὸ ΔΖ οὕτως ὁ ΛΚ πρὸς τὸ ΖΚ, καὶ ὁ ΚΘ πρὸς τὸ ΖΘ· ἔστιν ἄρα καὶ, ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ὁ ΚΘ πρὸς τὸ ΖΘ οὕτως οἱ ΕΛ, ΛΚ, ΚΘ πρὸς τοὺς ΛΖ, ΚΖ, ΘΖ. ἴσος δὲ ὁ μὲν ΚΘ τῷ ΒΗ, ὁ δὲ ΖΘ τῷ Α, οἱ δὲ ΛΖ, ΚΖ, ΘΖ τοῖς Δ, ΒΓ, Α· ἔστιν ἄρα ὡς ὁ ΒΗ πρὸς τὸ Α οὕτως ὁ ΕΘ πρὸς τὸ Δ, ΒΓ, Α· ἔστιν ἄρα ὡς ἡ ἐφ' ἑκάστῳ ὑπεροχὴ πρὸς τὸ πρῶτον οὕτως ἡ τῶν ἐφ' ἑκάστῳ ὑπεροχὴ πρὸς τὰς πρὸ ἑαυτῆς πάσας. ὅπερ ἔδει δεῖξαι.

Ponatur enim ipsi quidem ΒΓ æqualis ΖΚ; ipsi vero Δ æqualis ΖΛ. quoniam igitur ΖΚ est æqualis ipsi ΒΓ, quorum ΖΘ est æqualis ΗΓ; erit reliquus ΘΚ reliquo ΗΒ æqualis. & quoniam est ut ΕΖ ad Δ ita Δ ad ΒΓ & ΒΓ ad Α; æqualis autem est Δ ipsi ΖΛ, & ΒΓ ipsi ΖΚ, & Α ipsi ΖΘ: erit ut ΕΖ ad ΛΖ ita ΛΖ ad ΖΚ & ΖΚ ad ΖΘ: quare dividendo ut ΕΛ ad ΛΖ ita ΛΚ ad ΖΚ & ΚΘ ad ΖΘ, & ut unus antecedentium ad unum consequentium ita [per 12. 7.] omnes antecedentes ad omnes consequentes: est igitur ut ΚΘ ad ΖΘ ita ΕΛ, ΛΚ, ΚΘ ad ΛΖ, ΚΖ, ΘΖ. atque est ΚΘ quidem æqualis ΒΗ; ΖΘ vero ipsi Α, & ΛΖ, ΚΖ, ΘΖ æquales ipsis Δ, ΒΓ, Α: ergo ut ΒΗ ad Α ita est ΕΘ ad Δ, ΒΓ, Α: est igitur ut secundi excessus ad primum ita excessus ultimi ad omnes ipsum antecedentes. quod erat demonstrandum.



ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἐξῆς ἀνάλογον συντεθῶσιν ἐν τῇ διπλασίονι ἀναλογίᾳ, ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένηται, καὶ ὁ σύμπας ὁπόστις τὸ ἔσχατον πολλαπλασιασθεὶς ποιῇ τινα· ὁ γενόμενος τέλειος ἔσται.

Prop. XXXVI. Theor.

Si ab unitate quotcunque numeri deinceps proportionales exponantur in dupla analogia, quoad totus compositus primus fiat, & totus in ultimum multiplicatus faciat aliquem; factus perfectus erit.

ΑΠΟ γὰρ μονάδος ἐκκείσθωσαν ὁποσοιοῦν ἀριθμοὶ ἐν τῇ διπλασίονι ἀναλογίᾳ, ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένηται, οἱ Α, Β, Γ, Δ, καὶ τῷ σύμπαντι ἴσος ἔστω ὁ Ε, καὶ ὁ Ε τὸν Δ πολλαπλασιάσας τὸν ΖΗ ποιείτω· λέγω ὅτι ὁ ΖΗ τέλειός ἐστιν.

AB unitate enim exponantur quotcunque numeri deinceps proportionales in dupla analogia, sc. Α, Β, Γ, Δ, quoad totus compositus primus fiat, & toti æqualis sit Ε, & Ε ipsum Δ multiplicans faciat ΖΗ: dico ΖΗ perfectum esse.



Ὅσοι γάρ εἰσιν οἱ Α, Β, Γ, Δ τῷ πλήθει τοσοῦτοι ἀπὸ τοῦ Ε εἰλήφθωσαν ἐν τῇ διπλασίονι ἀναλογίᾳ, οἱ Ε, ΘΚ, Λ, Μ· ἴσον ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ οὕτως ὁ Ε πρὸς τὸν Μ· ὁ ἄρα ἐκ τῶν Ε, Δ ἴσος ἐστὶ τῷ ἐκ τῶν Α, Μ. καί ἐστιν ὁ ἐκ τῶν Ε, Δ ὁ ΖΗ· ὁ δὲ ἐκ τῶν Α, Μ ἄρα ἐστὶν ὁ ΖΗ· ὁ Α ἄρα τὸν Μ πολλαπλασιάσας τὸν ΖΗ πεποίηκεν· ὁ Μ ἄρα τὸν ΖΗ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. καί ἐστι δυὰς ὁ Α· διπλάσιος ἄρα ἐστὶν ὁ ΖΗ τοῦ Μ. εἰσὶ δὲ καὶ οἱ Μ, Λ, ΘΚ, Ε ἐξῆς διπλάσιοι ἀλλήλων

Δέδεικται ἐν τοῖς ἀριθμητικοῖς, ὅτι οἱ ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ ὅτι ἐὰν δύο ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχωσιν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ὅμοιοί εἰσιν ἐπίπεδοι. καὶ δῆλον ἐκ τούτων, ὅτι αἱ μὴ ὅμοιοι ἐπίπεδοι ἀριθμοί, τουτέστιν οἱ μὴ ἀνάλογον ἔχοντες τὰς

* Codd. MSS. hanc undecimam, sequentem vero decimam faciunt.

πλευρὰς

πλευρὰς πρὸς ἀλλήλας λόγον οὐκ ἔχουσιν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. εἰ γὰρ ἔχουσιν, ὅμοιοι ἐπίπεδοι ἔσονται, ὅπερ οὐκ ὑπέκειτο· εἰ ἄρα μὴ ὅμοιοι ἐπίπεδοι πρὸς ἀλλήλας λόγον οὐκ ἔχουσιν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν.

tionalia) rationem non habere quam quadratus numerus ad quadratum numerum. ſi enim haberent, ſimiles plani eſſent, contra hypotheſin: ergo diſſimiles plani inter ſe rationem non habent quam quadratus numerus ad quadratum numerum.

ΠΡΟΤΑΣΙΣ ια'.

Τῇ προτεθείσῃ εὐθείᾳ προσευρεῖν δύο εὐθείας ἀσυμμέτρους, τὴν μὲν μήκει μόνον, τὴν δὲ καὶ δυνάμει.

Prop. XI. Probl.

Propoſitæ rectæ lineæ invenire duas rectas lineas incommenſurabiles, alteram quidem longitudine tantum, alteram vero etiam potentia.

Ἔστω ἡ προτεθεῖσα εὐθεῖα ἡ Α· δεῖ δὴ τῇ Α προσευρεῖν δύο εὐθείας ἀσυμμέτρους, τὴν μὲν μήκει μόνον, τὴν δὲ καὶ δυνάμει.

SIT propoſita recta linea Α: oportet ipſi Α invenire duas rectas incommenſurabiles, alteram quidem longitudine tantum, alteram vero etiam potentia.





Ἐκκείσθωσαν γὰρ δύο ἀριθμοὶ οἱ Β, Γ, πρὸς ἀλλήλους λόγον μὴ ἔχοντες ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, τουτέστι μὴ ὅμοιοι ἐπίπεδοι, καὶ γεγονέτω ὡς ὁ Β πρὸς τὸν Γ οὕτως τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Δ τετράγωνον, ἐμάθομεν γάρ· σύμμετρον ἄρα τὸ ἀπὸ τῆς Α τῷ ἀπὸ τῆς Δ. καὶ ἐπεὶ ὁ Β πρὸς τὸν Γ λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδ' ἄρα τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Δ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Α τῇ Δ μήκει. εἰλήφθω τῶν Α, Δ μέση ἀνάλογον ἡ Ε· ἔστιν ἄρα ὡς ἡ Α πρὸς τὴν Δ οὕτως τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς Ε. ἀσύμμετρος δέ ἐστιν ἡ Α τῇ Δ μήκει· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς Α τετράγωνον τῷ ἀπὸ τῆς Ε τετραγώνῳ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Α τῇ Ε δυνάμει· τῇ ἄρα προτεθείσῃ εὐθείᾳ *τῇ ῥητῇ, ἀφ' ἧς ἐφαρμοῦ τὰ μέτρα λαμβάνεται, οἱονεὶ τῇ Α, δυνάμει μόνῃ σύμμετρος ἡ Δ, τουτέστι ῥητὴ δυνάμει μόνον σύμμετρος, ἄλογος δὲ ἡ Ε. [†ἀλόγους γὰρ καθόλου καλεῖται τὰς καὶ μήκει καὶ δυνάμει ἀσυμμέτρους τῇ ῥητῇ.] ὅπερ ἔδει δεῖξαι.

Exponantur enim duo numeri Β, Γ, inter ſe rationem non habentes quam quadratus numerus ad quadratum numerum, hoc eſt diſſimiles plani; & [per coroll. 6. 10.] fiat ut Β ad Γ ita quadratum ex Α ad quadratum ex Δ, hoc enim ante traditum eſt: ergo quadratum ex Α commenſurabile eſt quadrato ex Δ. & quoniam Β ad Γ rationem non habet quam quadratus numerus ad quadratum numerum, neque quadratum ex Α ad quadratum ex Δ rationem habebit quam quadratus numerus ad quadratum numerum: incommenſurabilis igitur [per 9. 10.] eſt Α ipſi Δ longitudine. ſumatur inter ipſas Α, Δ media proportionalis Ε: eſt igitur [per coroll. 2. 20. 6.] ut Α ad Δ ita quadratum ex Α ad quadratum ex Ε. ſed Α ipſi Δ longitudine eſt incommenſurabilis: ergo [per 10. 10.] & quadratum ex Α quadrato ex Ε incommenſurabile erit: incommenſurabilis igitur eſt Α ipſi Ε potentia: ergo propoſitæ rectæ lineæ rationali, à qua [in 3. def. 10.] dicebamus menſuras ſumi, nempe Α, potentia quidem commenſurabilis inventa eſt Δ, hoc eſt rationalis potentia tantum commenſurabilis, irrationalis vero Ε. [†irrationales enim univerſe appellantur quæ rationali & longitudine & potentia incommenſurabiles ſunt.] quod erat demonſtrandum.

In numeris, ſit Α, 6. Β, 4. Γ, 10. Erit $\Delta = \sqrt{45}$. & $E = \sqrt{\sqrt{1620}}$.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Τὰ τῷ αὐτῷ μεγέθει σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα.

Prop. XII. Theor.

Quæ eidem magnitudini ſunt commenſurabiles & inter ſe commenſurabiles ſunt.

Ἕκάτερον γὰρ τῶν Α, Β τῷ Γ ἔστω σύμμετρον· λέγω ὅτι καὶ τὸ Α τῷ Β ἐστὶ σύμμετρον.

UTraque enim ipſarum Α, Β ipſi Γ ſit commenſurabilis: dico & Α ipſi Β commenſurabilem eſſe.

* Rectius in Codd. MSS. τῇ Α προσπίπτουσα δύο εὐθεῖαι ἀσύμμετροι, αἱ Δ, Ε, μήκει μόνον ἡ Δ, δυνάμει δὲ καὶ μήκει δηλαδὴ ἡ Ε.
† Videtur Scholion.

Quoniam enim A commenſurabilis eſt ipſi Γ, habebit [per 5. 10.] A ad Γ rationem quam numerus ad numerum. habeat quam numerus Δ ad ipſum E. Rurſus, quoniam commenſurabilis eſt B ipſi Γ, habebit Γ ad B rationem quam numerus ad numerum. habeat quam Z ad H. & rationibus datis quibuſcunque, videlicet quam habet Δ ad E & quam habet Z ad H, ſumantur numeri deinceps proportionales Θ, K, Λ in datis rationibus; ſitque ut Δ ad E ita Θ ad K, ut autem Z ad H ita K ad Λ.



Quoniam igitur eſt ut A ad Γ ita Δ ad E; ſed ut Δ ad E ita Θ ad K: erit & ut A ad Γ ita Θ ad K. rurſus, quoniam eſt ut Γ ad B ita Z ad H, ſed ut Z ad H ita K ad Λ; erit & ut Γ ad B ita K ad Λ. eſt autem & ut A ad Γ ita Θ ad K: ex æquo igitur [per 23. 5.] ut A ad B ita Θ ad Λ: ergo A ad B rationem habet quam numerus Θ ad Λ numerum: ac propterea [per 6. 10.] A ipſi B eſt commenſurabilis.

Quæ igitur eidem magnitudini ſunt commenſurabiles & inter ſe commenſurabiles ſunt. quod erat demonſtrandum.

Επεὶ γὰρ σύμμετρόν ἐστι τὸ Α τῷ Γ, τὸ Α ἄρα πρὸς τὸ Γ λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν. ἐχέτω ὃν ὁ Δ πρὸς τὸ Ε. πάλιν, ἐπεὶ σύμμετρόν ἐστι τὸ Β τῷ Γ, τὸ Γ ἄρα πρὸς τὸ Β λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν. ἐχέτω ὃν ὁ Ζ πρὸς τὸν Η, καὶ λόγων δοθέντων ὁποσωνοῦν, τῶν μὲν ὃν ἔχει ὁ Δ πρὸς τὸν Ε καὶ ὁ Ζ πρὸς τὸν Η, εἰλήφθωσαν ἀριθμοὶ ἑξῆς ἐν τοῖς δοθεῖσι λόγοις, οἱ Θ, Κ, Λ· ὥστε εἶναι ὡς μὲν ὁ Δ πρὸς τὸν Ε οὕτως τὸν Θ πρὸς τὸν Κ, ὡς δὲ τὸν Ζ πρὸς τὸν Η οὕτως τὸ Κ πρὸς τὸν Λ.

Επεὶ οὖν ἐστιν ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Δ πρὸς τὸν Ε, ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ε οὕτως ὁ Θ πρὸς τὸν Κ· ἔστιν ἄρα καὶ ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Θ πρὸς τὸν Κ. πάλιν, ἐπεί ἐστιν ὡς τὸ Γ πρὸς τὸ Β οὕτως ὁ Ζ πρὸς τὸν Η, ἀλλ' ὡς ὁ Ζ πρὸς τὸν Η οὕτως ὁ Κ πρὸς τὸν Λ· καὶ ὡς ἄρα τὸ Γ πρὸς τὸ Β οὕτως ὁ Κ πρὸς τὸν Λ. ἔστι δὲ καὶ ὡς τὸ Α πρὸς τὸ Γ οὕτως ὁ Θ πρὸς τὸν Κ· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β οὕτως ὁ Θ πρὸς τὸν Λ· τὸ Α ἄρα πρὸς τὸ Β λόγον ἔχει ὃν ἀριθμὸς ὁ Θ πρὸς ἀριθμὸν τὸν Λ· σύμμετρον ἄρα ἐστὶ τὸ Α τῷ Β.

Τὰ ἄρα τῷ αὐτῷ μήκει σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα. ὅπερ ἔδει δεῖξαι.

Prop. XIII. Theor.

Si ſint duæ magnitudines, & altera quidem eidem ſit commenſurabilis, altera vero incommenſurabilis; magnitudines inter ſe incommenſurabiles erunt.

SInt enim duæ magnitudines A, B, alia autem ſit Γ, & A quidem ipſi Γ commenſurabilis ſit, B vero eidem incommenſurabilis: dico & A ipſi B incommenſurabilem eſſe.



Si enim commenſurabilis eſt A ipſi B, eſt autem & Γ commenſurabilis ipſi A; erit [per 12. 10.] & Γ ipſi B commenſurabilis quod eſt contra hypotheſin.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν ᾖ δύο μεγέθη, καὶ τὸ μὲν σύμμετρον ᾖ τῷ αὐτῷ, τὸ δὲ ἕτερον ἀσύμμετρον· ἀσύμμετρα ἔσται τὰ μεγέθη.

Ἔστω γὰρ δύο μεγέθη τὰ Α, Β, ἄλλο δέ τι τὸ Γ, καὶ τὸ μὲν Α τῷ Γ σύμμετρον ἔστω, τὸ δὲ Β τῷ Γ ἀσύμμετρον· λέγω ὅτι καὶ τὸ Α τῷ Β ἀσύμμετρόν ἐστιν.

Εἰ γὰρ ἐστὶ σύμμετρον τὸ Α τῷ Β, ἔστι δὲ καὶ τὸ Γ τῷ Α· καὶ τὸ Γ ἄρα τῷ Β σύμμετρόν ἐστιν. ὅπερ οὐκ ὑπόκειται.

Prop. XIV. Theor.

Si duæ magnitudines commenſurabiles ſint, altera autem ipſarum alicui magnitudini ſit incommenſurabilis; &

ΠΡΟΤΑΣΙΣ ιδ'.

Ἐὰν ᾖ δύο μεγέθη σύμμετρα, τὸ δὲ ἕτερον αὐτῶν μεγέθει τινὶ ἀσύμμετρον ᾖ· καὶ τὸ

τὸ λοιπὸν τῷ αὐτῷ ἀσύμμετρον ἔσαι.

reliqua eidem incommenſurabilis erit.

Ἔστω δύο μεγέθη σύμμετρα τὰ Α, Β, τὸ δὲ ἕτερον αὐτῶν τὸ Α ἑτέρῳ τινὶ τῷ Γ ἀσύμμετρον ἔστω· λέγω ὅτι καὶ τὸ λοιπὸν τὸ Β τῷ Γ ἀσύμμετρόν ἐστιν.

Εἰ γὰρ ἔστι σύμμετρον τὸ Β τῷ Γ, ἀλλὰ μὴν τὸ Α τῷ Β σύμμετρον· καὶ τὸ Α ἄρα τῷ Γ σύμμετρόν ἐστιν. ἀλλὰ καὶ ἀσύμμετρον, ὅπερ ἀδύνατον· οὐκ ἄρα σύμμετρόν ἐστι τὸ Β τῷ Γ· ἀσύμμετρον ἄρα.



Ἐὰν ἄρα δύο μεγέθη σύμμετρα, τὸ δὲ ἕτερον αὐτῶν μεγέθει τινὶ ἀσύμμετρον ᾖ, καὶ τὸ λοιπὸν τῷ αὐτῷ ἀσύμμετρον ἔσαι. ὅπερ ἔδει δεῖξαι.

Sint duæ magnitudines commenſurabiles A, B: altera vero ipſarum A alicui magnitudini Γ ſit incommenſurabilis: dico & reliquam B ipſi Γ incommenſurabilem eſſe.

Si enim commenſurabilis eſt B ipſi Γ, eſt autem & A commenſurabilis ipſi B; & [per 12. 10.] A ipſi Γ commenſurabilis erit. ſed & incommenſurabilis, quod fieri non poteſt: non igitur commenſurabilis eſt B ipſi Γ: ergo eſt incommenſurabilis.

Si igitur duæ magnitudines commenſurabiles ſint, altera autem ipſarum alicui magnitudini ſit incommenſurabilis; & reliqua eidem incommenſurabilis erit. quod erat demonſtrandum.

ΛΗΜΜΑ.

Δύο δοθεισῶν εὐθειῶν ἀνίσων, εὑρεῖν τίνι μεῖζον δύναται ἡ μείζων τῆς ἐλάσσονος.

LEMMA.

Duabus datis rectis lineis inæqualibus, invenire id quo major plus poteſt quam minor.

Ἐκκείσθωσαν αἱ δοθεῖσαι δύο ἄνισοι εὐθεῖαι, αἱ ΑΒ, Γ, ὧν μείζων ἔστω ἡ ΑΒ· δεῖ δὴ εὑρεῖν τίνι μεῖζον δύναται ἡ ΑΒ τῆς Γ.



Γεγράφθω ἀπὸ τῆς ΑΒ ἡμικύκλιον, τὸ ΑΔΒ, καὶ εἰς αὐτὸ ἐνηρμόσθω τῇ Γ ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΒ. Φανερὸν δὴ ὅτι ἐστὶν ὀρθὴ ἡ ὑπὸ ΑΔΒ γωνία, καὶ ὅτι ἡ ΑΒ τῆς ΑΔ, τουτέστι τῇ Γ, μεῖζον δύναται τῇ ΔΒ.

Sint datæ duæ rectæ lineæ inæquales AB, Γ, quarum major ſit AB: oportet invenire id quo AB plus poteſt quam Γ.

Deſcribatur ſuper rectam lineam AB ſemicirculus AΔB, & [per 1.4.] in eo aptetur recta linea AΔ ipſi Γ æqualis, & ΔB jungatur. perſpicuum eſt [per 31.3.] angulum AΔB rectum eſſe & ipſam AB [per 47.1.] plus poſſe quam AΔ, hoc eſt quam Γ, quantum eſt rectæ lineæ ΔB quadratum.

ΟΜΟΙΩΣ δὲ καὶ δύο δοθεισῶν εὐθειῶν, ἡ δυναμένη αὐτὰς εὑρίσκεται ὧδε.

SIMILITER autem & datis duabus rectis lineis, quæ ipſas poteſt hoc modo invenietur.

Ἐκκείσθωσαν αἱ δύο δοθεῖσαι εὐθεῖαι αἱ ΑΔ, ΔΒ· καὶ δέον ἔστω εὑρεῖν τὰς τῶν δυναμένων αὐτάς. ἐκκείσθωσαν γάρ, ὥστε ὀρθὴν γωνίαν περιέχειν τὴν ὑπὸ ΑΔΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ· φανερὸν πάλιν, ὅτι ἡ τὰς ΑΔ, ΔΒ δυναμένη ἐστὶν ἡ ΑΒ.

Sint duæ datæ rectæ lineæ AΔ, ΔB, & oporteat invenire rectam lineam quæ ipſas poſſit. exponantur enim ita ut rectum angulum AΔB contineant, & AB jungatur: patet rurſus [per 47. 7.] rectam lineam AB ipſas AΔ, ΔB poſſe.

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, δυνήσεται δὲ ἡ πρώτη τῆς δευτέρας μεῖζον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει· καὶ ἡ τρίτη τῆς τετάρτης μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἐὰν ἡ πρώτη τῆς δευτέρας μεῖζον δύηται, τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει· καὶ ἡ τρίτη τῆς τετάρτης μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει.

PROP. XV. THEOR.

Si quatuor rectæ lineæ proportionales fuerint, prima vero tanto plus poſſit quam ſecunda quantum eſt quadratum rectæ lineæ ſibi commenſurabilis longitudine; & tertia tanto plus poterit quam quarta quantum eſt quadratum rectæ lineæ ſibi longitudine commenſurabilis. quod ſi prima tanto plus poſſit quam ſecunda quantum eſt quadratum rectæ lineæ ſibi incommenſurabilis longitudine; & tertia quam quarta tanto plus poterit quantum eſt quadratum rectæ lineæ ſibi longitudine incommenſurabilis.

Ἔστωσαν δὴ τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ Α, Β, Γ, Δ, ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν

SInt quatuor rectæ lineæ proportionales A, B, Γ, Δ, ſitque ut A ad B ita Γ ad Δ;

& A quidem plus poſſit quam B quadrato quod fit ex E; Γ vero plus poſſit quam Δ quadrato ex Z: dico ſi A ipſi E ſit commenſurabilis, & Γ ipſi Z commenſurabilem eſſe; ſi vero A ipſi E ſit incommenſurabilis, & Γ ipſi Z incommenſurabilem eſſe.

Quoniam enim eſt ut A ad B ita Γ ad Δ, erit [per 1. cor. 22. 6.] ut quadratum ex A ad quadratum ex B ita quadratum ex Γ ad id quod ex Δ fit quadratum. ſed quadrato quidem quod fit ex A æqualia ſunt [ex hyp.] quadrata quæ ex ipſis E, B; quadrato autem ex Γ æqualia ſunt quadrata ex Z, Δ: igitur ut quadrata quæ fiunt ex E, B ad quadratum ex B ita quadrata quæ fiunt ex Z, Δ ad quadratum ex Δ: & dividendo [per 17. 5.] ut quadratum ex E ad quadratum ex B ita quadratum ex Z ad quadratum ex Δ: quare [per 22. 6.] ut E ad B ita eſt Z ad Δ, & [per 4. 5.] convertendo ut B ad E ita Δ ad Z. eſt autem & ut A ad B ita Γ ad Δ: ex æquo igitur [per 22. 5.] ut A ad E ita eſt Γ ad Z: ergo [per 10. 10.] ſi A eſt commenſurabilis ipſi E, & Γ ipſi Z erit commenſurabilis; ſi vero incommenſurabilis eſt A ipſi E, & Γ ipſi Z incommenſurabilis erit.



Si igitur quatuor rectæ lineæ proportionales ſint, & quæ ſequuntur. quod erat demonſtrandum.

Δ, καὶ ἡ Α μᾶλλον τοῦ Β μεῖζον δύναται τῷ ἀπὸ τῆς Ε, ἡ δὲ Γ τῆς Δ μεῖζον δύναται τῷ ἀπὸ τῆς Ζ· λέγω ὅτι εἰ μὲν σύμμετρός ἐστιν ἡ Α τῇ Ε σύμμετρός ἐστι καὶ ἡ Γ τῇ Ζ, εἰ δὲ ἀσύμμετρός ἐστιν ἡ Α τῇ Ε ἀσύμμετρός ἐστι καὶ ἡ Γ τῇ Ζ.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν Δ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β οὕτως τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς Α ἴσα ἐστὶ τὰ ἀπὸ τῶν Ε, Β, τῷ δὲ ἀπὸ τῆς Γ ἴσα τὰ ἀπὸ τῶν Ζ, Δ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῶν Ε, Β πρὸς τὸ ἀπὸ τῆς Β οὕτως τὸ ἀπὸ τῶν Ζ, Δ πρὸς τὸ ἀπὸ τῆς Δ· διελόντι ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς Β οὕτως τὸ ἀπὸ τῆς Ζ πρὸς τὸ ἀπὸ τῆς Δ· ἔστιν ἄρα καὶ ὡς ἡ Ε πρὸς τὴν Β οὕτως ἡ Ζ πρὸς τὴν Δ· ἀνάπαλιν ἄρα ὡς ἡ Β πρὸς τὴν Ε οὕτως ἡ Δ πρὸς τὴν Ζ. ἔστι δὲ καὶ ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν Δ· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ Α πρὸς τὴν Ε οὕτως ἡ Γ πρὸς τὴν Ζ· εἰ μὲν οὖν σύμμετρός ἐστιν ἡ Α τῇ Ε σύμμετρός ἐστι καὶ ἡ Γ τῇ Ζ, εἰ δὲ ἀσύμμετρός ἐστιν ἡ Α τῇ Ε ἀσύμμετρός ἐστι καὶ ἡ Γ τῇ Ζ.



Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

PROP. XVI. PROBL.

Si duæ magnitudines commenſurabiles componantur; & tota magnitudo utrique ipſarum commenſurabilis erit. quod ſi tota magnitudo uni ipſarum ſit commenſurabilis; & quæ à principio magnitudines commenſurabiles erunt.

COmponantur enim duæ magnitudines commenſurabiles AB, BΓ: dico & totam magnitudinem AΓ utrique ipſarum AB, BΓ commenſurabilem eſſe.

Quoniam enim commenſurabiles ſunt AB, BΓ, [per 1. def. 10.] metietur eas aliqua magnitudo. metiatur, ſitque Δ. & quoniam Δ metitur ipſas AB, BΓ, & totam AΓ metietur. metitur autem & AB, BΓ: ergo Δ magnitudines AB, BΓ & ipſam AΓ metitur: commenſurabilis igitur eſt AΓ utrique ipſarum AB, BΓ.



SED AΓ uni ipſarum AB, BΓ ſit commenſurabilis, videlicet ipſi AB: dico & AB, BΓ commenſurabiles eſſe.

Quoniam enim commenſurabiles ſunt AΓ, AB, metietur eas aliqua magnitudo. metiatur, & ſit

ΠΡΟΤΑΣΙΣ ιϛ'.

Ἐὰν δύο μεγέθη σύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέρῳ αὐτῶν σύμμετρον ἔσται. κἂν τὸ ὅλον ἑνὶ αὐτῶν σύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη σύμμετρα ἔσται.

Συγκείσθω γὰρ δύο μεγέθη σύμμετρα, τὰ AB, BΓ· λέγω ὅτι καὶ ὅλον τὸ AΓ ἑκατέρῳ τῶν AB, BΓ σύμμετρόν ἐστιν.

Ἐπεὶ γὰρ σύμμετρά ἐστι τὰ AB, BΓ, μετρήσει τι αὐτὰ μέγεθος. μετρείτω, καὶ ἔστω τὸ Δ. ἐπεὶ οὖν τὸ Δ τὰ AB, BΓ μετρεῖ, καὶ ὅλον τὸ AΓ μετρήσει. μετρεῖ δὲ καὶ τὰ AB, BΓ· τὸ Δ ἄρα τὰ AB, BΓ καὶ τὸ AΓ μετρεῖ· σύμμετρον ἄρα ἐστὶ τὸ AΓ ἑκατέρῳ τῶν AB, BΓ.

ΑΛΛΑ δὴ τὸ AΓ ἑνὶ τῶν AB, BΓ ἔστω σύμμετρον, ἔστω δὴ τῷ AB· λέγω δὴ ὅτι καὶ τὰ AB, BΓ σύμμετρά ἐστιν.

Ἐπεὶ γὰρ σύμμετρά ἐστι τὰ AΓ, AB, μετρήσει τι αὐτὰ μέγεθος. μετρείτω, καὶ ἔστω τὸ Δ.

ἐπεὶ

ἐπεὶ οὖν τὸ Δ τὰ ΑΓ, ΑΒ μετρεῖ, καὶ λοιπὸν ἄρα τὸ ΒΓ μετρήσει. μετρεῖ δὲ καὶ τὸ ΑΒ· τὸ Δ ἄρα τὰ ΑΒ, ΒΓ μετρήσει· σύμμετρα ἄρα ἐστὶ τὰ ΑΒ, ΒΓ.

Ἐὰν ἄρα δύο μεγέθη σύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέρῳ αὐτῶν σύμμετρον ἔσται, καὶ τὰ ἐξῆς. ὅπερ ἔδει δεῖξαι.

Δ. itaque quoniam Δ metitur ipſas ΑΓ, ΑΒ, & reliquam ΒΓ metietur. metitur autem & ΑΒ: ergo Δ ipſas ΑΒ, ΒΓ metietur: ac propterea ΑΒ, ΒΓ commenſurabiles ſunt.

Si igitur duæ magnitudines commenſurabiles componantur, & tota magnitudo utrique ipſarum commenſurabilis erit, & quæ ſequuntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Ἐὰν δύο μεγέθη ἀσύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέρῳ αὐτῶν ἀσύμμετρον ἔσται. κἂν τὸ ὅλον ἑνὶ αὐτῶν ἀσύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη ἀσύμμετρα ἔσται.

PROP. XVII. THEOR.

Si duæ magnitudines incommenſurabiles componantur; & tota magnitudo utrique ipſarum incommenſurabilis erit. quod ſi tota magnitudo uni ipſarum ſit incommenſurabilis; & quæ à principio magnitudines incommenſurabiles erunt.

Συγκείσθωσαν γὰρ δύο μεγέθη ἀσύμμετρα, τὰ ΑΒ, ΒΓ· λέγω ὅτι καὶ ὅλον τὸ ΑΓ ἑκατέρῳ τῶν ΑΒ, ΒΓ ἀσύμμετρόν ἐστιν.

Εἰ γὰρ μή ἐστιν ἀσύμμετρα τὰ ΓΑ, ΑΒ, μετρήσει τι αὐτὰ μέγεθος. μετρείτω, καὶ ἔστω, εἰ δυνατόν, τὸ Δ. ἐπεὶ οὖν τὸ Δ τὰ ΓΑ, ΑΒ μετρεῖ, καὶ λοιπὸν ἄρα τὸ ΒΓ μετρήσει. μετρεῖ δὲ καὶ τὸ ΒΑ· τὸ Δ ἄρα τὰ ΑΒ, ΒΓ μετρεῖ· σύμμετρα ἄρα ἐστὶ τὰ ΑΒ, ΒΓ. ὑπέκειντο δὲ καὶ ἀσύμμετρα, ὅπερ ἀδύνατον ἐστιν· οὐκ ἄρα τὰ ΓΑ, ΑΒ μετρήσει τι μέγεθος· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ΓΑ, ΑΒ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τὰ ΑΓ, ΓΒ ἀσύμμετρά ἐστι· τὸ ΑΓ ἄρα ἑκατέρῳ τῶν ΑΒ, ΒΓ ἀσύμμετρόν ἐστιν.



ΑΛΛΑ δὴ τὸ ΑΓ ἑνὶ τῶν ΑΒ, ΒΓ ἀσύμμετρον ἔστω, καὶ πρῶτον τῷ ΑΒ· λέγω ὅτι καὶ τὰ ΑΒ, ΒΓ ἀσύμμετρά ἐστιν. εἰ γὰρ ἐστὶ σύμμετρα, μετρήσει τι αὐτὰ μέγεθος. μετρείτω, καὶ ἔστω τὸ Δ. ἐπεὶ οὖν τὸ Δ τὰ ΑΒ, ΒΓ μετρεῖ, καὶ ὅλον ἄρα τὸ ΑΓ μετρήσει. μετρεῖ δὲ καὶ τὸ ΑΒ· τὸ Δ ἄρα τὰ ΓΑ, ΑΒ μετρεῖ· σύμμετρα ἄρα ἐστὶ τὰ ΓΑ, ΑΒ. ὑπέκειντο δὲ καὶ ἀσύμμετρα, ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τὰ ΑΒ, ΒΓ μετρήσει τι μέγεθος· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ΑΒ, ΒΓ. ὁμοίως δὴ δείξομεν * ὅτι εἰ τὸ ΑΓ τῷ ΓΒ ἀσύμμετρόν ἐστι καὶ ΑΒ, ΒΓ ἀσύμμετρα ἔσται.

Ἐὰν ἄρα δύο μεγέθη ἀσύμμετρα συντεθῇ, καὶ τὰ ἐξῆς. ὅπερ ἔδει δεῖξαι.

Si enim non ſunt incommenſurabiles ΓΑ, ΑΒ, metietur eas aliqua magnitudo. metiatur, ſitq; Δ, ſi fieri poteſt. quoniam igitur Δ metitur ipſas ΓΑ, ΑΒ, & reliquam ΒΓ metietur. metitur autem & ΒΑ: ergo Δ ipſas ΑΒ, ΒΓ metitur; ac propterea [per 1. def. 10.] commenſurabiles ſunt ΑΒ, ΒΓ. ponuntur autem & incommenſurabiles, quod fieri non poteſt: non igitur ipſas ΓΑ, ΑΒ metietur aliqua magnitudo: quare ΓΑ, ΑΒ incommenſurabiles ſunt. ſimiliter & ΑΓ, ΓΒ incommenſurabiles eſſe demonſtrabimus: ergo ΑΓ utrique ipſarum ΑΒ, ΒΓ eſt incommenſurabilis.

SED ΑΓ uni ipſarum ΑΒ, ΒΓ incommenſurabilis ſit; & primum ipſi ΑΒ: dico & ΑΒ, ΒΓ incommenſurabiles eſſe. ſi enim ſunt commenſurabiles, [per 1. def. 10.] eas aliqua magnitudo metietur. metiatur, & ſit Δ. quoniam igitur Δ metitur ipſas ΑΒ, ΒΓ, & totam ΑΓ metietur. metitur autem & ΑΒ: ergo Δ ipſas ΓΑ, ΑΒ metitur: ideoque ΓΑ, ΑΒ commenſurabiles ſunt. ponuntur autem & incommenſurabiles, quod fieri non poteſt: non igitur ipſas ΑΒ, ΒΓ metietur aliqua magnitudo: quare ΑΒ, ΒΓ incommenſurabiles erunt. ſimiliter demonſtrabimus, ſi ΑΓ incommenſurabilis ſit ipſi ΓΒ, etiam ΑΒ, ΒΓ incommenſurabiles eſſe.

Si igitur duæ magnitudines incommenſurabiles componantur, & quæ ſequuntur. quod erat demonſtrandum.

ΛΗΜΜΑ.

Ἐὰν παρὰ εὐθεῖαν παραβληθῇ παραλληλόγραμμον, ἐλλεῖπον εἴδει τετραγώνῳ· τὸ παραβληθὲν ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ἐκ τῆς παραβολῆς γενομένων τμημάτων τῆς εὐθείας.

LEMMA.

Si ad aliquam rectam lineam applicetur parallelogrammum, deficiens figura quadrata; parallelogrammum applicatum æquale eſt ei rectangulo, quod ſub partibus rectæ lineæ ex applicatione factis continetur.

* Ita reſtituimus ex Codd. MSS. antea in Editis erat ὅτι τὸ ΑΓ ἑκατέρῳ τῷ ΒΓ ἀσύμμετρόν ἐστι.

Ad aliquam enim rectam AB applicetur AΔ parallelogrammum, deficiens figura quadrata ΔB: dico parallelogrammum AΔ rectangulo ſub AΓ, ΓB æquale eſſe.



Atque hoc per ſe patet: quoniam enim quadratum eſt ΔB, erit ΔΓ ipſi ΓB æqualis; atq; AΔ eſt parallelogrammum quod ſub AΓ, ΓB continetur.

Si igitur ad aliquam rectam lineam applicetur parallelogrammum, & quæ ſequuntur. quod erat demonſtrandum.

Παρὰ γὰρ τινα εὐθεῖαν τὴν AB παραβεβλήσθω τὸ AΔ παραλληλόγραμμον, ἐλλεῖπον εἴδει τετραγώνῳ τῷ ΔB· λέγω ὅτι ἴσον ἐστὶ τὸ AΔ τῷ ὑπὸ τ AΓ, ΓB.

Καὶ ἔστιν αὐτόθεν φανερόν· ἐπεὶ γὰρ τετράγωνόν ἐστι τὸ ΔB, ἴση ἐστὶν ἡ ΔΓ τῇ ΓB, ἑ ἔστι τὸ AΔ τὸ ὑπὸ τ AΓ, ΓB.

Ἐὰν ἄρα παρά τινα εὐθεῖαν παραβληθῇ παραλληλόγραμμον, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

Prop. XVIII. Theor.

Si ſint duæ rectæ lineæ inæquales, quartæ autem parti quadrati quod fit à minori æquale parallelogrammum ad majorem applicetur deficiens figura quadrata, & in partes longitudine commenſurabiles ipſam dividat; major tanto plus poterit quam minor quantum eſt quadratum rectæ lineæ ſibi longitudine commenſurabilis. quod ſi major tanto plus poſſit quam minor quantum eſt quadratum rectæ lineæ ſibi longitudine commenſurabilis, quartæ autem parti quadrati quod fit à minori æquale parallelogrammum ad majorem applicetur deficiens figura quadrata; in partes longitudine commenſurabiles ipſam dividet.

ΠΡΟΤΑΣΙΣ ιή.

Ἐὰν ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει ἔ ἀπὸ τῆς ἐλάσσονος ἴσον παραλληλόγραμμον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς σύμμετρα αὐτὴν διαιρῇ μήκη· ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἐὰν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παραλληλόγραμμον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ· εἰς σύμμετρα αὐτὴν διαιρεῖ μήκη.

SInt duæ rectæ lineæ inæquales A, BΓ, quarum major BΓ, quartæ autem parti quadrati quod fit à minori A (hoc eſt ei quod fit à dimidia ipſius A) æquale parallelogrammum ad BΓ applicetur deficiens figura quadrata, & ſit quod continetur ſub BΔ, ΔΓ, ſitque BΔ ipſi ΔΓ commenſurabilis longitudine: dico BΓ plus poſſe quam A quadrato rectæ ſibi longitudine commenſurabilis.

Secetur enim BΓ bifariam in puncto E, & ipſi ΔE æqualis ponatur EZ: reliqua igitur ΔΓ eſt æqualis BZ. & quoniam recta linea BΓ ſecatur in partes quidem æquales ad E punctum, in partes vero inæquales ad punctum Δ; erit [per 5. 2.] rectangulum ſub BΔ, ΔΓ una cum quadrato ex EΔ æquale quadrato ex EΓ; & eorum quadrupla: quod igitur quater ſub BΔ, ΔΓ continetur una cum quadrato quod quater fit ex BΔ æquale eſt quadrato quod quater fit ex EΓ. ſed ei quidem quod quater ſub BΔ, ΔΓ continetur æquale eſt [ex hyp.] quadratum ex A, ei vero quod quater fit ex ΔE æquale eſt quadratum ex ΔZ; etenim ΔZ ipſius ΔE eſt dupla; & ei quod quater fit ex EΓ æquale eſt quadratum ex BΓ; rurſus enim BΓ dupla eſt ipſius EΓ: ergo quadrata quæ fiunt ex A, ΔZ æqualia ſunt ei quod fit ex BΓ quadrato: ac propterea quadratum quod fit ex BΓ



Ἔστωσαν δύο εὐθεῖαι ἄνισοι αἱ A, BΓ, ὧν μείζων ἡ BΓ, τῷ δὲ τετάρτῳ μέρει ἔ ἀπὸ τ ἐλάσσονος τ A, τυτέστι τῷ ἀπὸ τ ἡμισείας τ A, ἴσον παραβεβλήσθω τὸ BΓ παραλληλόγραμμον ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τ BΔ, ΔΓ, σύμμετρος δὲ ἔστω ἡ BΔ τῇ ΔΓ μήκει· λέγω ὅτι ἡ BΓ τ A μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

Τετμήσθω γὰρ ἡ BΓ δίχα κατὰ τὸ E σημεῖον, καὶ κείσθω τῇ ΔE ἴση ἡ EZ· λοιπὴ ἄρα ἡ ΔΓ ἴση ἐστὶ τῇ BZ. καὶ ἐπεὶ εὐθεῖα ἡ BΓ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ E, εἰς δὲ ἄνισα κατὰ τὸ Δ· τὸ ἄρα ὑπὸ τῶν BΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον μετὰ τ ἀπὸ τ EΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς EΓ τετραγώνῳ. καὶ τὰ τετραπλάσια· τὸ ἄρα τετράκις ὑπὸ τῶν BΔ, ΔΓ μετὰ τ τετράκις ἀπὸ τ EΔ ἴσον ἐστὶ τῷ τετράκις ἀπὸ τ EΓ τετραγώνῳ. ἀλλὰ τῷ μὲν τετράκις ὑπὸ τῶν BΔ, ΔΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς A τετράγωνον, τῷ δὲ τετράκις ἀπὸ τῆς ΔE ἴσον ἐστὶ τὸ ἀπὸ τ ΔZ τετράγωνον, διπλασίων γάρ ἐστι ΔZ τ ΔE· τῷ δὲ τετράκις ἀπὸ τ EΓ ἴσον ἐστὶ τὸ ἀπὸ τ BΓ τετράγωνον, διπλασίων γάρ ἐστι πάλιν ἡ BΓ τ EΓ· τὰ ἄρα ἀπὸ τ A, ΔZ τετράγωνα ἴσα ἐστὶ τῷ ἀπὸ τῆς BΓ τετραγώνῳ· ὥστε τὸ ἀπὸ τ BΓ

τῶ

τῷ ἀπὸ τῆς Α μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΔΖ· ἡ ΒΓ ἄρα τὸ Α μεῖζον δύναται τῇ ΔΖ. δεικτέον ὅτι καὶ σύμμετρός ἐστιν ἡ ΒΓ τῇ ΔΖ. ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ ΒΔ τῇ ΔΓ μήκει, σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΒΓ τῇ ΔΓ μήκει. ἀλλὰ ἡ ΔΓ τῇ ΓΔ, ΒΖ ἐστὶ σύμμετρος μήκει, ἴση γάρ ἐστιν ἡ ΓΔ τῇ ΒΖ· καὶ ἡ ΒΓ ἄρα τῇ ΒΖ, ΓΔ ἐστὶ σύμμετρος μήκει· ὥστε καὶ λοιπῇ τῇ ΖΔ σύμμετρός ἐστιν ἡ ΓΒ μήκει· ἡ ΒΓ ἄρα τῆς Α μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.

ΑΛΛΑ δὴ ἡ ΒΓ τὸ Α μεῖζον δυνάσθω τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, τῷ δὲ τετάρτῳ τοῦ ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΒΓ παραβεβλήσθω, ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τὰ ΒΔ, ΔΓ. δεικτέον ὅτι σύμμετρός ἐστιν ἡ ΒΔ τῇ ΔΓ μήκει.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν ὅτι ἡ ΒΓ τῆς Α μεῖζον δύναται τῷ ἀπὸ τῆς ΖΔ. δυνάσθω ἡ ΒΓ τὸ Α μεῖζον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· σύμμετρος ἄρα ἐστὶν ἡ ΒΓ τῇ ΖΔ μήκει· ὥστε καὶ λοιπῇ συναμφοτέρῳ τῇ ΒΖ, ΔΓ σύμμετρός ἐστιν ἡ ΒΓ μήκει. ἀλλὰ συναμφοτέρος ἡ ΒΖ, ΔΓ τῇ ΔΓ σύμμετρός ἐστι μήκει, ἴση γάρ ἐστιν ἡ ΒΖ τῇ ΔΓ· καὶ ἡ ΒΓ ἄρα σύμμετρός ἐστι μήκει τῇ ΔΓ· δηλονότι ἄρα ἡ ΒΔ τῇ ΔΓ ἐστὶ σύμμετρος μήκει.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παρὰ τὴν μείζονα παραβληθῇ, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς ἀσύμμετρα αὐτὴν διαιρῇ μήκει· ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ ἐὰν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, τῷ δὲ τετάρτῳ τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ· εἰς ἀσύμμετρα αὐτὴν διαιρεῖ μήκει.

Ἔστωσαν δύο εὐθεῖαι ἄνισοι αἱ Α, ΒΓ, ὧν μείζων ἡ ΒΓ, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος τῆς Α ἴσον παρὰ τὴν ΒΓ παραβεβλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τὰ ΒΔ, ΔΓ,

majus est quam quadratum quod ex Α quadrato ex ΔΖ: recta igitur linea ΒΓ tanto plus potest quam Α quantum est ipsius ΔΖ quadratum. ostendendum est & ΒΓ ipsi ΔΖ commensurabilem esse. quoniam enim [ex hyp.] ΒΔ commensurabilis est ipsi ΔΓ longitudine, erit [per 16. 10.] & ΒΓ ipsi ΔΓ longitudine commensurabilis. sed [per 6.10.] ΔΓ ipsis ΓΔ, ΒΖ est commensurabilis longitudine, æqualis enim est ΓΔ ipsi ΒΖ: quare & ΒΓ ipsis ΒΖ, ΓΔ longitudine est commensurabilis: & reliquæ igitur ΖΔ [per 16. 10.] longitudine commensurabilis erit: ergo ΒΓ plus potest quam Α quadrato rectæ lineæ sibi longitudine commensurabilis.

Sed ΒΓ plus possit quam Α quadrato rectæ lineæ sibi longitudine commensurabilis, quartæ autem parti quadrati quod fit ex Α æquale parallelogrammum ad ΒΓ applicetur deficiens figura quadrata; & sit quod continetur sub ΒΔ, ΔΓ. ostendendum est ΒΔ ipsi ΔΓ longitudine commensurabilem esse.

Iisdem enim constructis, similiter demonstrabimus ΒΓ plus posse quam Α quadrato rectæ lineæ ΖΔ. sed [ex hyp.] ΒΓ plus potest quam Α quadrato rectæ lineæ sibi longitudine commensurabilis: ergo ΒΓ commensurabilis est ipsi ΖΔ longitudine; & reliquæ igitur, utrique scilicet ΒΖ, ΔΓ, [per 16. 10.] longitudine est commensurabilis. sed utraque ΒΖ, ΔΓ ipsi ΔΓ commensurabilis est longitudine, etenim ΒΖ est æqualis ΔΓ; ergo & ΒΓ ipsi ΔΓ longitudine est commensurabilis: constat igitur [per 16.10.] ΒΔ ipsi ΔΓ longitudine commensurabilem esse.

Si igitur duæ rectæ lineæ inæquales sint, quartæ autem parti quadrati quod fit à minori æquale parallelogrammum ad majorem applicetur, & quæ sequuntur. quod erat demonstrandum.

Prop. XIX. Theor.

Si sint duæ rectæ lineæ inæquales, quartæ autem parti quadrati quod fit à minori æquale parallelogrammum ad majorem applicetur deficiens figura quadrata, & in partes incommensurabiles longitudine ipsam dividat; major tanto plus poterit quam minor quantum est quadratum rectæ lineæ sibi longitudine incommensurabilis. quod si major tanto plus possit quam minor quantum est quadratum rectæ lineæ sibi longitudine incommensurabilis, quartæ autem parti quadrati quod fit à minori æquale parallelogrammum ad majorem applicetur deficiens figura quadrata; in partes longitudine incommensurabiles ipsam dividet.

Sint duæ rectæ lineæ inæquales Α, ΒΓ, quarum major ΒΓ, quartæ autem parti quadrati quod fit à minori Α æquale parallelogrammum ad ipsam ΒΓ applicetur, deficiens figura quadrata, & sit quod continetur sub ΒΔ, ΔΓ, sitque

ſitque BΔ ipſi ΔΓ longitudine incommenſurabilis: dico BΓ plus poſſe quam A, quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis.

Iiſdem enim quæ ſupra conſtructis, ſimiliter oſtendemus ipſam BΓ plus poſſe quam A quadrato rectæ lineæ ΔZ. oſtendendum igitur eſt BΓ ipſi ΔZ longitudine incommenſurabilem eſſe. quoniam enim incommenſurabilis eſt BΔ ipſi ΔΓ, erit [per 17. 10.] & BΓ ipſi ΔΓ longitudine incommenſurabilis. ſed ΔΓ commenſurabilis eſt utriſque BZ, ΔΓ: ergo [per 14.10.] & BΓ utriſque BZ, ΔΓ longitudine eſt incommenſurabilis: ac propterea BΓ [per 17.10.] reliquæ ZΔ incommenſurabilis eſt longitudine, & BΓ plus poteſt quam A quadrato ex ZΔ: igitur BΓ plus poteſt quam A quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis.



Sed BΓ rurſus plus poſſit quam A quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine, quartæ autem parti quadrati quod fit ex A æquale parallelogrammum ad BΓ applicetur deficiens figura quadrata; & ſit quod ſub BΔ, ΔΓ continetur. oſtendendum eſt BΔ ipſi ΔΓ longitudine incommenſurabilem eſſe.

Iiſdem enim conſtructis, ſimiliter demonſtrabimus BΓ plus poſſe quam A quadrato rectæ lineæ ΔZ. ſed [ex hyp.] BΓ plus poteſt quam A quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis: incommenſurabilis igitur eſt BΓ ipſi ΔZ longitudine: quare [per 17.10.] & reliquæ, videlicet utrique BZ, ΔΓ, eſt incommenſurabilis. ſed [per 6. 10.] utraque BZ, ΔΓ commenſurabilis eſt longitudine ipſi ΔΓ: ergo [per 14. 10.] & BΓ ipſi ΔΓ eſt incommenſurabilis longitudine; ac propterea dividendo [per 17.10.] BΔ ipſi ΔΓ longitudine incommenſurabilis erit.

Si igitur duæ rectæ lineæ inæquales ſint, & quæ ſequuntur. quod erat demonſtrandum.

SCHOLIUM 1.

Quoniam demonſtratum eſt [ad cor.9.10.] longitudine commenſurabiles omnino & potentia commenſurabiles eſſe, potentia vero commenſurabiles non ſemper & longitudine, ſed poſſe & longitudine commenſurabiles eſſe & incommenſurabiles; manifeſtum eſt, ſi expoſitæ rationali aliqua commenſurabilis fuerit longitudine, illam rationalem vocari, & ipſi commenſurabilem non ſolum longitudine ſed etiam potentia: longitudine enim commenſurabiles omnino & potentia commenſurabiles ſunt. ſi vero expoſitæ rationali aliqua fuerit potentia commenſurabilis, ſi quidem & longitudine, dicetur & ſic rationalis & commenſurabilis ipſi longitudine & potentia. quod ſi expoſitæ rationali rurſus aliqua commenſurabilis exiſtens potentia, longitudine fuerit incommenſurabilis, dicetur & ſic rationalis potentia tantum commenſurabilis.

SCHOLIUM 2.

Rationales vocat eas, quæ expoſitæ rationali vel longitudine & potentia commenſurabiles ſunt, vel potentia tantum. ſunt autem &

ἀσύμμετρος δὲ ἔστω ἡ ΒΔ τῇ ΔΓ μήκει· λέγω ὅτι ἡ ΒΓ τὸ Α μεῖζον δύναται, τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων τῷ πρότερον, ὁμοίως δείξομεν ὅτι ἡ ΒΓ τῆς Α μεῖζον δύναται τῷ ἀπὸ τῆς ΔΖ. δεικτέον ἐν ὅτι ἀσύμμετρός ἐστιν ἡ ΒΓ τῇ ΔΖ μήκει. ἐπεὶ γὰρ ἀσύμμετρός ἐστιν ἡ ΒΔ τῇ ΔΓ, ἀσύμμετρός ἐστι καὶ ἡ ΒΓ τῇ ΔΓ μήκει. ἀλλὰ ἡ ΔΓ σύμμετρός ἐστι σωαμφοτέραις ταῖς ΒΖ, ΔΓ· καὶ ἡ ΒΓ ἄρα ἀσύμμετρός ἐστι σωαμφοτέραις ταῖς ΒΖ, ΔΓ· ὥστε καὶ λοιπῇ τῇ ΖΔ ἀσύμμετρός ἐστιν ἡ ΒΓ μήκει, καὶ ἡ ΒΓ τὸ Α μεῖζον δύναται τῷ ἀπὸ τῆς ΖΔ· ἡ ΒΓ ἄρα τῆς Α μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ.

Δυνάσθω δὴ πάλιν ἡ ΒΓ τοῦ Α μεῖζον τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, τῷ δὲ τετάρτῳ τοῦ ἀπὸ τῆς Α ἴσον παραλληλόγραμμον παρὰ τὴν ΒΓ παραβεβλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τῶν ΒΔ, ΔΓ. δεικτέον ὅτι ἀσύμμετρός ἐστιν ἡ ΒΔ τῇ ΔΓ μήκει.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν ὅτι ἡ ΒΓ τῆς Α μεῖζον δύναται τῷ ἀπὸ τῆς ΔΖ. ἀλλ' ἡ ΒΓ τῆς Α μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΒΓ τῇ ΔΖ μήκει· ὥστε καὶ λοιπῇ σωαμφοτέρῳ τῇ ΒΖ, ΔΓ ἀσύμμετρός ἐστιν ἡ ΒΓ. ἀλλὰ σωαμφοτέρῳ ἡ ΒΖ, ΔΓ τῇ ΔΓ σύμμετρός ἐστι μήκει· καὶ ἡ ΒΓ ἄρα τῇ ΔΓ ἀσύμμετρός ἐστι μήκει· ὥστε καὶ διελόντι ἡ ΒΔ τῇ ΔΓ ἀσύμμετρός ἐστι μήκει.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι ἄνισοι, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

ΣΧΟΛΙΟΝ α'.

Ἐπειδὴ δέδεικται ὅτι αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει εἰσὶ σύμμετροι, αἱ δὲ δυνάμει οὐ πάντως καὶ μήκει, ἀλλὰ δηλαδὴ δύνανται καὶ μήκει σύμμετροι εἶναι καὶ ἀσύμμετροι· φανερὸν ὅτι ἐὰν τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρός τις ᾖ μήκει, λέγεται ῥητὴ καὶ σύμμετρος αὐτῇ οὐ μόνον μήκει ἀλλὰ καὶ δυνάμει, αἱ γὰρ μήκει σύμμετροι πάντως καὶ δυνάμει. ἐὰν δὲ τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρός τις ᾖ δυνάμει, εἰ μὲν καὶ μήκει λέγεται, καὶ ἔστω ῥητὴ καὶ σύμμετρος αὐτῇ μήκει καὶ δυνάμει. εἰ δὲ τῇ ἐκκειμένῃ πάλιν ῥητῇ σύμμετρός τις ἔστω δυνάμει μήκει ᾖ ἀσύμμετρος, λέγεται καὶ ἔστω ῥητὴ δυνάμει μόνον σύμμετρος.

*ΣΧΟΛΙΟΝ β'.

Ῥητὰς καλεῖ ταῖς τῇ ἐκκειμένῃ ῥητῇ ἤτοι μήκει καὶ δυνάμει συμμέτρους, ἢ δυνάμει μόνον. εἰσὶ δὲ καὶ

* In editis Πρόκλου χείλων dicitur: ſed in *MSS.* nulla mentio *Procli.* Non tamen ideo *Euclidis* eſſe arbitramur: nam & hoc Scholium & præcedens, ut & alia pleraque Scholia & Lemmata hujuſce libri, *Euclidi* abjudicanda eſſe cenſemus.

ἄλλαι

ἄλλαι εὐθεῖαι, αἱ μήκει μόνον ἀσύμμετροί εἰσι τῇ ἐκκειμένῃ ῥητῇ, δυνάμει δὲ μόνον σύμμετροι, καὶ διὰ τοῦτο πάλιν λέγονται ῥηταὶ καὶ σύμμετροι τοῖς ἀλλήλαις καθ' ὁ ῥητὴ, ἀλλὰ σύμμετροι τοῖς ἀλλήλαις, ὅταν μήκει δηλαδὴ καὶ δυνάμει ἢ δυνάμει μόνον. καὶ εἰ μὲν μήκει, λέγονται καὶ αὐτὰ ῥητὰ μήκει σύμμετροι, ἐπακολουθεῖ ὅτι καὶ δυνάμει· εἰ δὲ δυνάμει μόνον τοῖς ἀλλήλαις εἰσὶ σύμμετροι, λέγονται καὶ αὐτὰ ῥητὰ δυνάμει μόνον σύμμετροι. ὅτι δὲ αἱ ῥηταὶ σύμμετροί εἰσιν, ἐντεῦθεν δῆλον· ἐπεὶ γὰρ ῥηταί εἰσιν αἱ τῇ ἐκκειμένῃ ῥητῇ σύμμετροι, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα· αἱ ἄρα ῥηταὶ σύμμετροί εἰσιν. ὅπερ ἔδει δεῖξαι.

aliæ rectæ lineæ, quæ longitudine quidem expositæ rationali incommensurabiles sunt, potentia autem solum commensurabiles, atque ob id rursus dicuntur rationales & commensurabiles inter se quatenus rationales; sed commensurabiles inter se, vel longitudine & potentia vel potentia solum. & si quidem longitudine, dicuntur & ipsæ rationales longitudine commensurabiles, ut intelligatur etiam potentia commensurabiles esse: si vero potentia solum inter se sunt commensurabiles, dicuntur ipsæ quoque rationales potentia solum commensurabiles. at vero rationales commensurabiles esse, ex his constat: quoniam enim rationales sunt quæ expositæ rationali sunt commensurabiles, quæ vero eidem commensurabiles [per 12. 10.] etiam inter se commensurabiles sunt; sequitur rationales commensurabiles esse. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κ'.

Τὸ ὑπὸ ῥητῶν μήκει συμμέτρων κατά τινα τῶν προειρημένων τρόπων εὐθειῶν περιεχόμενον ὀρθογώνιον, ῥητόν ἐστιν.

Prop. XX. Theor.

Quod sub rationalibus longitudine commensurabilibus rectis lineis secundum aliquem prædictorum modorum continetur rectangulum, rationale est.

ΥΠΟ γὰρ ῥητῶν μήκει συμμέτρων εὐθειῶν τῶν ΑΒ, ΒΓ ὀρθογώνιον περιεχέσθω τὸ ΑΓ· λέγω ὅτι ῥητόν ἐστι τὸ ΑΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ῥητὸν ἄρα ἐστὶ τὸ ΑΔ. καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει, ἴση δὲ ἐστὶν ἡ ΑΒ τῇ ΒΔ· σύμμετρος ἄρα ἐστὶν ἡ ΒΔ τῇ ΒΓ μήκει. καὶ ἔστιν ὡς ἡ ΒΔ πρὸς τὴν ΒΓ οὕτως τὸ ΔΑ πρὸς τὸ ΑΓ, σύμμετρος δὲ ἐστὶν ἡ ΒΔ τῇ ΒΓ· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΔΑ τῷ ΑΓ. ῥητὸν δὲ τὸ ΔΑ· ῥητὸν ἄρα καὶ τὸ ΑΓ.



Τὸ ἄρα ὑπὸ ῥητῶν, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

SUB rationalibus enim longitudine commensurabilibus rectis lineis AB, BΓ contineatur rectangulum AΓ: dico AΓ rationale esse.

Describatur ex AB quadratum AΔ: ergo AΔ est rationale. & quoniam AB commensurabilis est ipsi BΓ longitudine, atque est AB æqualis BΔ; erit BΔ ipsi BΓ longitudine commensurabilis. est autem [per 1. 6.] & ut BΔ ad BΓ ita ΔA ad AΓ, & commensurabilis est BΔ ipsi BΓ: ergo [per 10. 10.] & ΔA ipsi AΓ commensurabile erit. estque rationale ΔA: quare & AΓ est rationale.

Quod igitur sub rationalibus, & quæ sequuntur. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἐὰν ῥητὸν παρὰ ῥητὴν παραβληθῇ· πλάτος ποιεῖ ῥητήν, καὶ σύμμετρον τῇ παρ' ἣν παράκειται μήκει.

Prop. XXI. Theor.

Si rationale ad rationalem applicetur, latitudinem efficit rationalem, & ei ad quam applicatum est longitudine commensurabilem.

ΡΗΤΟΝ γὰρ τὸ ΑΓ παρὰ ῥητὴν κατά τινα πάλιν τῶν εἰρημένων τρόπων τὴν ΑΒ παραβεβλήσθω, πλάτος ποιοῦν τὴν ΒΓ· λέγω ὅτι ῥητή ἐστιν ἡ ΒΓ, καὶ σύμμετρος τῇ ΑΒ μήκει.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔ· ῥητὸν ἄρα ἐστὶ τὸ ΑΔ. ῥητὸν δὲ καὶ τὸ ΑΓ· σύμμετρον ἄρα ἐστὶ τὸ ΑΔ τῷ ΑΓ. καὶ ἔστιν ὡς τὸ ΔΑ πρὸς τὸ ΑΓ οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ· σύμμετρος ἄρα



RAtionale enim AΓ ad rationalem secundum aliquem rursus dictorum modorum nempe AB applicetur, latitudinem faciens BΓ: dico BΓ rationalem esse, & ipsi AB longitudine commensurabilem.

Describatur enim ex AB quadratum AΔ: ergo AΔ rationale est. sed & rationale est AΓ: ergo [per 1. schol. 19. 10.] AΔ ipsi AΓ est commensurabile. atque [per 1. 6.] est ut ΔA ad AΓ ita ΔB ad BΓ: com-

menſurabilis igitur eſt ΔB ipſi BΓ. eſt autem BΔ æqualis BA: quare AB ipſi BΓ commenſurabilis eſt. ſed AB eſt rationalis: rationalis igitur eſt & BΓ, & ipſi BA longitudine commenſurabilis.

Si igitur rationale ad rationalem applicetur, & quæ ſequuntur. quod erat demonſtrandum.

LEMMA.

Recta linea quæ poteſt irrationale ſpatium, irrationalis eſt.

Poſſit enim recta linea A ſpatium irrationale, hoc eſt quadratum quod fit ab A irrationali ſpatio ſit æquale: dico A irrationalem eſſe.

A

Si enim A ſit rationalis, erit quod ab ipſa fit quadratum rationale; ſic enim in definitionibus ponitur. atqui rationale non eſt: ergo A irrationalis ſit neceſſe eſt. quod erat demonſtrandum.

PROP. XXII. THEOR.

Quod ſub rationalibus potentia ſolum commenſurabilibus rectis lineis continetur rectangulum irrationale eſt; & recta linea ipſum potens eſt irrationalis, vocetur autem media.

SUB rationalibus enim potentia ſolum commenſurabilibus rectis lineis AB, BΓ contineatur rectangulum AΓ: dico AΓ irrationale eſſe, & rectam lineam quæ ipſum poteſt irrationalem eſſe, vocetur autem media.

Deſcribatur enim ex AB quadratum AΔ: ergo AΔ rationale eſt. & quoniam AB incommenſurabilis eſt ipſi BΓ longitudine, potentia enim ſolum ponuntur commenſurabiles, atque eſt AB æqualis BΔ: incommenſurabilis igitur eſt ΔB ipſi BΓ longitudine. eſt autem [per 1. 6.] ut ΔB ad BΓ ita AΔ ad AΓ: ergo AΔ ipſi AΓ eſt incommenſurabile. ſed AΔ rationale eſt: irrationale igitur eſt AΓ: quare [per 11. def. 10.] & recta linea quæ ipſum AΓ poteſt, videlicet quæ poteſt quadratum ipſi æquale, eſt irrationalis. vocetur autem media; propterea quod ipſius quadratum eſt æquale rectangulo quod ſub AB, BΓ continetur, & inter ipſas AB, BΓ media fit proportionalis. quod erat demonſtrandum.



*SCHOLIUM.

Media eſt irrationalis quæ poteſt ſpatium contentum ſub rationalibus potentia ſolum commenſurabilibus.

Sub rationalibus enim potentia ſolum commenſurabilibus rectis lineis A, B ſpatium contineatur. oſtendendum eſt hujuſmodi ſpatium irrationale eſſe.

Sumatur enim inter ipſas A, B media proportionalis Γ; ergo [per 17. 6.] quod fit ſub A, B eſt æquale quadrato ex Γ; ac propterea Γ poteſt rectangulum quod ſub ipſis A, B continetur: eſt igitur ut A

ἐστὶ καὶ ἡ ΔB τῇ BΓ. ἴση δὲ ἡ BΔ τῇ BA· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ AB τῇ BΓ. ῥητὴ δέ ἐστιν ἡ AB· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ BΓ, καὶ σύμμετρος τῇ BA μήκει.

Ἐὰν ἄρα ῥητὸν παραλληλόγραμμον παρὰ ῥητὴν παραβληθῇ, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

ΛΗΜΜΑ.

Η δυναμένη ἄλογον χωρίον, ἄλογός ἐστι.

Δυνάσθω γάρ ἡ A ἄλογον χωρίον, τουτέστι τὸ ἀπὸ τῆς A τετράγωνον ἴσον ἔστω ἀλόγῳ χωρίῳ· λέγω ὅτι ἡ A ἄλογός ἐστιν.

Εἰ γὰρ ἐστι ῥητὴ ἡ A, ῥητὸν ἔσται καὶ τὸ ἀπ' αὐτῆς τετράγωνον, ὅτως γὰρ ἐν τοῖς ὅροις. οὐκ ἔστι δέ· ἄλογον ἄρα ἡ A ἐστίν. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κβ'.

Τὸ ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων εὐθειῶν περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστι, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστι, καλείσθω δὲ μέση.

ΥΠΟ γὰρ ῥητῶν δυνάμει μόνον συμμέτρων εὐθειῶν τῶν AB, BΓ ὀρθογώνιον περιεχέσθω τὸ AΓ· λέγω ὅτι ἄλογόν ἐστι τὸ AΓ, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστι, καλείσθω δὲ μέση.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς AB τετράγωνον τὸ AΔ· ῥητὸν ἄρα ἐστὶ τὸ AΔ. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ AB τῇ BΓ μήκει, δυνάμει γὰρ μόνον ὑπόκεινται σύμμετροι, ἴση δὲ ἡ AB τῇ BΔ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔB τῇ BΓ μήκει. καὶ ἔστιν ὡς ἡ ΔB πρὸς τὴν BΓ ὅτως τὸ AΔ πρὸς τὸ AΓ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ AΔ τῷ AΓ. ῥητὸν δὲ τὸ AΔ· ἄλογον ἄρα ἐστὶ τὸ AΓ· ὥστε καὶ ἡ δυναμένη τὸ AΓ, τουτέστιν ἡ ἴσον αὐτῷ τετράγωνον δυναμένη, ἄλογός ἐστι. καλείσθω δὲ μέση, διότι τὸ ἀπ' αὐτῆς τετράγωνον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν AB, BΓ, καὶ μέσην ἀνάλογον αὐτῶν γίνεσθαι τὰς AB, BΓ. ὅπερ ἔδει δεῖξαι.

*ΣΧΟΛΙΟΝ.

Μέση ἐστὶν ἄλογος ἡ δυναμένη χωρίον περιεχόμενον ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων.

Ὑπὸ ῥητῶν γὰρ δυνάμει μόνον συμμέτρων εὐθειῶν τῶν A, B περιεχέσθω χωρίον. δεικτέον ὅτι ἄλογόν ἐστι τὸ τοιοῦτον χωρίον.

Εἰλήφθω γὰρ τῶν A, B μέση ἀνάλογον ἡ Γ· τὸ ἄρα ὑπὸ τῶν A, B ἴσον ἐστὶ τῷ ἀπὸ τῆς Γ· ὥστε ἡ Γ δύναται τὸ ὑπὸ τῶν A, B· ἔστιν ἄρα ὡς ἡ A πρὸς τὴν

* In *MSS.* non reperitur.

B ὅτως

Β ἔστω τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Γ, ὡς γὰρ ἡ πρώτη πρὸς τὴν τρίτην ἔστω τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας, τοῦτο γὰρ δέδεικται ἐν τῷ πορίσματι τοῦ ιθ' τοῦ ϛ' στοιχείου. ἀσύμμετρος δὲ ἡ Α τῇ Β μήκει· ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς Α τῷ ἀπὸ τῆς Γ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς Α· ἄλογον ἄρα τὸ ἴσον τῶν Α, Β· ἄλογος ἄρα ἐστὶν ἡ Γ. μέση δὲ καλείσθω, ὅτι ἄλογος οὖσα μέσον δύο ῥητῶν τῶν Α, Β ἀνάλογόν ἐστιν.

ad Β ita quadratum ex Α ad id quod fit ex Γ quadratum, nam ut prima ad tertiam ita quadratum quod fit ex prima ad quadratum ex ſecunda, quod demonſtratum eſt in corollario prop. 28. ſexti Elementorum. incommenſurabilis autem eſt Α ipſi Β longitudine: ergo [per 10. 10.] & quadratum ex Α quadrato ex Γ eſt incommenſurabile. ſed quadratum ex Α rationale eſt: irrationale igitur eſt quod ſub rectis lineis Α, Β continetur: ergo Γ eſt irrationalis. media autem idcirco vocatur, quod irrationalis exiſtens inter ipſas Α, Β rationales media eſt proportionalis.

ΛΗΜΜΑ.

Ἐὰν ὦσι δύο εὐθεῖαι, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν οὕτως τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ὑπὸ τῶν δύο εὐθειῶν.

Ἔστωσαν δύο εὐθεῖαι αἱ ΖΕ, ΕΗ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΖΕ πρὸς τὴν ΕΗ οὕτως τὸ ἀπὸ τῆς ΖΕ πρὸς τὸ ὑπὸ τὰς ΖΕ, ΕΗ.



Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΖΕ τετράγωνον τὸ ΔΖ, καὶ συμπεπληρώσθω τὸ ΗΖ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΔΕ πρὸς τὴν ΕΗ οὕτως τὸ ΖΔ πρὸς τὸ ΖΗ, καὶ ἔστι τὸ μὲν ΖΔ τὸ ἀπὸ τῆς ΖΕ, τὸ δὲ ΖΗ τὸ ὑπὸ τὰς ΔΕ, ΕΗ, τουτέστι τὸ ὑπὸ τὰς ΖΕ, ΕΗ· ἔστιν ἄρα ὡς ἡ ΖΕ πρὸς τὴν ΕΗ οὕτως τὸ ἀπὸ τῆς ΖΕ πρὸς τὸ ὑπὸ τὰς ΖΕ, ΕΗ. ὁμοίως δὲ καὶ ὡς τὸ ὑπὸ τὰς ΗΕ, ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΕΖ, τουτέστιν ὡς τὸ ΗΖ πρὸς τὸ ΔΖ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ.

LEMMA.

Si ſint duæ rectæ lineæ, erit ut prima ad ſecundam ita quadratum quod fit à prima ad rectangulum quod ſub duabus rectis lineis continetur.

Sint duæ rectæ lineæ ΖΕ, ΕΗ: dico ut ΖΕ ad ΕΗ ita eſſe quadratum ex ΖΕ ad rectangulum ſub ΖΕ, ΕΗ.

Deſcribatur ex ΖΕ quadratum ΔΖ, & ΗΖ compleatur. quoniam igitur [per 1. 6.] eſt ut ΔΕ ad ΕΗ ita ΖΔ ad ΖΗ, atque eſt ΖΔ quidem quadratum ex ΖΕ, ΖΗ vero quod ſub ΔΕ, ΕΗ continetur, hoc eſt rectangulum ſub ΖΕ, ΕΗ: erit ut ΖΕ ad ΕΗ ita quadratum ex ΖΕ ad rectangulum ſub ΖΕ, ΕΗ. ſimiliter autem & ut rectangulum ſub ΗΕ, ΕΖ ad quadratum ex ΕΖ, hoc eſt ut ΗΖ ad ΔΖ, ita eſt ΗΕ ad ΕΖ.

ΠΡΟΤΑΣΙΣ κγ'

Τὸ ὑπὸ μέσης καὶ ῥητῆς παρεμβαλλόμενον πλάτος ποιεῖ ῥητήν, καὶ ἀσύμμετρον τῇ ἀφ' ἧς καλεῖται μήκει.

PROP. XXIII. THEOR.

Quod fit à media ad rationalem applicatum latitudinem efficit rationalem, & ei ad quam applicatum eſt longitudine incommenſurabilem.

Ἔστω μέση μὲν ἡ Α, ῥητὴ δὲ ἡ ΓΒ, καὶ τῷ ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΒΓ παραβεβλήσθω χωρίον τὸ ΒΔ πλάτος ποιοῦν τὴν ΓΔ· λέγω ὅτι ῥητή ἐστιν ἡ ΓΔ, καὶ ἀσύμμετρος τῇ ΒΓ μήκει.

SIT media quidem Α, rationalis autem ΓΒ; & ad ΓΒ ei quod fit ex Α æquale ſpatium applicetur ΒΔ latitudinem faciens ΓΔ: dico ΓΔ rationalem eſſe, & ipſi ΒΓ longitudine incommenſurabilem.

Ἐπεὶ γὰρ μέση ἐστὶν ἡ Α, δύναται χωρίον περιεχόμενον ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων. δυνάσθω τὸ ΗΖ. δύναται δὲ καὶ τὸ ΒΔ· ἴσον ἄρα ἐστὶ τὸ ΒΔ τῷ ΗΖ. ἔστι δὲ αὐτῷ καὶ ἰσογώνιον, τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΓ πρὸς τὴν ΕΗ οὕτως ἡ ΕΖ πρὸς τὴν ΓΔ· ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ἀπὸ τῆς ΕΗ οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΓΔ. σύμ-



Quoniam enim media eſt Α, [per 22. 10.] poteſt ſpatium contentum ſub rationalibus potentia ſolum commenſurabilibus. poſſit ΗΖ. ſed poteſt & ΒΔ: æquale igitur eſt ΒΔ ipſi ΗΖ. atque eſt illi æquiangulum, æqualium autem & æquiangulorum parallelogrammorum latera quæ circum æquales angulos [per 14. 6.] ſunt reciproce proportionalia: ergo ut recta ΒΓ ad ΕΗ rectam ita eſt ΕΖ ad ΓΔ: eſt igitur & ut quadratum ex ΒΓ ad quadratum ex ΕΗ ita [per 22. 6.] quadratum ex ΕΖ ad id quod fit ex ΓΔ quadratum. ſed



quadratum ex ΒΓ commenſurabile eſt quadrato ex ΕΗ, utraque enim ipſarum eſt rationalis: commenſurabile igitur eſt [per 10. 10.] & quadratum ex ΕΖ quadrato ex ΓΔ. eſt autem quadratum ex ΕΖ rationale: ergo & rationale eſt quadratum ex ΓΔ; ac propterea recta linea ΓΔ eſt rationalis. itaque quoniam ΖΕ incommenſurabilis eſt ipſi ΕΗ longitudine, potentia enim ſolum [per 22. 10.] commenſurabiles ſunt, ut autem ΖΕ ad ΕΗ ita [per lem. præc.] quadratum ex ΕΖ ad rectangulum ſub ΖΕ, ΕΗ: erit [per 10. 10.] quadratum ex ΕΖ incommenſurabile rectangulo ſub ΖΕ, ΕΗ. ſed quadrato quidem ex ΕΖ commenſurabile eſt quadratum ex ΓΔ, rationales enim ſunt potentia; rectangulo vero ſub ΕΖ, ΕΗ eſt commenſurabile rectangulum ſub ΔΓ, ΓΒ, utrumque enim eſt æquale quadrato ex Α: ergo [per 13. 10.] quadratum ex ΓΔ incommenſurabile eſt rectangulo ſub ΔΓ, ΓΒ. ſed ut quadratum ex ΓΔ ad rectangulum ſub ΔΓ, ΓΒ ita eſt [per lem. præc.] ΔΓ ad ΓΒ: ergo ΔΓ ipſi ΓΒ incommenſurabilis eſt longitudine; & [per 6. def. 10.] ob id ΔΓ eſt rationalis & ipſi ΓΒ longitudine incommenſurabilis. quod erat demonſtrandum.

μετρον δέ ἐστι τὸ ἀπὸ τῆς ΒΓ τῷ ἀπὸ τῆς ΕΗ, ῥητὴ γάρ ἐστιν ἑκατέρα αὐτῶν· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τ ΕΖ τῷ ἀπὸ τῆς ΓΔ. ῥητὸν δέ ἐστι τὸ ἀπὸ τῆς ΕΖ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΓΔ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΔ. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΖ τῇ ΕΗ μήκει, δυνάμει γὰρ μόνον εἰσὶ σύμμετροι, ὡς δὲ ἡ ΕΖ πρὸς τὴν ΕΗ ἕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ὑπὸ τῶν ΖΕ, ΕΗ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΕΖ τῷ ὑπὸ τῶν ΖΕ, ΕΗ. ἀλλὰ τῷ μὲν ἀπὸ τ ΕΖ σύμμετρον τὸ ἀπὸ τῆς ΓΔ, ῥητὴ γάρ ἐστι δυνάμει, τῷ δὲ ὑπὸ τῶν ΖΕ, ΕΗ σύμμετρόν ἐστι τὸ ὑπὸ τῶν ΔΓ, ΓΒ, ἴσον γὰρ ἐστὶ τῷ ἀπὸ τῆς Α· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΓΔ τῷ ὑπὸ τῶν ΔΓ, ΓΒ περιεχομένῳ. ὡς δὲ τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ὑπὸ τῶν ΔΓ, ΓΒ ἕτως ἐστὶν ἡ ΔΓ πρὸς τὴν ΓΒ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΓ τῇ ΓΒ μήκει· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΔ καὶ ἀσύμμετρος τῇ ΓΒ μήκει. ὅπερ ἔδει δεῖξαι.



Prop. XXIV. Theor.

Mediæ commenſurabilis media eſt.

SIT media Α, & ipſi Α commenſurabilis ſit Β: dico & Β mediam eſſe.

Exponatur enim rationalis ΓΔ, & quadrato quidem ex Α æquale ad ΓΔ applicetur ſpatium rectangulum ΓΕ latitudinem efficiens ΕΔ: rationalis igitur eſt ΕΔ [per 23. 10.] & ipſi ΓΔ longitudine incommenſurabilis. quadrato autem ex Β æquale ad ΔΓ applicetur ſpatium rectangulum ΓΖ latitudinem efficiens ΔΖ. quoniam igitur Α commenſurabilis eſt ipſi Β, erit [per cor. 9. 10.] quadratum ex Α quadrato ex Β commenſurabile. ſed [per conſtr.] quadrato quidem ex Α æquale eſt rectangulum ΕΓ; quadrato autem ex Β æquale ΓΖ: commenſurabile igitur eſt rectangulum ΕΓ rectangulo ΓΖ. atque eſt [per 1. 6] ut ΕΓ ad ΓΖ ita ΕΔ ad ΔΖ: ergo ΕΔ ipſi ΔΖ longitudine eſt commenſurabilis eſt autem [per 23. 10.] ΕΔ rationalis, & longitudine incommenſurabilis ipſi ΔΓ: ergo [per 13. 10.] & ΔΖ rationalis eſt & ipſi ΔΓ longitudine incommenſurabilis: rationales igitur ſunt ΓΔ, ΔΖ potentia ſolum commenſurabiles. quod autem ſub rationalibus potentia ſolum commenſurabilibus rectis lineis continetur rectangulum irrationale eſt; & recta linea ipſum potens [per 22. 10.] eſt irrationalis, vocaturque



Προτασις κδ'.

Η τῇ μέσῃ σύμμετρος μέσῃ ἐστίν.

ΕΣτω μέση ἡ Α, καὶ τῇ Α σύμμετρος ἔστω ἡ Β· λέγω ὅτι καὶ ἡ Β μέση ἐστίν.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ ΓΔ, καὶ τῷ μὲν ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΕΔ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΔ, καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. τῷ δὲ ἀπὸ τῆς Β ἴσον παρὰ τὴν ΔΓ παραβεβλήσθω χωρίον ὀρθογώνιον τὸ ΓΖ πλάτος ποιοῦν τὴν ΔΖ. ἐπεὶ οὖν σύμμετρός ἐστιν ἡ Α τῇ Β, σύμμετρόν ἐστι καὶ τὸ ἀπὸ τ Α τῷ ἀπὸ τ Β. ἀλλὰ τῷ μὲν ἀπὸ τ Α ἴσον ἐστὶ τὸ ΕΓ, τῷ δὲ ἀπὸ τῆς Β ἴσον τὸ ΓΖ· σύμμετρον ἄρα ἐστὶ τὸ ΕΓ τῷ ΓΖ. καὶ ἔστιν ὡς τὸ ΕΓ πρὸς τὸ ΓΖ ἕτως ἡ ΕΔ πρὸς τὴν ΔΖ· σύμμετρος ἄρα ἐστὶν ἡ ΕΔ τῇ ΔΖ μήκει. ῥητὴ δ' ἐστὶν ἡ ΕΔ, καὶ ἀσύμμετρος τῇ ΔΓ μήκει· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΔΖ, καὶ ἀσύμμετρος τῇ ΔΓ μήκει· αἱ ΓΔ, ΔΖ ἄρα ῥηταί εἰσι, δυνάμει μόνον σύμμετροι. τὸ δὲ ὑπὸ ῥητῶν δυνάμει μόνον συμμέτρων εὐθειῶν περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστι, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστι, καλεῖται δὲ ἡ δυναμένη μέση· ἡ ἄρα

ἄρα τὸ ὑπὸ τῶν ΓΔ, ΔΖ δυναμένη μέση ἐστί, καὶ δύναται τὸ ὑπὸ τῶν ΓΔ, ΔΖ ἡ Β· μέση ἄρα ἐστὶν ἡ Β.

media: ergo recta linea quæ poteſt rectangulum ſub ΓΔ, ΔΖ eſt media. ſed Β poteſt rectangulum ſub ΓΔ, ΔΖ: quare Β media erit.

Πόρισμα.

Ἐκ δὲ τούτου φανερὸν, ὅτι τὸ τῷ μέσῳ χωρίῳ σύμμετρον μέσον ἐστίν. δύνανται γὰρ αὐτὰ εὐθεῖαι αἱ εἰσὶ δυνάμει σύμμετροι, ὧν ἡ ἑτέρα μέση· ὥστε καὶ ἡ λοιπὴ μέση ἐστίν. ὡσαύτως δὲ τοῖς ὅπὶ τῶν ῥητῶν εἰρημένοις καὶ ὅπὶ τῶν μέσων ἐξακολουθεῖ τὸ τῇ μέσῃ μήκει σύμμετρον λέγεσθαι μέσῳ, καὶ σύμμετρον αὐτῇ μὴ μόνον μήκει ἀλλὰ καὶ δυνάμει, ἁπλῶς γὰρ καθόλου αἱ μήκει σύμμετροι πάντως καὶ δυνάμει. ἐὰν δὲ τῇ μέσῃ σύμμετρός τις ᾖ δυνάμει, εἰ μὲν καὶ μήκει, λέγεται καὶ ἔστω μέση καὶ μήκει καὶ δυνάμει σύμμετροι. εἰ δὲ δυνάμει μόνον, λέγονται μέση δυνάμει μόνον σύμμετροι. * Εἰσὶ δὲ πάλιν καὶ ἄλλαι εὐθεῖαι, αἱ μήκει μὲν ἀσύμμετροί εἰσι τῇ μέσῃ, δυνάμει δὲ μόνον σύμμετροι, καὶ λέγονται πάλιν μέσαι, διὰ τὸ σύμμετροι εἶναι δυνάμει τῇ μέσῃ καὶ σύμμετροι πρὸς ἀλλήλας, καθὸ μέσαι ἄλλαι σύμμετροι πρὸς ἀλλήλας ἦσαι μήκει δηλαδὴ καὶ δυνάμει, ἢ δυνάμει μόνον. καὶ εἰ μὲν μήκει, λέγονται καὶ αὗται μέσαι μήκει σύμμετροι, ἐπομένου τῷ ὅπι καὶ δυνάμει. εἰ δὲ δυνάμει μόνον εἰσὶ σύμμετροι, λέγονται καὶ ἔστω δυνάμει μόνον σύμμετροι. [† ὅπι δὲ αἱ μέσαι σύμμετροί εἰσιν, ἔστω δεικτέον. ἐπεὶ αἱ μέσαι μέσῃ τινὶ σύμμετροί εἰσι, τὰ δὲ τῷ αὐτῷ σύμμετρα καὶ ἀλλήλοις ἐστὶ σύμμετρα· αἱ ἄρα μέσαι σύμμετροί εἰσιν.

Corollarium.

Κατασκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδεδειγμένοις· φανερὸν δὴ ὅτι ἡ τὸ ΑΓ χωρίον δυναμένη ἐστὶν ἡ ΜΞ. δεικτέον δὲ ὅτι ἡ ΜΞ ἐστὶν ἡ ῥητὸν καὶ μέσον δυναμένη. ἐπεὶ γὰρ ἀσύμμετρός ἐστιν ἡ ΑΗ τῇ ΕΗ, ἀσύμμετρόν ἐστι καὶ τὸ ΑΘ τῷ ΘΕ, τουτέστι τὸ ἀπὸ τῆς ΜΝ τῷ ἀπὸ τῆς ΝΞ· αἱ ΜΝ, ΝΞ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι. καὶ ἐπεὶ ἡ

ΑΔ ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη, καὶ ἔστω ἔλασσον αὐτῆς τμῆμα τὸ ΕΔ· σύμμετρος ἄρα ἡ ΕΔ τῇ ΑΒ μήκει. ἀλλὰ ἡ ΑΕ τῇ ΕΔ ἐστὶν ἀσύμμετρος μήκει, καὶ ἡ ΑΒ ἄρα τῇ ΑΕ ἐστὶν ἀσύμμετρος μήκει· αἱ ΒΑ, ΑΕ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ ΑΚ, τουτέστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ. καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΔΕ τῇ ΑΒ μήκει, τουτέστι τῇ ΕΚ, ἀλλὰ ἡ ΔΕ τῇ ΕΖ σύμμετρός ἐστι· καὶ ἡ ΕΖ ἄρα τῇ ΕΚ σύμμετρός ἐστι. ῥητὴ δὲ ἡ ΕΚ· ῥητὸν ἄρα καὶ τὸ ΕΛ, τουτέστι τὸ ΜΡ, τουτέστι τὸ ὑπὸ τῶν ΜΝ, ΝΞ· αἱ ΜΝ, ΝΞ ἄρα δυνάμει ἀσύμμετροί εἰσι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ ὑπ' αὐτῶν ῥητόν· ἡ ΜΞ ἄρα ῥητὸν καὶ μέσον δυναμένη ἐστί, καὶ δύναται τὸ ΑΓ χωρίον. ὅπερ ἔδει δεῖξαι.

AΔ est ex binis nominibus quinta, sitque minor ipsius portio EΔ; erit [per 5. defs. secund. 10.] EΔ ipsi AB commensurabilis longitudine. sed AE ipsi EΔ est incommensurabilis: ergo [per 13.10.] & AB incommensurabilis est longitudine ipsi AE: ac propterea BA, AE rationales sunt potentia solum commensurabiles: medium igitur [per 22. 10.] est AK, hoc est compositum ex quadratis ipsarum MN, NΞ. & quoniam ΔE commensurabilis est longitudine ipsi AB, hoc est ipsi EK, estque ΔE commensurabilis ipsi EZ: erit & EZ ipsi EK commensurabilis. rationalis autem est EK: rationale igitur est [per 20.10.] & EA, hoc est MP, hoc est parallelogrammum quod sub MN, NΞ continetur; quare MN, NΞ potentia incommensurabiles sunt, facientes compositum quidem ex ipsarum quadratis medium, quod autem sub ipsis continetur rationale: ergo [per 41. 10.] MΞ est rationale ac medium potens, & potest spatium AΓ. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ξ'.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς, καὶ τῆς ἐκ δύο ὀνομάτων ἕκτης· ἡ τὸ χωρίον δυναμένη ἄλογός ἐστιν, ἡ καλουμένη δύο μέσα δυναμένη.

PROP. LX. THEOR.

Si spatium contineatur sub rationali, & ex binis nominibus sexta; quæ spatium potest recta linea irrationalis est, quæ vocatur bina media potens.

Χωρίον γὰρ τὸ ΑΒΓΔ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΒ, καὶ τῆς ἐκ δύο ὀνομάτων ἕκτης τῆς ΑΔ, διῃρημένης εἰς τὰ ὀνόματα κατὰ τὸ Ε, ὥστε τὸ μεῖζον ὄνομα εἶναι τὸ ΑΕ· λέγω ὅτι ἡ τὸ ΑΓ δυναμένη ἡ δύο μέσα δυναμένη ἐστί.

Spatium enim ABΓΔ contineatur sub rationali AB, & ex binis nominibus sexta AΔ, quæ dividatur in nomina ad punctum E, ita ut AE sit majus nomen: dico rectam lineam, quæ potest spatium AΓ, esse bina media potentem.



Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδεδειγμένοις. φανερὸν δὴ ὅτι ἡ τὸ ΑΓ δυναμένη ἐστὶν ἡ ΜΞ, καὶ ὅτι ἀσύμμετρός ἐστιν ἡ ΜΝ τῇ ΝΞ δυνάμει. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΑ τῇ ΑΒ μήκει· αἱ ΕΑ, ΑΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ ΑΚ, τουτέστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ. πάλιν, ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΔ τῇ ΑΒ μήκει, ἀσύμμετρός ἐστι καὶ ἡ ΖΕ τῇ ΕΚ· καὶ αἱ ΖΕ, ΕΚ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ ΕΛ, τουτέστι τὸ ΜΡ, τουτέστι τὸ ὑπὸ τῶν ΜΝ, ΝΞ. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΕΑ τῇ ΕΖ, καὶ τὸ ΑΚ τῷ ΕΛ ἀσύμμετρόν ἐστιν. ἀλλὰ τὸ μὲν ΑΚ ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ, τὸ δὲ ΕΛ ἐστὶ τὸ ὑπὸ τῶν ΜΝ, ΝΞ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΜΝ, ΝΞ τῷ ὑπὸ τῶν ΜΝ, ΝΞ. καί ἐστι μέσον ἑκάτερον αὐτῶν, καὶ αἱ ΜΝ, ΝΞ δυνάμει εἰσὶν ἀσύμ-

Constituantur enim eadem quæ supra. manifestum igitur est MΞ posse spatium AΓ, & MN ipsi NΞ potentia incommensurabilem esse. & quoniam EA ipsi AB incommensurabilis est longitudine, erunt EA, AB rationales potentia solum commensurabiles: medium igitur [per 22. 10.] est AK, hoc est compositum ex quadratis ipsarum MN, NΞ. rursus, quoniam incommensurabilis est EΔ ipsi AB longitudine, erit & ZE ipsi EK longitudine incommensurabilis: ergo & ZE, EK rationales sunt potentia solum commensurabiles; ac propterea medium est EΛ, hoc est MP, hoc est quod sub MN, NΞ continetur. & quoniam EA est incommensurabilis ipsi EZ, & parallelogrammum AK parallelogrammo EΛ incommensurabile erit. sed AK quidem est compositum ex quadratis ipsarum MN, NΞ; EΛ vero est quod sub MN, NΞ continetur: incommensurabile igitur est compositum ex quadratis ipsarum MN, NΞ ei quod sub MN, NΞ continetur. atque est utrumque ipsorum medium; & MN, NΞ potentia sunt incommensurabiles:

les: ergo [per 42. 10.] MΞ est bina media potens, & potest spatium AΓ. quod erat demonstrandum.

μετροι· ἡ ΜΞ ἄρα δύο μέσα δυναμένη ἐστὶ, καὶ δύναται τὸ ΑΓ. ὅπερ ἔδει δεῖξαι.

LEMMA.

Si recta linea in partes inæquales secetur, ipsarum partium quadrata majora sunt rectangulo quod bis sub dictis partibus continetur.

Sit recta linea AB, & secetur in puncto Γ, & sit AΓ major: dico quadrata ex AΓ, ΓB majora esse rectangulo quod bis sub AΓ, ΓB continetur.



Secetur enim AB bifariam in Δ. & quoniam recta linea AB in partes quidem æquales secatur ad Δ, in partes vero inæquales ad Γ; rectangulum sub AΓ, ΓB una cum quadrato ipsius ΓΔ [per 5. 2.] est æquale ei quod fit ex AΔ quadrato: ergo rectangulum sub AΓ, ΓB quadrato ex AΔ est minus: quod igitur bis continetur sub AΓ, ΓB minus est quam duplum quadrati ex AΔ. sed [per 9. 2.] quadrata ex AΓ, ΓB dupla sunt quadratorum ex AΔ, ΔΓ: ergo quadrata ex AΓ, ΓB majora sunt eo quod bis sub AΓ, ΓB continetur. quod erat demonstrandum.

ΛΗΜΜΑ.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ εἰς ἄνισα, τὰ ἀπὸ τῶν ἀνίσων τετράγωνα μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν ἀνίσων περιεχομένου ὀρθογωνίου.

Ἐστω εὐθεῖα ἡ AB, καὶ τετμήσθω εἰς ἄνισα κατὰ τὸ Γ, καὶ ἔστω μείζων ἡ AΓ· λέγω ὅτι τὰ ἀπὸ τῶν AΓ, ΓB μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν AΓ, ΓB.

Τετμήσθω γὰρ ἡ AB δίχα κατὰ τὸ Δ. ἐπεὶ οὖν εὐθεῖα γραμμὴ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Δ, εἰς δὲ ἄνισα κατὰ τὸ Γ· τὸ ἄρα ὑπὸ τῶν AΓ, ΓB μετὰ τοῦ ἀπὸ τῆς ΓΔ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΔ· ὥστε τὸ ὑπὸ τῶν AΓ, ΓB ἔλαττόν ἐστι τοῦ ἀπὸ τῶν AΔ· τὸ ἄρα δὶς ὑπὸ τῶν AΓ, ΓB ἔλαττόν ἐστι τοῦ διπλασίου τοῦ ἀπὸ τῆς AΔ. ἀλλὰ τὰ ἀπὸ τῶν AΓ, ΓB διπλάσιά ἐστι τῶν ἀπὸ τῶν AΔ, ΔΓ· τὰ ἄρα ἀπὸ τῶν AΓ, ΓB μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν AΓ, ΓB. ὅπερ ἔδει δεῖξαι.

PROP. LXI. THEOR.

Quadratum ejus quæ est ex binis nominibus ad rationalem applicatum latitudinem facit ex binis nominibus primam.

ΠΡΟΤΑΣΙΣ ξα'.

Τὸ ἀπὸ τῆς ἐκ δύο ὀνομάτων παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων πρώτην.

SIT ex binis nominibus AB divisa in nomina ad punctum Γ, ita ut AΓ sit majus nomen, exponaturque rationalis ΔE, & quadrato rectæ lineæ AB æquale ad ipsam ΔE applicetur rectangulum parallelogrammum ΔEZH, latitudinem faciens ΔH: dico ΔH ex binis nominibus primam esse.

Applicetur enim [per 45. 1.] ad rationalem ΔE quadrato quidem ipsius AΓ æquale parallelogrammum ΔΘ, quadrato autem ipsius BΓ æquale KΛ: reliquum igitur quod bis sub AΓ, ΓB continetur [per 4. 2.] est æquale parallelogrammo MZ. secetur MH bifariam in N, & alterutri ipsarum MΛ, HZ parallela ducatur NΞ: utrumque igitur parallelogrammorum MΞ, NZ est æquale ei quod semel sub AΓ, ΓB continetur. & quoniam ex binis nominibus est AB divisa in nomina ad punctum Γ, erunt [per 37. 10.] AΓ, ΓB rationales potentia solum commensurabiles: ergo quadrata ex AΓ, ΓB rationalia sunt & commensurabilia inter sese: & ob id [per 16. 10.] compositum ex quadratis ipsarum AΓ, ΓB commensurabile est ipsarum AΓ, ΓB quadratis: rationale igitur est compositum ex quadratis ipsarum AΓ, ΓB. atq; est æquale parallelogrammo ΔΛ: ergo & ΔΛ est rationale, & ad rationalem ΔE applicatum est: rationalis igitur est ΔM [per 23. 10.]



Ἔστω ἐκ δύο ὀνομάτων ἡ AB, διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Γ, ὥστε τὸ μεῖζον ὄνομα εἶναι τὸ AΓ, καὶ ἐκκείσθω ῥητὴ ἡ ΔE, καὶ τῷ ἀπὸ τῆς AB ἴσον παρὰ τὴν ΔE παραβεβλήσθω τὸ ΔEZH, πλάτος ποιοῦν τὴν ΔH· λέγω ὅτι ἡ ΔH ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη.

Παραβεβλήσθω γὰρ παρὰ τὴν ΔE τῷ μὲν ἀπὸ τῆς AΓ ἴσον τὸ ΔΘ, τῷ δὲ ἀπὸ τῆς BΓ ἴσον τὸ KΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν AΓ, ΓB ἴσον ἐστὶ τῷ MZ. τετμήσθω ἡ MH δίχα κατὰ τὸ N, καὶ παρὰ ἑκατέραν τῶν MΛ, HΞ ἤχθω ἡ NΞ· ἑκατέρα ἄρα τῶν MΞ, NZ ἴσον ἐστὶ τῷ ἡμίσει τοῦ δὶς ὑπὸ τῶν AΓ, ΓB. καὶ ἐπεὶ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ AB διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Γ· αἱ AΓ, ΓB ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· τὰ ἄρα ἀπὸ τῶν AΓ, ΓB ῥητά ἐστι καὶ σύμμετρα ἀλλήλοις· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AΓ, ΓB σύμμετρόν ἐστι τοῖς ἀπὸ τῶν AΓ, ΓB· ῥητὸν ἄρα ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AΓ, ΓB. καὶ ἔστιν ἴσον τῷ ΔΛ· ῥητὸν ἄρα ἐστὶ τὸ ΔΛ, καὶ παρὰ ῥητὴν τὴν ΔE παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΔM, καὶ

σύμμετρος

σύμμετρος τῇ ΔΕ μήκει. πάλιν, ἐπεὶ αἱ ΑΓ, ΓΒ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· μέσον ἄρα ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, τουτέστι τὸ ΜΖ. καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΗ, καὶ ἀσύμμετρος τῇ ΜΛ, τουτέστι τῇ ΕΔ, μήκει. ἔστι δὲ καὶ ἡ ΜΔ ῥητή, καὶ τῇ ΔΕ μήκει σύμμετρος· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΜΗ μήκει. καί εἰσι ῥηταί· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστίν. δεικτέον δὴ ὅτι καὶ πρώτη. ἐπεὶ γὰρ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· καὶ τῶν ΔΘ, ΚΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΜΞ· ἔστιν ἄρα ὡς τὸ ΔΘ πρὸς τὸ ΜΞ οὕτως τὸ ΜΞ πρὸς τὸ ΚΛ, τουτέστιν ὡς ἡ ΔΚ πρὸς τὴν ΜΝ οὕτως ἡ ΜΝ πρὸς τὴν ΜΚ· τὸ ἄρα ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ, σύμμετρόν ἐστι καὶ τὸ ΔΘ τῷ ΚΛ· ὥστε καὶ ἡ ΔΚ τῇ ΚΜ σύμμετρός ἐστι μήκει. καὶ ἐπεὶ μείζονά ἐστι τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ· μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ ΜΖ· ὥστε καὶ ἡ ΔΜ τῆς ΜΗ μείζων ἐστί. καὶ ἔστιν ἴσον τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ τῷ ἀπὸ τῆς ΜΝ, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΜΗ, ᾗ σύμμετρος ἡ ΔΚ τῇ ΚΜ μήκει. ἐὰν δὲ ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάττονος ἴσον παρὰ τὴν μείζονα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ εἰς σύμμετρα αὐτὴν διαιρῇ, ἡ μεῖζων τὸ ἐλάσσονος μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καί εἰσι ῥηταὶ αἱ ΔΜ, ΜΗ, καὶ ἡ ΔΜ μεῖζον ὄνομα ἔστι σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη. ὅπερ ἔδει δεῖξαι.

& ipſi ΔΕ commenſurabilis longitudine. rurſus, quoniam ΑΓ, ΓΒ rationales ſunt potentia ſolum commenſurabiles, medium eſt quod bis ſub ΑΓ, ΓΒ continetur, hoc eſt rectangulum ΜΖ. & ad rationalem ΜΛ applicatum eſt: rationalis igitur eſt ΜΗ [per 23. 10.] & ipſi ΜΛ, hoc eſt ipſi ΕΔ, longitudine incommenſurabilis. eſt autem & ΜΔ rationalis, & ipſi ΔΕ commenſurabilis longitudine: ergo [per 13. 10.] ΔΜ ipſi ΜΗ longitudine eſt incommenſurabilis. ſuntque rationales: ergo ΔΜ, ΜΗ rationales ſunt potentia ſolum commenſurabiles; ac propterea [per 37. 10.] ΔΗ eſt ex binis nominibus. oſtendendum eſt & primam eſſe. quoniam enim inter quadrata ex ΑΓ, ΓΒ [per lem. 55. 10.] medium proportionale eſt, quod ſub ΑΓ, ΓΒ continetur, erit etiam inter parallelogramma ΔΘ, ΚΛ medium proportionale ΜΞ: eſt igitur ut ΔΘ ad ΜΞ ita ΜΞ ad ΚΛ, hoc eſt [per 1. 6.] ut recta linea ΔΚ ad ΜΝ ita ΜΝ ad ΜΚ: ergo [per 17. 6.] rectangulum ſub ΔΚ, ΚΜ quadrato ex ΜΝ eſt æquale. & quoniam quadratum ex ΑΓ commenſurabile eſt quadrato ex ΓΒ, erit [per 14. 10.] & parallelogrammum ΔΘ parallelogrammo ΚΛ commenſurabile: ergo & ΔΚ ipſi ΚΜ longitudine eſt commenſurabilis. quod cum quadrata ex ΑΓ, ΓΒ majora ſint [per lem. præc.] eo quod bis ſub ΑΓ, ΓΒ continetur; erit & parallelogrammum ΔΛ majus parallelogrammo ΜΖ: ideoque recta linea ΔΜ ipſa ΜΗ eſt major. atque eſt rectangulum ſub ΔΚ, ΚΜ æquale quadrato ex ΜΝ, hoc eſt quartæ parti quadrati ex ΜΗ, & ΔΚ ipſi ΚΜ longitudine eſt commenſurabilis. ſi autem ſint duæ rectæ lineæ inæquales, & quartæ parti quadrati minoris æquale parallelogrammum ad majorem applicetur, deficiens figura quadrata, & in partes commenſurabiles ipſam dividat, major plus poterit [per 18. 10.] quam minor quadrato rectæ lineæ ſibi commenſurabilis longitudine. ſuntque rationales ΔΜ, ΜΗ; atque ΔΜ, quæ eſt majus nomen, expoſitæ rationali ΔΕ longitudine eſt commenſurabilis: ergo [per 1. deff. ſecund. 10.] ΔΗ eſt ex binis nominibus prima. quod erat demonſtrand.

ΠΡΟΤΑΣΙΣ ξϚ'.

Τὸ ἀπὸ ἐκ δύο μέσων πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων δευτέραν.

PROP. LXII. PROBL.

Quadratum ejus quæ eſt ex binis mediis prima ad rationalem applicatum latitudinem facit ex binis nominibus ſecundam.

Ἔστω ἐκ δύο μέσων πρώτη ἡ ΑΒ, διῃρημένη εἰς τὰ μέσα κατὰ τὸ Γ, ὧν μεῖζον ἡ ΑΓ, καὶ ἐκκείσθω ῥητὴ ἡ ΔΕ, καὶ παραβεβλήσθω παρὰ τὴν ΔΕ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παραλληλόγραμμον τὸ ΔΖ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα.

Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς πρὸ τούτου. καὶ ἐπεὶ ἡ ΑΒ ἐκ δύο μέσων ἐστὶ πρώτη, διῃρημένη κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι· ὥστε καὶ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ μέσα ἐστί· μέσον ἄρα τὸ ΔΛ, καὶ παρὰ ῥητὴν παράκειται· ῥητὴ ἄρα

Sit ex binis mediis prima ΑΒ, diviſa in medias ad punctum Γ, quarum ΑΓ ſit major, exponaturque rationalis ΔΕ, & ad ipſam ΔΕ applicetur parallelogrammum æquale quadrato ipſius ΑΒ, quod ſit ΔΖ, latitudinem faciens ΔΗ: dico ΔΗ ex binis nominibus ſecundam eſſe.

Conſtruantur enim eadem quæ ſupra. & quoniam ΑΒ ex binis mediis eſt prima, diviſa ad punctum Γ, erunt [per 38. 10.] ΑΓ, ΓΒ mediæ potentia ſolum commenſurabiles, quæ rationale continent: quare & quæ fiunt ex ΑΓ, ΓΒ quadrata media ſunt; ideoque ΔΛ eſt medium, & ad rationalem applicatum eſt: rationalis igi-

tur eſt [per 23. 10.] ΜΔ, & ipſi ΔΕ longitudine incommenſurabilis. rurſus, quoniam rationale eſt quod bis ſub ΑΓ, ΓΒ continetur, erit & ΜΖ rationale, & ad rationalem ΜΛ applicatum eſt: ergo [per 21. 10.] & ΜΗ eſt rationalis, & ipſi ΜΛ, hoc eſt ipſi ΔΕ, commenſurabilis longitudine: incommenſurabilis igitur eſt [per 13. 10.] ΔΜ ipſi ΜΗ. & ſunt rationales: quare ΔΜ, ΜΗ rationales ſunt potentia ſolum commenſurabiles; ac propterea ΔΗ eſt ex binis nominibus. oſtendendum eſt & ſecundam eſſe. quoniam enim [per lem. 61. 10.] quadrata ex ΑΓ, ΓΒ majora ſunt eo quod bis ſub ΑΓ, ΓΒ continetur, erit & ΔΛ parallelogrammum parallelogrammo ΜΖ majus: ergo & recta linea ΔΜ major eſt ipſa ΜΗ. quod cum quadratum ex ΑΓ quadrato ex ΓΒ ſit commenſurabile, & ΔΘ parallelogrammum parallelogrammo ΚΛ commenſurabile erit: quare & ΔΚ commenſurabilis ipſi ΚΜ. atque eſt [per conſtr.] quod ſub ΔΚ, ΚΜ continetur quadrato ipſius ΜΝ æquale: ergo [per 18. 10.] ΔΜ plus poteſt quam ΜΗ quadrato rectæ lineæ ſibi longitudine commenſurabilis. eſtque ΜΗ commenſurabilis longitudine ipſi ΔΕ; quare [per 2. deff. ſecund. 10.] ΔΗ eſt ex binis nominibus ſecunda. quod erat demonſtrandum.



ἐστὶν ἡ ΜΔ, ᾗ ἀσύμμετρος τῇ ΔΕ μήκει. πάλιν, ἐπεὶ ῥητὸν ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, ῥητὸν καὶ τὸ ΜΖ, καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΗ, καὶ μήκει σύμμετρος τῇ ΜΛ, τουτέστι τῇ ΔΕ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΜΗ μήκει. καί εἰσι ῥηταί· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. δεικτέον δὴ ὅτι καὶ δευτέρα. ἐπεὶ γὰρ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ μείζονά ἐστι τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ· μεῖζον ἄρα καὶ τὸ ΔΛ τοῦ ΜΖ, ὥστε καὶ ἡ ΔΜ τῆς ΜΗ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ, σύμμετρόν ἐστι καὶ τὸ ΔΘ τῷ ΚΛ· ὥστε καὶ ἡ ΔΚ τῇ ΚΜ σύμμετρός ἐστι. καὶ ἔστι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον τῷ ἀπὸ τῆς ΜΝ· ἡ ΔΜ ἄρα τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἐστιν ἡ ΜΗ σύμμετρος τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα. ὅπερ ἔδει δεῖξαι.

Prop. LXIII. Theor.

Quadratum ejus quæ eſt ex binis mediis ſecunda ad rationalem applicatum latitudinem facit ex binis nominibus tertiam.

ΠΡΟΤΑΣΙΣ ξγ'.

Τὸ ἀπὸ τῆς ἐκ δύο μέσων δευτέρας ἐφ' ῥητὴν παραλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τρίτην.

SIT ex binis mediis ſecunda ΑΒ, diviſa in medias ad Γ, ita ut ΑΓ ſit major portio, rationalis autem ſit ΔΕ, & ad ipſam ΔΕ quadrato ex ΑΒ æquale parallelogrammum ΔΖ applicetur, latitudinem faciens ΔΗ: dico ΔΗ ex binis nominibus tertiam eſſe.

Conſtruantur enim eadem quæ ſupra. & quoniam ΑΒ eſt ex binis mediis ſecunda, diviſa ad punctum Γ, erunt [per 39. 10.] ΑΓ, ΓΒ mediæ potentia ſolum commenſurabiles, quæ medium continent: ergo & compoſitum ex ipſarum ΑΓ, ΓΒ quadratis medium eſt. atque eſt æquale ipſi ΔΛ: medium igitur eſt ΔΛ; & ad rationalem ΔΒ applicatur: ergo [per 23. 10.] rationalis eſt ΜΔ, & ipſi ΔΕ longitudine incommenſurabilis. eadem ratione & ΜΗ eſt rationalis, & incommenſurabilis ipſi ΜΛ, hoc eſt ipſi ΔΕ: utraque igitur ipſarum ΔΜ, ΜΗ rationalis eſt, & ipſi ΔΕ longitudine incommenſurabilis. & quoniam incommenſurabilis eſt ΑΓ ipſi ΓΒ longitudine, ut autem ΑΓ ad ΓΒ ita [per 1. 6.] quadratum ex ΑΓ ad rectangulum ſub ΑΓ, ΓΒ; erit & quadratum ex



Ἔστω ἐκ δύο μέσων δευτέρα ἡ ΑΒ, διῃρημένη εἰς τὰς μέσας κατὰ τὸ Γ, ὥστε τὸ μεῖζον τμῆμα εἶναι τὸ ΑΓ, ῥητὴ δέ τις ἔστω ἡ ΔΕ, καὶ παρὰ τὴν ΔΕ τῷ ἀπὸ τῆς ΑΒ ἴσον ὠφαλλήλογραμμον ὠφαβεβλήσθω τὸ ΔΖ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶ τρίτη.

Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδεδειγμένοις. καὶ ἐπεὶ ἐκ δύο μέσων δευτέρα ἐστὶν ἡ ΑΒ, διῃρημένη κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, μέσον περιέχουσαι· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ μέσον ἐστί. καὶ ἔστιν ἴσον τῷ ΔΛ· μέσον ἄρα καὶ τὸ ΔΛ· καὶ παράκειται παρὰ ῥητὴν τὴν ΔΕ· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΔ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΜΗ ῥητή ἐστι, καὶ ἀσύμμετρος τῇ ΜΛ, τουτέστι τῇ ΔΕ μήκει· ῥητὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ΔΜ, ΜΗ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΑΓ τῇ ΓΒ μήκει, ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ οὕτως τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ὑπὸ τὰς ΑΓ, ΓΒ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ

τῆς

τῆς ΑΓ τῷ ὑπὸ τῶν ΑΓ, ΓΒ· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἀσύμμετρόν ἐστι, τουτέστι τὸ ΔΛ τῷ ΜΖ· ὥστε ἡ ΔΜ τῇ ΜΗ ἀσύμμετρός ἐστι. καί εἰσι ῥηταί· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. δεικτέον δὴ ὅτι καὶ τρίτη. ὁμοίως δὴ τοῖς πρότερον ἐπιλογισόμεθα, ὅτι μείζων ἡ ΔΜ τῆς ΜΗ, καὶ σύμμετρος ἡ ΔΚ τῇ ΚΜ. καὶ ἔστι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον τῷ ἀπὸ τῆς ΜΝ· ἡ ΔΜ ἄρα τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἑκατέρα τῶν ΔΜ, ΜΗ σύμμετρός ἐστι τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ τρίτη. ὅπερ ἔδει δεῖξαι.

ΑΓ rectangulo ſub ΑΓ, ΓΒ incommenſurabile: ergo compoſitum ex quadratis ipſarum ΑΓ, ΓΒ incommenſurabile eſt ei quod bis ſub ΑΓ, ΓΒ continetur; hoc eſt ΔΛ incommenſurabile ipſi ΜΖ: & ob id recta linea ΔΜ ipſi ΜΗ eſt incommenſurabilis. ſuntque rationales: ergo ΔΗ eſt ex binis nominibus. oſtendendum eſt & tertiam eſſe. ſimiliter enim [atque in præced.] concludemus ΔΜ ipſa ΜΗ majorem eſſe, & ΔΚ ipſi ΚΜ commenſurabilem. atque eſt rectangulum ſub ΔΚ, ΚΜ quadrato ipſius ΜΝ æquale: ergo [per 18. 10.] ΔΜ plus poteſt quam ΜΗ quadrato rectæ lineæ ſibi commenſurabilis longitudine. & neutra ipſarum ΔΜ, ΜΗ eſt longitudine commenſurabilis ipſi ΔΕ: quare [per 3. deff. ſecund. 10.] ΔΗ eſt ex binis nominibus tertia. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ξδ'.

Τὸ ἀπὸ ῥητῆς μείζονος παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τετάρτην.

PROP. LXIV. THEOR.

Quadratum majoris ad rationalem applicatum latitudinem facit ex binis nominibus quartam.

Ἔστω μείζων ἡ ΑΒ, διῃρημένη κατὰ τὸ Γ, ὥστε μείζονα εἶναι τὴν ΑΓ τῆς ΓΒ, ῥητὴ δέ τις ἔστω ἡ ΔΕ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΔΕ παραβεβλήσθω τὸ ΔΖ παραλληλόγραμμον, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶ τετάρτη.

SIT major ΑΒ, diviſa in puncto Γ, ita ut ΑΓ major ſit quam ΓΒ; rationalis autem quædam ſit ΔΕ, & quadrato ex ΑΒ æquale ad ipſam ΔΕ applicetur parallelogrammum ΔΖ, latitudinem faciens ΔΗ: dico ΔΗ eſſe ex binis nominibus quartam.

Κατασκευάσθω γὰρ τὰ αὐτὰ τοῖς προδεδειγμένοις. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ΑΒ διῃρημένη κατὰ τὸ Γ, αἱ ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ ὑπ' αὐτῶν μέσον. ἐπεὶ οὖν ῥητόν ἐστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, ῥητὸν ἄρα καὶ τὸ ΔΛ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΔΜ, καὶ σύμμετρος τῇ ΔΕ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, τουτέστι τὸ ΜΖ, καὶ παρὰ ῥητὴν τὴν ΜΛ παράκειται· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΜΗ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔΜ τῇ ΜΗ μήκει· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. δεικτέον δὴ ὅτι καὶ τετάρτη. ὁμοίως δὴ τοῖς πρότερον ἐπιλογισόμεθα, ὅτι μείζων ἐστὶν ἡ ΔΜ τῇ ΜΗ, καὶ ὅτι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. ἐπεὶ οὖν ἀσύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τῷ ἀπὸ τῆς ΓΒ· ἀσύμμετρον ἄρα καὶ τὸ ΔΘ τῷ ΚΛ· ὥστε καὶ ἡ ΚΔ τῇ ΚΜ ἀσύμμετρός ἐστιν. ἐὰν δὲ ὦσι δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος ἴσον παραλληλόγραμμον παρὰ τὴν μείζονα παραβληθῇ



Conſtruantur enim eadem quæ ſupra. & quoniam ΑΒ eſt major diviſa in Γ, erunt [per 40. 10.] ΑΓ, ΓΒ potentia incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium. itaque quoniam rationale eſt compoſitum ex quadratis ipſarum ΑΓ, ΓΒ, erit & parallelogrammum ΔΛ rationale: ergo [per 21. 10.] & rationalis eſt recta linea ΔΜ, ipſique ΔΕ longitudine commenſurabilis. rurſus, quoniam medium eſt quod bis ſub ΑΓ, ΓΒ continetur, hoc eſt ΜΖ, & ad rationalem ΜΛ eſt applicatum, erit [per 23. 10.] & ΜΗ rationalis, & ipſi ΔΕ incommenſurabilis longitudine: ergo & ΔΜ ipſi ΜΗ longitudine incommenſurabilis eſt; ac propterea ΔΜ, ΜΗ rationales ſunt potentia ſolum commenſurabiles: quare [per 37. 10.] ex duobus nominibus eſt ΔΗ. oſtendendum eſt & quartam eſſe. ſimiliter enim atque in ſuperioribus concludemus ΔΜ majorem eſſe quam ΜΗ, & rectangulum ſub ΔΚ, ΚΜ quadrato ex ΜΝ æquale. quoniam igitur quadratum ex ΑΓ incommenſurabile eſt quadrato ex ΓΒ, erit [per 10. 10.] & ΔΘ parallelogrammum incommenſurabile parallelogrammo ΚΛ: & ob id recta linea ΚΔ ipſi ΚΜ incommenſurabilis. ſi autem ſint duæ rectæ lineæ inæquales, & quartæ parti quadrati minoris æquale parallelogrammum ad majorem applicetur,

tur, deficiens figura quadrata, & in partes longitudine incommenſurabiles ipſam dividat, [per 19. 10.] major plus poterit quam minor quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis: ergo Δ M plus poteſt quam M H quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine. ſuntque Δ M, M H rationales potentia ſolum commenſurabiles, atque eſt Δ M commenſurabilis expoſitæ rationali Δ E: quare [per 4. deff. ſecund. 10.] Δ H eſt ex binis nominibus quarta. quod erat demonſtrandum.

Prop. LXV. Theor.

Quadratum ejus quæ rationale ac medium poteſt ad rationalem applicatum latitudinem facit ex binis nominibus quintam.

SIT rationale ac medium potens A B, diviſa in rectas lineas ad punctum Γ, ita ut A Γ ſit major; exponaturque rationalis Δ E, & quadrato ipſius A B æquale parallelogrammum Δ Z ad ipſam Δ E applicetur, latitudinem faciens Δ H: dico Δ H eſſe ex binis nominibus quintam.

Conſtruantur enim quæ ſupra. & quoniam rationale ac medium potens eſt A B, diviſa ad Γ punctum, erunt [per 41. 10.] A Γ Γ B potentia incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis medium, quod autem ſub ipſis continetur rationale. quoniam igitur medium eſt compoſitum ex ipſarum A Γ, Γ B quadratis, erit & parallelogrammum Δ Λ medium: ideoque [per 23. 10.] recta linea Δ M rationalis eſt, & ipſi Δ E longitudine incommenſurabilis. rurſus, quoniam rationale eſt quod bis ſub A Γ, Γ B continetur, hoc eſt parallelogrammum M Z; erit [per 21. 10.] M H rationalis, & ipſi Δ E longitudine commenſurabilis: incommenſurabilis igitur eſt [per 13. 10.] Δ M ipſi M H: quare Δ M, M H rationales ſunt potentia ſolum commenſurabiles; ac propterea [per 37. 10.] Δ H eſt ex binis nominibus. dico & quintam eſſe. ſimiliter enim demonſtrabitur rectangulum ſub Δ K, K M quadrato ex M N eſſe æquale; & Δ K ipſi K M longitudine eſſe incommenſurabilem: quare [per 19. 10.] Δ M plus poteſt quam M H quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine. ſuntque Δ M, M H rationales potentia ſolum commenſurabiles, & minor M H commenſurabilis eſt ipſi Δ E longitudine: ergo [per 5. deff. ſecund. 10.] Δ H eſt ex binis nominibus quinta. quod erat demonſtrandum.



Prop. LXVI. Theor.

Quadratum ejus quæ bina media poteſt ad rationalem applicatum latitudinem facit ex binis nominibus ſextam.

SIT bina media potens A B, diviſa ad punctum Γ, rationalis autem ſit Δ E, & ad ipſam

ΠΡΟΤΑΣΙΣ ξε'.

Τὸ ἀπὸ τῆς ῥητὸν καὶ μέσον δυναμένης χωρὶς ῥητὰ χωρὶς καὶ μόνα δυναμένων πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων πέμπτην.

ΕΣτω ῥητὸν καὶ μέσον δυναμένη ἡ A B, διῃρημένη εἰς τὰς εὐθείας κατὰ τὸ Γ, ὥστε μείζονα εἶναι τὴν A Γ, καὶ ἐκκείσθω ῥητὴ ἡ Δ E, καὶ τῷ ἀπὸ τῆς A B ἴσον παρὰ τὴν Δ E παραβεβλήσθω τὸ Δ Z, πλάτος ποιοῦν τὴν Δ H· λέγω ὅτι ἡ Δ H ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη.

Κατεσκευάσθω γὰρ τὰ αὐτὰ τοῖς πρὸ τούτου. ἐπεὶ οὖν ῥητὸν καὶ μέσον δυναμένη ἐστὶν ἡ A B, διῃρημένη κατὰ τὸ Γ· αἱ A Γ, Γ B ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δ' ὑπ' αὐτῶν ῥητόν. ἐπεὶ οὖν μέσον ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν A Γ, Γ B· μέσον ἄρα ἐστὶ καὶ τὸ Δ Λ· ὥστε ῥητή ἐστιν ἡ Δ M, καὶ μήκει ἀσύμμετρος τῇ Δ E. πάλιν, ἐπεὶ ῥητόν ἐστι τὸ δὶς ὑπὸ τῶν A Γ, Γ B, τουτέστι τὸ M Z· ῥητὴ ἄρα ἐστὶν ἡ M H, καὶ σύμμετρος τῇ Δ E μήκει· ἀσύμμετρος ἄρα ἡ Δ M τῇ M H· αἱ Δ M, M H ἄρα ῥηταὶ εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ Δ H. λέγω δὴ ὅτι καὶ πέμπτη. ὁμοίως γὰρ δειχθήσεται ὅτι τὸ ὑπὸ τῶν Δ K, K M ἴσον ἐστὶ τῷ ἀπὸ τῆς M N, καὶ ἀσύμμετρος ἡ Δ K μήκει τῇ K M· ἡ Δ M ἄρα τῆς M H μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ Δ M, M H ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ ἡ ἐλάττων ἡ M H σύμμετρος τῇ Δ E μήκει· ἡ Δ H ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ξϛ'.

Τὸ ἀπὸ τῆς δύο μέσα δυναμένης χωρὶς ῥητὸν καὶ χωρὶς καὶ μόνον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων ἕκτην.

ΕΣτω δύο μέσα δυναμένη ἡ A B, διῃρημένη κατὰ τὸ Γ, ῥητὴ δὲ ἔστω ἡ Δ E, καὶ παρὰ τὴν

Δ E

ΔΕ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παραβεβλήσθω τὸ ΔΖ, πλάτος ποιοῦν τὴν ΔΗ· λέγω ὅτι ἡ ΔΗ ἐκ δύο ὀνομάτων ἐστὶν ἕκτη.

Κατασκευάσθω γὰρ τὰ αὐτὰ τοῖς πρότερον. καὶ ἐπεὶ ἡ ΑΒ δύο μέσα δυναμένη ἐστὶ, διῃρημένη κατὰ τὸ Γ· αἱ ΑΓ, ΓΒ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων τῷ ὑπ' αὐτῶν· ὥστε καὶ τὰ παραδεδειγμένα μέσον ἐστὶν ἑκάτερον τῶν ΔΛ, ΜΖ, καὶ παρὰ ῥητὴν τὴν ΔΕ παράκεινται· ῥητὴ ἄρα ἐστὶ καὶ ἑκατέρα τῶν ΔΜ, ΜΗ, καὶ ἀσύμμετρος τῇ ΔΕ μήκει. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΔΛ τῷ ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΔΜ τῇ ΜΗ· αἱ ΔΜ, ΜΗ ἄρα ῥηταὶ εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΔΗ. λέγω ὅτι καὶ ἕκτη. ὁμοίως γὰρ πάλιν τοῖς πρὸ τούτου δείξομεν ὅτι τὸ ὑπὸ τῶν ΔΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ, καὶ ὅτι ἡ ΔΚ τῇ ΚΜ μήκει ἐστὶν ἀσύμμετρος· καὶ λοιπὰ τὰ αὐτὰ δὴ ἡ ΔΜ τῆς ΜΗ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. ἡ δὲ ἑτέρα τῶν ΔΜ, ΜΗ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΔΕ μήκει· ἡ ΔΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶν ἕκτη. ὅπερ ἔδει δεῖξαι.



ΔΕ quadrato ex ΑΒ æquale parallelogrammum ΔΖ applicetur, latitudinem faciens ΔΗ: dico ΔΗ esse ex binis nominibus sextam.

Construantur enim eadem quæ supra. & quoniam ΑΒ est bina media potens: divisa ad Γ, erunt [per 42. 10.] ΑΓ, ΓΒ potentia incommensurabiles, facientes & compositum ex ipsarum quadratis medium, & quod sub ipsis continetur medium, & adhuc incommensurabile composito ex ipsarum quadratis: ergo ex jam demonstratis medium est utrumque parallelogrammorum ΔΛ, ΜΖ, & ad rationalem ΔΕ applicata sunt: rationalis igitur est [per 23. 10.] & utraque ΔΜ, ΜΗ, & ipsi ΔΕ longitudine incommensurabilis. & quoniam compositum ex ipsarum ΑΓ, ΓΒ quadratis incommensurabile est ei quod bis sub ΑΓ, ΓΒ continetur, erit & ΔΛ parallelogrammum parallelogrammo ΜΖ incommensurabile; & idcirco [per 10. 10.] ΔΜ incommensurabilis ΜΗ: quare ΔΜ, ΜΗ rationales sunt potentia solum commensurabiles, igitur ΔΗ est ex binis nominibus. dico & sextam esse. similiter enim atque in præcedentibus rursus ostendemus rectangulum sub ΔΚ, ΚΜ quadrato ex ΜΝ æquale, & ΔΚ ipsi ΚΜ longitudine incommensurabilem esse: ergo [per 19. 10.] ΔΜ plus potest quam ΜΗ quadrato rectæ lineæ sibi incommensurabilis longitudine. & neutra ipsarum ΔΜ, ΜΗ longitudine commensurabilis est expositæ rationali ΔΕ: quare [per 6. deff. secund. 10.] ΔΗ est ex binis nominibus sexta. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ξζ'.

Ἡ τῇ ἐκ δύο ὀνομάτων μήκει σύμμετρος καὶ αὐτὴ ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτή.

Prop. LXVII. Theor.

Ei quæ est ex binis nominibus longitudine commensurabilis & ipsa ex binis nominibus est atque ordine eadem.

Ἔστω ἐκ δύο ὀνομάτων ἡ ΑΒ, καὶ τῇ ΑΒ μήκει σύμμετρος ἔστω ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ.

Ἐπεὶ γὰρ ἐκ δύο ὀνομάτων ἐστὶν ἡ ΑΒ, διῃρήσθω εἰς τὰ ὀνόματα κατὰ τὸ Ε, καὶ ἔστω μεῖζον ὄνομα τὸ ΑΕ· αἱ ΑΕ, ΕΒ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. γεγονέτω ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΑΕ πρὸς τὴν ΓΖ· καὶ λοιπὴ ἄρα ἡ ΕΒ πρὸς λοιπὴν τὴν ΖΔ ἐστὶν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ. σύμμετρος δὲ ἡ ΑΒ τῇ ΓΔ μήκει· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ μὲν ΑΕ τῇ ΓΖ, ἡ δὲ ΕΒ τῇ ΖΔ. καί εἰσι ῥηταὶ αἱ ΑΕ, ΕΒ· ῥηταὶ ἄρα εἰσὶ καὶ αἱ ΓΖ, ΖΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΓΖ οὕτως ἡ ΕΒ πρὸς τὴν ΖΔ· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ οὕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ. αἱ δὲ ΑΕ, ΕΒ δυνάμει μόνον εἰσὶ σύμμετροι· καὶ αἱ ΓΖ, ΖΔ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. καί εἰσι ῥηταί· ἐκ δύο ἄρα ὀνομάτων



SIT ex binis nominibus ΑΒ, & ipsi ΑΒ longitudine commensurabilis sit ΓΔ: dico ΓΔ ex binis nominibus esse & ordine eandem ipsi ΑΒ.

Quoniam enim ex binis nominibus est ΑΒ, dividatur in nomina ad punctum Ε, & sit ΑΕ majus nomen: ergo [per 37. 10.] ΑΕ, ΕΒ rationales sunt potentia solum commensurabiles. fiat [per 12. 6.] ut ΑΒ ad ΓΔ ita ΑΕ ad ΓΖ: & reliqua igitur ΕΒ ad reliquam ΖΔ est [per 19. 5.] ut ΑΒ ad ΓΔ. commensurabilis autem est ΑΒ ipsi ΓΔ longitudine: ergo [per 10. 10.] & ΑΕ ipsi ΓΖ & ΕΒ ipsi ΖΔ longitudine est commensurabilis. suntque rationales ΑΕ, ΕΒ: rationales igitur sunt & ΓΖ, ΖΔ. & quoniam est ut ΑΕ ad ΓΖ ita ΕΒ ad ΖΔ, erit permutando ut ΑΕ ad ΕΒ ita ΓΖ ad ΖΔ. sunt autem ΑΕ, ΕΒ potentia solum commensurabiles: ergo & ΓΖ, ΖΔ potentia solum commensurabiles erunt. & sunt rationales: ex binis igitur nominibus [per 37. 10.]

10.] est ΓΔ. dico & ipsi AB ordine eandem esse.

Vel enim AE plus potest quam EB quadrato rectæ lineæ sibi longitudine commensurabilis, vel incommensurabilis. si quidem igitur AE plus possit quam EB quadrato rectæ sibi longitudine commensurabilis, & ΓZ plus poterit quam ZΔ [per 15. 10.] quadrato rectæ lineæ sibi commensurabilis longitudine. quod si AE sit commensurabilis expositæ rationali, & ΓZ [per 12. 10.] eidem commensurabilis erit: & ob id utraque ipsarum AB, ΓΔ ex binis nominibus est prima, hoc est ordine eadem. si vero EB sit commensurabilis expositæ rationali, & ZΔ eidem erit commensurabilis: eamque ob causam ΓΔ ipsi AB ordine eadem est, utraque enim est ex binis nominibus secunda. quod si neutra ipsarum AE, EB sit expositæ rationali commensurabilis, & neutra ipsarum ΓZ, ZΔ eidem commensurabilis erit; & utraque est tertia. at si AE plus possit quam EB quadrato rectæ lineæ sibi incommensurabilis longitudine, & ΓZ plus poterit quam ZΔ [per 15. 10.] quadrato rectæ lineæ sibi longitudine incommensurabilis. & si AE sit commensurabilis expositæ rationali, & ΓZ eidem commensurabilis erit, & est utraque quarta. quod si EB sit, & ipsa ZΔ erit, & est utraque quinta. si vero neutra ipsarum AE, EB sit, & neutra ΓZ, ZΔ expositæ rationali erit commensurabilis, & est utraque sexta.



Ergo ei quæ est ex binis nominibus longitudine commensurabilis & ipsa ex binis nominibus est & ordine eadem. quod erat demonstrandum.

PROP. LXVIII. THEOR.

Ei quæ est ex binis mediis longitudine commensurabilis & ipsa ex binis mediis est atque ordine eadem.

SIT ex binis mediis AB, & ipsi AB commensurabilis longitudine sit ΓΔ: dico ΓΔ ex binis mediis esse, & ipsi AB ordine eandem.

Quoniam enim AB ex binis mediis est, divisa in medias ad punctum E, erunt [per 38. & 39. 10.] & AE, EB mediæ potentia solum commensurabiles. itaque fiat ut AB ad ΓΔ ita AE ad ΓZ: ergo & reliqua EB ad reliquam ZΔ est ut AB ad ΓΔ. commensurabilis autem est [ex hyp.] AB ipsi ΓΔ longitudine: quare & AE ipsi ΓZ longitudine commensurabilis erit, & EB ipsi ZΔ. suntque mediæ AE, EB: mediæ igitur [per 24. 10.] & ΓZ, ZΔ. & quoniam est ut AE ad EB ita ΓZ ad ZΔ, & sunt AE, EB commensurabiles potentia solum; erunt & ΓZ, ZΔ potentia solum commensurabiles. ostensæ autem sunt & mediæ: ergo [per 38. & 39. 10.] ΓΔ est ex binis mediis. dico & ipsi AB ordine eandem esse.



Quoniam enim est ut AE ad EB ita ΓZ ad ZΔ, erit [per 11. 5. & 1. 6.] & ut quadratum ex AE ad rectangulum sub AE, EB ita quadratum ex ΓZ ad rectangulum sub ΓZ, ZΔ: quare

ἐστὶν ἡ ΓΔ. λέγω δὴ ὅτι τῇ τάξει ἐστὶν ἡ αὐτὴ τῇ AB.

Ἡ γὰρ AE τῆς EB μεῖζον δυνάται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. εἰ μὲν οὖν ἡ AE τῆς EB μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΓZ τῆς ZΔ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ AE τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἡ ΓZ σύμμετρός ἐστιν αὐτῇ· καὶ διὰ τοῦτο ἑκατέρα τῶν AB, ΓΔ ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη, τετάρτῃ τῇ τάξει ἡ αὐτή. εἰ δὲ ἡ EB σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἡ ZΔ σύμμετρός ἐστιν αὐτῇ, καὶ διὰ τοῦτο πάλιν τῇ τάξει ἡ αὐτὴ ἔσται τῇ AB, ἑκατέρα γὰρ αὐτῶν ἐστιν ἐκ δύο ὀνομάτων δευτέρα. εἰ δὲ ἑκατέρα τῶν AE, EB σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ, ἑκατέρα τῶν ΓZ, ZΔ σύμμετρος αὐτῇ ἔσται, καὶ ἐστιν ἑκατέρα τετάρτη. εἰ δὲ ἡ AE τῆς EB μεῖζον δυνάται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΓZ τῆς ZΔ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν ἡ AE σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἡ ΓZ σύμμετρός ἐστιν αὐτῇ, καὶ ἐστιν ἑκατέρα πεμπτη. εἰ δὲ ἡ EB, καὶ ἡ ZΔ, καὶ ἔσται ἑκατέρα πέμπτη. εἰ δὲ οὐδετέρα τῶν AE, EB, καὶ τῶν ΓZ, ZΔ οὐδετέρα σύμμετρος ἔσται τῇ ἐκκειμένῃ ῥητῇ, καὶ ἔσται ἑκατέρα ἕκτη.

Ὥστε ἡ τῇ ἐκ δύο ὀνομάτων μήκει σύμμετρος ἐκ δύο ὀνομάτων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτή. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ξθ'.

Ἡ τῇ ἐκ δύο μέσων μήκει σύμμετρος ἐκ δύο μέσων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτή.

ἜΣτω ἐκ δύο μέσων ἡ AB, καὶ τῇ AB σύμμετρος ἔστω μήκει ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ἐκ δύο μέσων ἐστὶ καὶ τῇ τάξει ἡ αὐτὴ τῇ AB.

Ἐπεὶ γὰρ ἐκ δύο μέσων ἐστὶν ἡ AB, διῃρημένη εἰς τὰς μέσας κατὰ τὸ E· αἱ AE, EB ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι. καὶ γεγονέτω ὡς ἡ AB πρὸς τὴν ΓΔ οὕτως ἡ AE πρὸς τὴν ΓZ· καὶ λοιπὴ ἄρα ἡ EB πρὸς λοιπὴν τὴν ZΔ ἐστὶν ὡς ἡ AB πρὸς τὴν ΓΔ. σύμμετρος δὲ ἡ AB τῇ ΓΔ μήκει· σύμμετρος ἄρα καὶ ἡ μὲν AE τῇ ΓZ, ἡ δὲ EB τῇ ZΔ. καί εἰσι μέσαι αἱ AE, EB· μέσαι ἄρα καὶ αἱ ΓZ, ZΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ AE πρὸς τὴν EB οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ, αἱ δὲ AE, EB δυνάμει μόνον εἰσὶ σύμμετροι· καὶ αἱ ΓZ, ZΔ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι. ἐδείχθησαν δὲ καὶ μέσαι· ἡ ΓΔ ἄρα ἐκ δύο μέσων ἐστί. λέγω δὴ ὅτι καὶ τῇ τάξει ἡ αὐτή ἐστι τῇ AB.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ AE πρὸς τὴν EB οὕτως ἡ ΓZ πρὸς τὴν ZΔ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς AE πρὸς τὸ ὑπὸ τῶν AE, EB οὕτως τὸ ἀπὸ τῆς ΓZ πρὸς τὸ ὑπὸ τῶν ΓZ, ZΔ· ἐναλ-

λαξ

ἄρα ὡς τὸ ἀπὸ τῆς Α Ε πρὸς τὸ ἀπὸ τῆς Γ Ζ ἕτως τὸ ὑπὸ τῶν Α Ε, Ε Β πρὸς τὸ ὑπὸ τ Γ Ζ, Ζ Δ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς Α Ε τῷ ἀπὸ τῆς Γ Ζ· σύμμετρον ἄρα καὶ τὸ ὑπὸ τ Α Ε, Ε Β τῷ ὑπὸ τῶν Γ Ζ, Ζ Δ. ἔστι δὲ ῥητὸν ἐστι τὸ ὑπὸ τῶν Α Ε, Ε Β, καὶ τὸ ὑπὸ τῶν Γ Ζ, Ζ Δ ῥητόν ἐστι· καὶ δι' ἁ τὸ ἐστιν ἐκ δύο μέσων πρώτη. ἔστι μέσον τὸ ὑπὸ τῶν Α Ε, Ε Β, μέσον καὶ τὸ ὑπὸ τῶν Γ Ζ, Ζ Δ. καί ἐστιν ἑκατέρα δυτέρα· καὶ δι' τὸ ἡ Γ Δ τῇ Α Β τῇ τάξει ἡ αὐτή. ὅπερ ἔδει δεῖξαι.

permutando ut quadratum ex Α Ε ad quadratum ex Γ Ζ ita rectangulum ſub Α Ε, Ε Β ad rectangulum ſub Γ Ζ, Ζ Δ. commenſurabile autem eſt quadratum ex Α Ε quadrato ex Γ Ζ: ergo & rectangulum ſub Α Ε, Ε Β rectangulo ſub Γ Ζ, Ζ Δ eſt commenſurabile. ſive igitur rationale eſt rectangulum ſub Α Ε, Ε Β, & rectangulum ſub Γ Ζ, Ζ Δ rationale erit; atque ob id [per 38.10.] eſt ex binis mediis prima. ſive vero medium eſt rectangulum ſub Α Ε, Ε Β, & ipſum ſub Γ Ζ, Ζ Δ erit medium. atque [per 39.10.] eſt utraque ex binis mediis ſecunda: & propterea Γ Δ ipſi Α Β ordine eadem eſt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ξθ'.

Η τῇ μείζονι σύμμετρος καὶ αὐτὴ μείζων ἐστίν.

PROP. LXIX. THEOR.

Majori commenſurabilis & ipſa major eſt.

Ἔστω μείζων ἡ Α Β, καὶ τῇ Α Β σύμμετρος ἔστω ἡ Γ Δ· λέγω ὅτι καὶ ἡ Γ Δ μείζων ἐστί.

Διῃρήθω ἡ Α Β κατὰ τὸ Ε· αἱ Α Ε, Ε Β ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τ ἀπ' αὐτῶν τετραγώνων ῥητὸν, τὸ δ' ὑπ' αὐτῶν μέσον. καὶ γεγονέτω τὰ αὐτὰ τοῖς πρότερον. καὶ ἐπεί ἐστιν ὡς ἡ Α Β πρὸς τὴν Γ Δ ἕτως ἥτε Α Ε πρὸς τὴν Γ Ζ καὶ ἡ Ε Β πρὸς τὴν Ζ Δ· καὶ ὡς ἄρα ἡ Α Ε πρὸς τὴν Γ Ζ ἕτως ἡ Ε Β πρὸς τὴν Ζ Δ. σύμμετρος δὲ ἡ Α Β τῇ Γ Δ· σύμμετρος ἄρα καὶ ἑκατέρα τῶν Α Ε, Ε Β ἑκατέρα τῶν Γ Ζ, Ζ Δ. καὶ ἐπεί ἐστιν ὡς ἡ Α Ε πρὸς τὴν Γ Ζ ἕτως ἡ Ε Β πρὸς τὴν Ζ Δ, καὶ ἐναλλὰξ ὡς ἡ Α Ε πρὸς τὴν Ε Β ἕτως ἡ Γ Ζ πρὸς τὴν Ζ Δ· καὶ συνθέντι ἄρα ὡς ἡ Α Β πρὸς τὴν Β Ε ἕτως ἡ Γ Δ πρὸς τὴν Δ Ζ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς Α Β πρὸς τὸ ἀπὸ τ Β Ε ἕτως τὸ ἀπὸ τ Γ Δ πρὸς τὸ ἀπὸ τ Δ Ζ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ὡς τὸ ἀπὸ τ Α Β πρὸς τὸ ἀπὸ τ Α Ε ἕτως τὸ ἀπὸ τ Γ Δ πρὸς τὸ ἀπὸ τ Γ Ζ· καὶ ὡς ἄρα τὸ ἀπὸ τ Α Β πρὸς τὰ ἀπὸ τ Α Ε, Ε Β ἕτως τὸ ἀπὸ τ Γ Δ πρὸς τὰ ἀπὸ τ Γ Ζ, Ζ Δ· καὶ ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τ Α Β πρὸς τὸ ἀπὸ τ Γ Δ ἕτως τὰ ἀπὸ τ Α Ε, Ε Β πρὸς τὰ ἀπὸ τ Γ Ζ, Ζ Δ. σύμμετρον δὲ τὸ ἀπὸ τ Α Β τῷ ἀπὸ τ Γ Δ· σύμμετρα ἄρα καὶ τὰ ἀπὸ τ Α Ε, Ε Β τοῖς ἀπὸ τ Γ Ζ, Ζ Δ. καὶ ἔστι τὰ ἀπὸ τ Α Ε, Ε Β ἄμα ῥητόν· καὶ τὰ ἀπὸ τ Γ Ζ, Ζ Δ ἄμα ῥητόν ἐστιν. ὁμοίως δὲ καὶ τὸ δὶς ὑπὸ τ Α Ε, Ε Β σύμμετρόν ἐστι τῷ δὶς ὑπὸ τ Γ Ζ, Ζ Δ. καὶ ἔστι μέσον τὸ δὶς ὑπὸ τ Α Ε, Ε Β· μέσον ἄρα καὶ τὸ δὶς ὑπὸ τ Γ Ζ, Ζ Δ· αἱ Γ Ζ, Ζ Δ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τ ἀπ' αὐτῶν τετραγώνων ῥητὸν, τὸ δ' ὑπ' αὐτῶν μέσον· ὅλη ἄρα ἡ Γ Δ ἄλογός ἐστιν, ἡ καλουμένη μείζων.

Ἡ ἄρα τῇ μείζονι σύμμετρος μείζων ἐστίν. ὅπερ ἔδει δεῖξαι.



SIT major Α Β: & ipſi Α Β commenſurabilis ſit Γ Δ: dico Γ Δ majorem eſſe.

Dividatur Α Β in Ε: ergo [per 40. 10.] Α Ε, Ε Β potentia ſunt incommenſurabiles, quæ faciunt compoſitum quidem ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium. & fiant eadem quæ ſupra. quoniam igitur eſt ut Α Β ad Γ Δ ita Α Ε ad Γ Ζ & Ε Β ad Ζ Δ; erit [per 11. 5.] ut Α Ε ad Γ Ζ ita Ε Β ad Ζ Δ. commenſurabilis autem eſt Α Β ipſi Γ Δ: ergo & utraque ipſarum Α Ε, Ε Β utrique Γ Ζ, Ζ Δ eſt commenſurabilis. & quoniam eſt ut Α Ε ad Γ Ζ ita Ε Β ad Ζ Δ; permutandoque ut Α Ε ad Ε Β ita Γ Ζ ad Ζ Δ, & componendo ut Α Β ad Β Ε ita Γ Δ ad Δ Ζ: ut igitur quadratum ex Α Β ad quadratum ex Β Ε ita [per 22. 6.] quadratum ex Γ Δ ad quadratum ex Δ Ζ. ſimiliter demonſtrabimus & ut quadratum ex Α Β ad quadratum ex Α Ε ita eſſe quadratum ex Γ Δ ad quadratum ex Γ Ζ: ergo & ut quadratum ex Α Β ad quadrata ex Α Ε, Ε Β ita quadratum ex Γ Δ ad quadrata ex Γ Ζ, Ζ Δ: permutando igitur ut quadratum ex Α Β ad quadratum ex Γ Δ ita quadrata ex Α Ε, Ε Β ad quadrata ex Γ Ζ, Ζ Δ. commenſurabile autem eſt quadratum ex Α Β quadrato ex Γ Δ: ergo & quadrata ex Α Ε, Ε Β quadratis ex Γ Ζ, Ζ Δ ſunt commenſurabilia. atque eſt [per 40. 10.] compoſitum ex quadratis ipſarum Α Ε, Ε Β rationale: ergo [per 9.def. 10.] & rationale erit compoſitum ex quadratis ipſarum Γ Ζ, Ζ Δ. ſimiliter autem & quod bis continetur ſub Α Ε, Ε Β commenſurabile eſt ei quod bis ſub Γ Ζ, Ζ Δ continetur. atque [per 40.10.] eſt medium quod bis continetur ſub Α Ε, Ε Β: medium igitur [per 24. 10.] eſt & quod bis ſub Γ Ζ, Ζ Δ continetur: ergo Γ Ζ, Ζ Δ potentia ſunt incommenſurabiles, facientes compoſitum ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium: tota igitur [per 40. 10.] irrationalis eſt, quæ vocatur major.

Ergo majori commenſurabilis & ipſa major eſt. quod erat demonſtrandum.

PROP.

PROP. LXX. THEOR.

Rationale ac medium potenti commensurabilis & ipsa rationale ac medium potens est.

SIT rationale ac medium potens AB: & ipsi AB commensurabilis sit ΓΔ: ostendendum est & ΓΔ rationale ac medium potentem esse.

Dividatur AB in rectas suas ad punctum E: ergo [per 41. 10.] AE, EB potentia incommensurabiles sunt, facientes compositum ex ipsarum quadratis medium; quod autem sub ipsis continetur rationale: & eadem quæ prius construantur. similiter [atque in præcedentibus] demonstrabimus ΓZ, ZΔ potentia esse incommensurabiles; & compositum ex quadratis ipsarum AE, EB commensurabile esse composito ex quadratis ipsarum ΓZ, ZΔ, quod autem continetur sub AE, EB commensurabile esse ei quod sub ΓZ, ZΔ continetur: ergo [per 24. 10.] & compositum ex quadratis ipsarum ΓZ, ZΔ est medium, quod autem continetur sub ΓZ, ZΔ rationale: & igitur [per 41. 10.] ΓΔ est rationale ac medium potens. quod erat dem.



ΠΡΟΤΑΣΙΣ ο'.

Η τῇ ῥητὸν καὶ μέσον δυναμένῃ σύμμετρος καὶ αὐτὴ ῥητὸν καὶ μέσον δυναμένη ἐστίν.

Ἔστω ῥητὸν καὶ μέσον δυναμένη ἡ AB, καὶ τῇ AB σύμμετρος ἔστω ἡ ΓΔ· δεικτέον ὅτι ἡ ΓΔ ῥητὸν καὶ μέσον δυναμένη ἐστί.

Διῃρήσθω ἡ AB εἰς τὰς εὐθείας κατὰ τὸ E· αἱ AE, EB ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δ' ὑπ' αὐτῶν ῥητόν· καὶ τὰ αὐτὰ κατεσκευάσθω τοῖς πρότερον. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ ΓZ, ZΔ δυνάμει εἰσὶν ἀσύμμετροι, καὶ σύμμετρον τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AE, EB τῷ συγκειμένῳ ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ, τὸ δὲ ὑπὸ τῶν AE, EB τῷ ὑπὸ τῶν ΓZ, ZΔ· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ τετραγώνων ἐστὶ μέσον, τὸ δ' ὑπὸ τῶν ΓZ, ZΔ ῥητόν· ῥητὸν ἄρα καὶ μέσον δυναμένη ἐστὶν ἡ ΓΔ. ὅπερ ἔδει δεῖξαι.

PROP. LXXI. THEOR.

Bina media potenti commensurabilis & ipsa bina media potens est.

SIT bina media potens AB, & ipsi AB commensurabilis sit ΓΔ: ostendendum est ΓΔ bina media potentem esse.

Quoniam enim bina media potens est AB, dividatur in rectas suas ad punctum E: quare [per 42. 10.] AB, EB potentia sunt incommensurabiles, quæ faciunt compositum ex ipsarum quadratis medium, quod autem sub ipsis continetur medium, & adhuc compositum ex quadratis ipsarum AE, EB incommensurabile rectangulo sub ipsis AE, EB: & construantur eadem quæ supra. similiter [atque supra] demonstrabimus ΓZ, ZΔ potentia incommensurabiles esse; & compositum ex quadratis ipsarum AE, EB commensurabile composito ex quadratis ipsarum ΓZ, ZΔ; quod autem sub AE, EB continetur commensurabile esse ei quod continetur sub ΓZ, ZΔ: quare [per 24. 10.] & compositum ex quadratis ipsarum ΓZ, ZΔ medium est; itemque medium quod sub ΓZ, ZΔ continetur; & adhuc incommensurabile est compositum ex quadratis ipsarum ΓZ, ZΔ rectangulo sub ipsis ΓZ, ZΔ: ergo [per 42. 10.] ΓΔ est bina media potens. quod erat demonstrandum.



ΠΡΟΤΑΣΙΣ οα'.

Η τῇ δύο μέσα δυναμένῃ σύμμετρος δύο μέσα δυναμένη ἐστίν.

Ἔστω δύο μέσα δυναμένη ἡ AB, τῇ δὲ AB σύμμετρος ἡ ΓΔ· δεικτέον δὴ ὅτι καὶ ἡ ΓΔ δύο μέσα δυναμένη ἐστίν.

Ἐπεὶ γὰρ δύο μέσα δυναμένη ἐστὶν ἡ AB, διῃρήσθω εἰς τὰς εὐθείας κατὰ τὸ E· αἱ AE, EB ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τό, τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AE, EB τετραγώνων τῷ ὑπὸ τῶν AE, EB· καὶ κατεσκευάσθω τὰ αὐτὰ τοῖς πρότερον. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ ΓZ, ZΔ δυνάμει εἰσὶν ἀσύμμετροι, καὶ σύμμετρον τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AE, EB τῷ συγκειμένῳ ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ, τὸ δὲ ὑπὸ τῶν AE, EB τῷ ὑπὸ τῶν ΓZ, ZΔ· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ τετραγώνων μέσον ἐστί, καὶ τὸ ὑπὸ τῶν ΓZ, ZΔ μέσον, καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΓZ, ZΔ τετραγώνων τῷ ὑπὸ τῶν ΓZ, ZΔ· ἡ ΓΔ ἄρα δύο μέσα δυναμένη ἐστίν. ὅπερ ἔδει δεῖξαι.

PROP. LXXII. THEOR.

Si rationale & medium componantur, quatuor irrationales fiunt, vel quæ ex binis nominibus, vel quæ ex binis

ΠΡΟΤΑΣΙΣ οβ'.

Ῥητοῦ καὶ μέσου συντιθεμένου, τέσσαρες ἄλογοι γίνονται ἤτοι ἐκ δύο ὀνομάτων ἢ ἐκ δύο

μέσων

μέσων πρώτη, ἢ μείζων, ἢ ῥητὸν καὶ μέσον δυναμένη.

mediis prima, vel major, vel rationale ac medium potens.

ΕΣτω ῥητὸν μὲν τὸ ΑΒ, μέσον δὲ τὸ ΓΔ· λέγω ὅτι ἡ τὸ ΑΔ χωρίον δυναμένη, ἤτοι ἐκ δύο ὀνομάτων ἐστὶν, ἢ ἐκ δύο μέσων πρώτη, ἢ μείζων, ἢ ῥητὸν καὶ μέσον δυναμένη.

Τὸ γὰρ ΑΒ τοῦ ΓΔ ἤτοι μεῖζόν ἐστιν, ἢ ἔλασσον. ἔστω πρότερον μεῖζον· καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ, καὶ παραβεβλήσθω παρὰ τὴν ΕΖ τῷ ΑΒ ἴσον τὸ ΕΗ, πλάτος ποιοῦν τὴν ΕΘ· τῷ δὲ ΓΔ ἴσον παρὰ τὴν ΕΖ, τουτέστι τὴν ΘΗ, παραβεβλήσθω τὸ ΘΙ πλάτος ποιοῦν τὴν ΘΚ. καὶ ἐπεὶ ῥητόν ἐστι τὸ ΑΒ, καί ἐστιν ἴσον τὸ ΕΗ· ῥητὸν ἄρα καὶ τὸ ΕΗ, καὶ παρὰ ῥητὴν τὴν ΕΖ παραβέβληται πλάτος ποιοῦν τὴν ΕΘ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμετρος τῇ ΕΖ μήκει. πάλιν, ἐπεὶ μέσον τὸ ΓΔ, καὶ ἔστιν ἴσον τὸ ΘΙ· μέσον ἄρα ἐστὶ καὶ τὸ ΘΙ, καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται, τουτέστι τὴν ΘΗ, πλάτος ποιοῦν τὴν ΘΚ· ῥητὴ ἄρα ἐστὶν ἡ ΘΚ, καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ μέσον ἐστὶ τὸ ΓΔ, ῥητὸν δὲ τὸ ΑΒ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΒ τῷ ΓΔ· ὥστε καὶ τὸ ΕΗ ἀσύμμετρόν ἐστι τῷ ΘΙ. ὡς δὲ τὸ ΕΗ πρὸς τὸ ΘΙ οὕτως ἐστὶν ἡ ΕΘ πρὸς τὴν ΘΚ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΕΘ τῇ ΘΚ μήκει· καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ΕΘ, ΘΚ ἄρα ῥηταὶ εἰσὶ δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΚ διῃρημένη κατὰ τὸ Θ. καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ ΓΔ, ἴσον δὲ τὸ μὲν ΑΒ τῷ ΕΗ, τὸ δὲ ΓΔ τῷ ΘΙ· μεῖζον ἄρα καὶ τὸ ΕΗ τοῦ ΘΙ· καὶ ἡ ΕΘ ἄρα μείζων ἐστὶ τῆς ΘΚ. ἤτοι οὖν ἡ ΕΘ τὴν ΘΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἔστω μείζων ἡ ΘΕ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ· ἡ ἄρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη, ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων πρώτης, ἡ τὸ χωρίον δυναμένη ἐκ δύο ὀνομάτων ἐστίν· ἡ ἄρα τὸ ΕΙ δυναμένη ἐκ δύο ὀνομάτων ἐστίν· ὥστε καὶ ἡ τὸ ΑΔ δυναμένη ἐκ δύο ὀνομάτων ἐστίν.

Ἀλλὰ δὴ ἔστω ἔλασσον τὸ ΑΒ τοῦ ΓΔ· καὶ τὸ ΕΗ ἄρα ἔλασσόν ἐστι τοῦ ΘΙ· ὥστε καὶ ἡ ΕΘ



SIT rationale quidem ſpatium AB, medium autem ΓΔ: dico eam, quæ poteſt ſpatium AΔ, vel eſſe ex binis nominibus, vel ex binis mediis primam, vel majorem, vel rationale ac medium potentem.

Etenim AB vel majus eſt quam ΓΔ, vel minus. ſit primum majus, exponaturque rationalis EZ, & ad ipſam applicetur parallelogrammum EH ipſi AB æquale, quod latitudinem faciat EΘ; ipſi vero ΓΔ æquale ad EZ, hoc eſt ad ΘH, applicetur ΘI latitudinem faciens ΘK. & quoniam rationale eſt AB, & ipſi eſt æquale EH, erit & EH rationale, & ad rationalem EZ applicatum eſt latitudinem faciens EΘ: ergo [per 21. 10.] EΘ eſt rationalis, & ipſi EZ longitudine commenſurabilis. rurſus, quoniam medium eſt ΓΔ, & ipſi eſt æquale ΘI, erit & ΘI medium; & ad rationalem EZ, hoc eſt ΘH, applicatum eſt latitudinem faciens ΘK: quare [per 23. 10.] ΘK eſt rationalis, & incommenſurabilis ipſi EZ longitudine. quod cum medium ſit ΓΔ, rationale autem AB; erit AB ipſi ΓΔ incommenſurabile: ergo & EH incommenſurabile eſt ipſi ΘI. ut autem EH ad ΘI ita eſt [per 1. 6.] recta linea EΘ ad ΘK: ergo EΘ ipſi ΘK longitudine eſt incommenſurabilis. & ſunt ambæ rationales: quare EΘ, ΘK rationales ſunt potentia ſolum commenſurabiles; & ob id ex binis nominibus eſt EK, diviſa ad punctum Θ. & quoniam majus eſt AB quam ΓΔ, æquale autem AB ipſi EH & ΓΔ ipſi ΘI; erit & EH quam ΘI majus: ergo & EΘ major eſt quam ΘK. vel igitur EΘ plus poteſt quam ΘK quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, vel incommenſurabilis. poſſit primum quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, & ſit major ΘE expoſitæ rationali EZ commenſurabilis: ergo [per 1. deff. ſecund. 10.] EK ex binis nominibus eſt prima, atque eſt EZ rationalis. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus prima, recta linea ſpatium potens [per 55. 10.] ex binis nominibus eſt: ergo quæ poteſt ſpatium EI eſt ex binis nominibus: quare & ea quæ poteſt ſpatium AΔ eſt ex binis nominibus. ſed EΘ plus poſſit quam ΘK quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis, & ſit major EΘ expoſitæ rationali EZ commenſurabilis longitudine: ergo [per 4. deff. ſecund. 10.] EK ex binis nominibus eſt quarta, & eſt rationalis EZ. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus quarta, recta linea ſpatium potens [per 58. 10.] irrationalis eſt, quæ major appellatur: potens igitur ſpatium EI major eſt: ergo & potens ſpatium AΔ major.



Sed ſit ſpatium AB minus quam ΓΔ: erit & EH quam ΘI minus; & ob id recta linea EΘ

minor quam recta Θ K: vel igitur K Θ plus poteſt quam E Θ quadrato rectæ lineæ ſibi longitudine commenſurabilis, vel incommenſurabilis. poſſit primum quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, & ſit minor E Θ commenſurabilis expoſitæ rationali E Z longitudine: ergo [per 2. deff. ſecund. 10.] E K ex binis nominibus eſt ſecunda, rationalis autem E Z. quod ſi ſpatium contineatur ſub rationali & ex binis nominibus ſecunda, recta linea ſpatium potens [per 56. 10.] eſt ex binis mediis prima: potens igitur ſpatium E I eſt ex binis mediis prima: ergo & potens ſpatium A Δ. ſed K Θ plus poſſit quam E Θ quadrato rectæ lineæ ſibi longitudine incommenſurabilis; ſitque minor E Θ expoſitæ rationali E Z commenſurabilis longitudine: quare [per 5. deff. ſecund. 10.] E K eſt ex binis nominibus quinta; atque eſt rationalis E Z. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus quinta, quæ ſpatium poteſt recta linea [per 59. 10.] rationale ac medium potens eſt: quæ igitur poteſt ſpatium E I rationale & medium potens eſt; ideoque rationale & medium potens eſt quæ poteſt ſpatium A Δ.



Si igitur rationale & medium componantur, quatuor irrationales fiunt; vel ea quæ ex binis nominibus, vel quæ ex binis mediis prima, vel major, vel rationale ac medium potens. quod erat demonſtrandum.

ἐλάσσων ἐστὶ τῆ ΘΚ. ἤτοι δὲ ἡ ΘΚ τῆ ΕΘ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἔστω ἡ ἐλάσσων ἡ ΕΘ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ μήκει· ἡ ἄρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα, ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων δευτέρας, ἡ τὸ χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ πρώτη· ἡ ἄρα τὸ ΕΙ χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ πρώτη· ὥστε καὶ ἡ τὸ ΑΔ χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ πρώτη. ἀλλὰ δὴ ἡ ΚΘ τῆς ΕΘ μεῖζον δυνάσθω τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἔστω ἡ ἐλάσσων ἡ ΕΘ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ· ἡ ἄρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη, ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων πέμπτης, ἡ τὸ χωρίον δυναμένη ῥητὸν καὶ μέσον δυναμένη ἐστίν· ἡ ἄρα τὸ ΕΙ χωρίον δυναμένη ῥητὸν καὶ μέσον δυναμένη ἐστίν· ὥστε καὶ ἡ τὸ ΑΔ χωρίον δυναμένη ῥητὸν καὶ μέσον δυναμένη ἐστίν.



Ῥητὸν ἄρα καὶ μέσον συντεθέν, τέσσαρες ἄλογοι γίνονται· ἤτοι ἡ ἐκ δύο ὀνομάτων, ἢ ἐκ δύο μέσων πρώτη, ἢ μείζων, ἢ καὶ ῥητὸν καὶ μέσον δυναμένη. ὅπερ ἔδει δεῖξαι.

Prop. LXXIII. Theor.

Si duo media inter ſe incommenſurabilia componantur, duæ reliquæ irrationales fiunt; vel ex binis mediis ſecunda, vel bina media potens.

ΠΡΟΤΑΣΙΣ ογ'.

Δύο μέσων ἀσυμμέτρων ἀλλήλοις συντεθέντων, αἱ λοιπαὶ δύο ἄλογοι γίνονται· ἤτοι ἡ ἐκ δύο μέσων δευτέρα, ἢ αἱ δύο μέσα δυναμένη.

COmponantur enim duo media incommenſurabilia inter ſe A B, Γ Δ: dico rectam lineam, quæ ſpatium A Δ poteſt, vel ex binis mediis ſecundam eſſe, vel bina media potentem.

Spatium enim A B vel majus eſt quam Γ Δ, vel minus. ſit primum majus; exponaturque rationalis E Z: & ad E Z ſpatio quidem A B æquale applicetur E H, latitudinem faciens E Θ; ipſi vero Γ Δ æquale applicetur Θ I latitudinem faciens Θ K. & quoniam medium eſt utrumque ipſorum A B, Γ Δ, erit & utrumque E H, Θ I medium; & ad rationalem E Z applicata ſunt, quæ latitudinem faciunt E Θ, Θ K: ergo [per 23. 10.] utraque E Θ, Θ K rationalis eſt, & ipſi E Z longitudine incommenſurabilis. quod cum A B



Συγκείσθωσαν γὰρ δύο μέσα ἀσύμμετρα ἀλλήλοις τὰ Α Β, Γ Δ· λέγω ὅτι ἡ τὸ Α Δ χωρίον δυναμένη, ἤτοι ἐκ δύο μέσων ἐστὶ δευτέρα, ἢ δύο μέσα δυναμένη.



Τὸ γὰρ Α Β τῷ Γ Δ ἤτοι μεῖζόν ἐστιν, ἢ ἔλασσον. ἔστω πρότερον μεῖζον τὸ Α Β τοῦ Γ Δ· καὶ ἐκκείσθω ῥητὴ ἡ Ε Ζ, καὶ τῷ μὲν Α Β ἴσον παρὰ τὴν Ε Ζ παραβεβλήσθω τὸ Ε Η πλάτος ποιοῦν τὴν Ε Θ, τῷ δὲ Γ Δ ἴσον τὸ Θ Ι πλάτος ποιοῦν τὴν Θ Κ. καὶ ἐπεὶ μέσον ἐστὶν ἑκάτερον τῶν Α Β, Γ Δ· μέσον ἄρα καὶ ἑκάτερον τῶν Ε Η, Θ Ι, καὶ παρὰ ῥητὴν τὴν Ε Ζ παράκειται πλάτος ποιοῦν τὰς Ε Θ, Θ Κ· ἑκατέρα ἄρα τῶν Ε Θ, Θ Κ ῥητή ἐστι, καὶ ἀσύμμετρος τῇ Ε Ζ μήκει. ἐπεὶ ἀσύμ-

μετρόν

μετρόν ἐστι τὸ ΑΒ τῷ ΓΔ, καὶ ἔστω ἴσον τὸ μὲν ΑΒ τῷ ΕΗ, τὸ δὲ ΓΔ τῷ ΘΙ· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΕΗ τῷ ΘΙ. ὡς δὲ τὸ ΕΗ πρὸς τὸ ΘΙ οὕτως ἐστὶν ἡ ΕΘ πρὸς τὴν ΘΚ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΘ τῇ ΘΚ μήκει· αἱ ΕΘ, ΘΚ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΚ. ἤτοι δὲ ἡ ΕΘ τῆς ΘΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἑκατέρα τῶν ΕΘ, ΘΚ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ μήκει· ἡ ΕΚ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ τρίτη, ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων τρίτης, ἡ τὸ χωρίον δυναμένη ἐκ δύο μέσων ἐστὶ δευτέρα· ἡ ἄρα τὸ ΕΙ, τουτέστι τὸ ΑΔ δυναμένη, ἐκ δύο μέσων ἐστὶ δευτέρα. ἀλλὰ δὴ ἡ ΕΘ τῆς ΘΚ μεῖζον δυνάσθω τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει, καὶ ἑκατέρα τῶν ΕΘ, ΘΚ τῇ ΕΖ μήκει· ἡ ἄρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶν ἕκτη. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων ἕκτης, ἡ τὸ χωρίον δυναμένη δύο μέσα δυναμένη ἐστίν· ὥστε ἡ τὸ ΑΔ χωρίον δυναμένη δύο μέσα δυναμένη ἐστίν. Ομοίως δὴ δείξομεν ὅτι, κἂν ἔλαττον ᾖ τὸ ΑΒ τοῦ ΓΔ, ἡ τὸ ΑΔ χωρίον δυναμένη, ἢ ἐκ δύο μέσων δευτέρα ἐστὶν, δύο ἢ μέσα δυναμένη.



Δύο ἄρα μέσων ἀσυμμέτρων ἀλλήλοις συντιθεμένων, αἱ λοιπαὶ δύο ἄλογοι γίνονται, ἤτοι ἐκ δύο μέσων δευτέρα, ἢ δύο μέσα δυναμένη. ὅπερ ἔδει δεῖξαι.

incommenſurabile ſit ipſi ΓΔ; ſitque ΑΒ quidem æquale ipſi ΕΗ; ΓΔ vero ipſi ΘΙ: erit & ΕΗ ipſi ΘΙ incommenſurabile. ſed ut ΕΗ ad ΘΙ ita eſt ΕΘ ad ΘΚ: incommenſurabilis igitur eſt ΕΘ ipſi ΘΚ longitudine: ideoque ΕΘ, ΘΚ rationales ſunt potentia ſolum commenſurabiles: quare ex binis nominibus eſt ΕΚ. itaque vel ΕΘ plus poteſt quam ΘΚ quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, vel incommenſurabilis. poſſit primum quadrato rectæ lineæ ſibi commenſurabilis longitudine; & neutra ipſarum ΕΘ, ΘΚ longitudine commenſurabilis eſt expoſitæ rationali ΕΖ: ergo ΕΚ eſt ex binis nominibus tertia, & eſt ΕΖ rationalis. ſi autem ſpatium contineatur ſub rationali & ex binis nominibus tertia, recta linea ſpatium potens [per 57.10.] eſt ex binis mediis ſecunda: ergo quæ poteſt ſpatium ΕΙ, hoc eſt ΑΔ, eſt ex binis mediis ſecunda. ſed ΕΘ plus poſſit quam ΘΚ quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine; & utraque ipſarum ΕΘ, ΘΚ longitudine incommenſurabilis eſt expoſitæ rationali ΕΖ: quare [per 6. deff. ſecund. 10.] ΕΚ eſt ex binis nominibus ſexta. at ſi ſpatium contineatur ſub rationali & ex binis nominibus ſexta, quæ ſpatium poteſt recta linea [per 60. 10.] eſt bina media potens: ergo quæ poteſt ſpatium ΑΔ bina media poteſt. Similiter demonſtrabimus, ſi & ΑΒ ſit minus quam ΓΔ, rectam lineam, quæ ſpatium poteſt ΑΔ, vel ex binis mediis ſecundam eſſe, vel bina media potentem.



Si igitur duo media inter ſe incommenſurabilia componantur, reliquæ duæ irrationales fiunt; vel ex binis mediis ſecunda, vel bina media potens. quod erat demonſtrandum.

* Πόρισμα.

Η ἐκ δύο ὀνομάτων καὶ αἱ μετ' αὐτὴν ἄλογοι ἄτε τῇ μέσῃ ἄτε ἀλλήλαις εἰσὶν αἱ αὐταί, τὸ μὲν γὰρ ἀπὸ μέσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ῥητὴν καὶ ἀσύμμετρον τῇ παρ' ἣν παράκειται μήκει, τὸ δὲ ἀπὸ τῆς ἐκ δύο ὀνομάτων παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ, τὴν ἐκ δύο ὀνομάτων πρώτην, τὸ δὲ ἀπὸ τῆς ἐκ δύο μέσων πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων δευτέραν, τὸ δὲ ἀπὸ τῆς ἐκ δύο μέσων δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τρίτην, τὸ δὲ ἀπὸ τῆς μείζονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τετάρτην, τὸ δὲ ἀπὸ τῆς ῥητὸν καὶ μέσον δυναμένης παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων πέμπτην, τὸ δὲ ἀπὸ τῶν δύο μέσα δυναμένης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων ἕκτην· ἐπεὶ οὖν τὰ εἰρημένα πλάτη διαφέρει τοῦτο πρῶτα καὶ ἀλλήλων,

* *Corollarium.*

Quæ ex binis nominibus & quæ poſt ipſam ſunt irrationales neque mediæ neque inter ſe eædem ſunt, quadratum enim quod fit à media ad rationalem applicatum [per 23.10.] latitudinem efficit rationalem & ei ad quam applicatur longitudine incommenſurabilem; quod autem fit ab ea quæ eſt ex binis nominibus ad rationalem applicatum [per 61.10.] latitudinem efficit ex binis nominibus primam; quod ab ea quæ eſt ex binis mediis prima ad rationalem applicatum [per 62.10.] latitudinem efficit ex binis nominibus ſecundam; quod ab ea quæ eſt ex binis mediis ſecunda ad rationalem applicatum [per 63. 10.] latitudinem efficit ex binis nominibus tertiam; quod à majori ad rationalem applicatum [per 64. 10.] latitudinem efficit ex binis nominibus quartam; quod ab ea quæ rationale ac medium poteſt ad rationalem applicatum [per 65.10.] latitudinem efficit ex binis nominibus quintam; quod ab ea quæ bina media poteſt ad rationalem applicatum [per 66. 10.] latitudinem efficit ex binis nominibus ſextam: quoniam igitur dictæ latitudines differunt & à prima & inter ſeſe,

* In quibuſdam Exemplaribus perperam *Lemma* dicitur.

à prima quidem quod rationalis ſit, inter ſeſe vero quod ordine non ſint eædem, conſtat & ipſas irrationales inter ſe differentes eſſe.

SCHOLIUM.

Septem ſunt ſenarii uſque ad ea de quibus hactenus dictum eſt; quorum primus quidem oſtendit [in 37. 38. 39. 40. 41. 42] ortum linearum irrationalium; ſecundus autem diviſionem, nempe [in 43. 44. 45. 46. 47. 48.] quod ad unum duntaxat punctum dividuntur; tertius earum quæ ex binis nominibus inventionem, videlicet primæ 49, ſecundæ 50, tertiæ 51, quartæ 52, quintæ 53, & ſextæ 54; deinceps ſequitur quartus ſenarius, oſtendens quomodo hæ lineæ inter ſe differant; namque uſus iis quæ ex binis nominibus, oſtendit [ad 55. 56. 57. 58. 59. 60.] differentiam ſex irrationalium. quintum & ſextum expoſuit, oſtendens in quinto [ad 61. 62. 63. 64. 65. 66.] quidem applicationes quadratorum quæ ex irrationalibus, videlicet quales irrationales faciant latitudines applicatorum ſpatiorum. in ſexto autem [ad 67. 68. 69. 70. 71.] quomodo irrationalibus commenſurabiles ejuſdem ſpeciei ſint. rurſus in ſeptimo [in 72. 73.] manifeſte oſtendit differentiam ipſarum.

Apparet etiam & in his irrationalibus arithmetica analogia: & quæ ſumitur media proportionalis inter portiones cujuſque lineæ irrationalis juxta arithmeticam analogiam, & ipſa eſt ejuſdem ſpeciei cum iis, inter quarum portiones media interjicitur. atque primum arithmeticam medietatem in his eſſe, ſic apparet. ponatur enim exempli gratia ex binis nominibus A B, & in nomina ad punctum Γ dividatur: manifeſtum eſt A Γ majorem eſſe quam Γ B. auferatur à recta linea A Γ ipſi Γ B æqualis A Δ, & Γ Δ bifariam in E ſecetur: conſtat igitur A E ipſi E B æqualem eſſe. ponatur alterutri ipſarum æqualis Z H: manifeſtum eſt quo differt A Γ ab ipſa Z H, eo differre E B ab ipſa Γ B; etenim A Γ ab ipſa Z H differt magnitudine E Γ, & eadem magnitudine differt Z H ab ipſa Γ B, quod eſt arithmeticæ analogiæ proprium. manifeſtum autem eſt Z H commenſurabilem eſſe ipſi A B, eſt enim ejus dimidiæ æqualis; ergo [per 67. 10.] Z H ex binis nominibus eſt. ſimiliter oſtendetur & in aliis.



τῷ μὲν πρώτῳ ὅτι ῥητή ἐστιν, ἀλλήλων δὲ ὅτι τῇ τάξει οὐκ εἰσὶν αἱ αὐταί, δῆλον ὡς καὶ αὐταὶ αἱ ἄλογοι διαφέρουσιν ἀλλήλων.

*ΣΧΟΛΙΟΝ.

Επτά εἰσιν ἑξάδες ἄχρι τῶν εἰρημένων· ὧν ἡ μὲν πρώτη ἐδείκνυ τὴν γένεσιν αὐτῶν· ἡ δὲ δευτέρα τὴν διαίρεσιν, ὅτι καθ' ἓν μόνον σημεῖον διαιροῦνται· ἡ δὲ τρίτη τὴν ἐκ δύο ὀνομάτων εὕρεσιν, πρώτης, δευτέρας, τρίτης, τετάρτης, πέμπτης, ἕκτης, ἀφ' ἧς ἡ τετάρτη ἑξὰς τὴν διαφορὰν ἐπεδείκνυε τῶν ἀλόγων, τῇ διαφέρουσι· συσχεδόν γὰρ τῇ ἐκ δύο ὀνομάτων ὑποδείκνυσι τὴν διαφορὰν τῶν ἐξ ἀλόγων. πέμπτην καὶ ἕκτην ἐξέθετο, δεικνύων ἐν μὲν τῇ πέμπτῃ τὰς προσβολάς, τὰς ὑπὸ τῶν ἀλόγων, ποίας ἀλόγους ποιοῦσι τὰ πλάτη τῶν προσβαλλομένων χωρίων. ἐν δὲ τῇ ἕκτῃ, πῶς αἱ σύμμετροι ταῖς ἀλόγοις ὁμοειδεῖς αὐτῶν εἰσί. πάλιν, ἐν τῇ ἑβδόμῃ σαφῶς διαφορὰν αὐτῶν ἡμῖν δείκνυσιν.

Αναφαίνεται δὲ καὶ ἐπὶ τῶν ἀλόγων τούτων ἡ ἀριθμητικὴ ἀνάλογον· καὶ ἡ μέση λαμβανομένη ἀνάλογον τῶν τμημάτων οἱασδήποτε ἀλόγου κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν, καὶ αὐτὴ ὁμοειδής ἐστιν ὧν ἐστι μέση ἀνάλογον. καὶ πρῶτον ὅτι ἡ ἀριθμητικὴ μεσότης ἐν τούτοις ἐστί. κείσθω γὰρ ἐκ δύο ὀνομάτων εἰ τύχοι Α Β, καὶ διῃρήσθω εἰς τὰ ὀνόματα κατὰ τὸ Γ· φανερὸν ὅτι ἡ Α Γ τῆς Γ Β ἐστὶ μείζων. ἀφῃρήσθω ἀπὸ τῆς Α Γ τῇ Γ Β ἴση ἡ Α Δ, καὶ δίχα τετμήσθω ἡ Γ Δ κατὰ τὸ Ε· φανερὸν ὅτι ἡ Α Ε τῇ Ε Β ἐστιν ἴση. κείσθω ὁποτέρᾳ αὐτῶν ἴση ἡ Ζ Η· φανερὸν δὴ ὅτι ᾧ διαφέρει ἡ Α Γ τοῦ Ζ Η τούτῳ διαφέρει καὶ ἡ Ε Β τῆς Γ Β, ἡ μὲν γὰρ Α Γ τῆς Ζ Η τῇ Ε Γ, τῷ αὐτῷ δὲ καὶ ἡ Ζ Η τῆς Γ Β, ὅπερ ἐστὶν ἀριθμητικῆς ἀναλογίας. δῆλον δὲ ὅτι ἡ Ζ Η σύμμετρός ἐστι τῇ Α Β, τῇ γὰρ ἡμισείᾳ αὐτῆς ἐστιν ἴση· ὥστε ἐκ δύο ὀνομάτων ἐστίν. ὁμοίως δειχθήσεται καὶ ἐπὶ τῶν ἄλλων.

Principium Senariorum per Detractionem.

Αρχὴ τῶν κατ' ἀφαίρεσιν ἑξάδων.

PROP. LXXIV. THEOR.

Si à rationali rationalis auferatur, potentia ſolum commenſurabilis exiſtens toti; reliqua irrationalis eſt, vocetur autem apotome.

A Rationali enim A B rationalis auferatur B Γ, Potentia ſolum commenſurabilis exiſtens

ΠΡΟΤΑΣΙΣ οδ'.

Εὰν ἀπὸ ῥητῆς ῥητὴ ἀφαιρεθῇ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ· ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ ἀποτομή.

ΑΠΟ γὰρ ῥητῆς τῆς Α Β ῥητὴ ἀφῃρήσθω ἡ Β Γ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ·

* Scholium hoc non agnoſcunt noſtri *Codd. MSS.* Atque in *Editis* Græcis male collocatur poſt Prop. LXX.

λέγω

λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν, ἡ καλουμένη ἀποτομή.

Ἐπεὶ γὰρ ἀσύμμετρός ἐστιν ἡ ΑΒ τῇ ΒΓ μήκει, ἔστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ ἕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ· ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΒ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα, τῷ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΓ ἀσύμμετρά ἐστι τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ λοιπῷ ἄρα τῷ ἀπὸ τῆς ΑΓ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ, ἐπεὶ καὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ ἴσα ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ. ῥητὰ δὲ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ· ἄλογος ἄρα ἐστὶν ἡ ΑΓ, καλείσθω δὲ ἀποτομή.



toti: dico reliquam AΓ irrationalem esse, quæ vocatur apotome.

Quoniam enim incommensurabilis est AB ipsi BΓ longitudine, atque est [per 1.6.] ut AB ad BΓ ita quadratum ex AB ad id quod continetur sub AB, BΓ, erit quadratum ex AB incommensurabile ei quod sub AB, BΓ continetur: sed quadrato ex AB commensurabilia sunt [per 16.10.] quadrata ex AB, BΓ; ei vero quod continetur sub AB, BΓ commensurabile est quod bis sub AB, BΓ continetur: quadrata igitur ex AB, BΓ ei quod bis continetur sub AB, BΓ sunt incommensurabilia: ergo reliquo, nempe quadrato ex AΓ, incommensurabilia sunt quadrata ex AB, BΓ; quoniam quadrata ex AB, BΓ [per 7.2.] æqualia sunt ei quod bis sub AB, BΓ continetur una cum quadrato ex AΓ. rationalia autem sunt quadrata ex AB, BΓ: ergo [per 11.def.10.] recta linea AΓ est irrationalis, vocetur autem apotome.

ΠΡΟΤΑΣΙΣ οε'.

Ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ῥητὸν περιέχῃ· ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

Prop. LXXV. Theor.

Si à media media auferatur potentia solum commensurabilis existens toti, quæ cum tota rationale continet: reliqua irrationalis est, vocetur autem mediæ apotome prima.

Ἀπὸ γὰρ μέσης τῆς ΑΒ μέση ἀφῃρήσθω ἡ ΒΓ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ΑΒ, μετὰ δὲ τῆς ΑΒ ῥητὸν ποιοῦσα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστι, καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

Ἐπεὶ γὰρ αἱ ΑΒ, ΒΓ μέσαι εἰσὶ, μέσα καὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ. ῥητὸν δὲ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἀσύμμετρα ἄρα τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ λοιπῷ ἄρα τῷ ἀπὸ τῆς ΑΓ ἀσύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἐπεὶ κἂν τὸ ὅλον ἐνὶ αὐτῶν ἀσύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη ἀσύμμετρα ἔσεσθαι. ῥητὸν δὲ τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· ἄλογον ἄρα τὸ ἀπὸ τῆς ΑΓ· ἄλογος ἄρα ἡ ΑΓ, καλείσθω δὲ μέσης ἀποτομὴ πρώτη.

Quoniam enim AB, BΓ mediæ sunt, erunt & quadrata quæ ex AB, BΓ media. rationale autem est [ex hyp.] quod bis continetur sub AB, BΓ, quadrata igitur ex AB, BΓ incommensurabilia sunt ei quod bis sub AB, BΓ continetur: ergo & reliquo, ic. [per 7.2.] quadrato ex AΓ, incommensurabile est id quod bis sub AB, BΓ continetur: quoniam si tota magnitudo uni componentium sit incommensurabilis, [per 17.10.] & quæ à principio magnitudines incommensurabiles erunt. rationale autem est quod bis continetur sub AB, BΓ: irrationale igitur est quadratum ex AΓ: ideoque irrationalis est AΓ, voceturq; mediæ apotome prima.

ΠΡΟΤΑΣΙΣ οϛ'.

Ἐὰν ἀπὸ μέσης μέση ἀφαιρεθῇ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχῃ· ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα.

Prop. LXXVI. Theor.

Si à media media auferatur, potentia solum commensurabilis existens toti, quæ cum tota medium continet; & reliqua irrationalis est, vocetur autem mediæ apotome secunda.

Ἀπὸ γὰρ μέσης τῆς ΑΒ μέση ἀφῃρήσθω ἡ ΒΓ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ τῇ ΑΒ, μετὰ δὲ τῆς ὅλης τῆς ΑΒ μέσον περιέχουσα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστι, καλείσθω δὲ μέσης ἀποτομὴ δευτέρα.

Media enim AB auferatur media BΓ potentia solum commensurabilis existens toti AB, & cum ea medium continens, videlicet quod continetur sub AB, BΓ: dico reliquam AΓ irrationalem esse, vocetur autem mediæ apotome secunda.

Exponatur enim rationalis Δ I, & quadratis quidem ex AB, BΓ æquale parallelogrammum Δ E ad ipſam Δ I applicetur, latitudinem faciens Δ H; ei vero quod bis ſub AB, BΓ continetur æquale parallelogrammum Δ Θ ad eandem Δ I applicetur, latitudinem faciens Δ Z: reliquum igitur Z E [per 7. 2.] eſt æquale quadrato ex AΓ. & quoniam media ſunt quadrata ex AB, BΓ; erit & parallelogrammum Δ E medium. & ad rationalem Δ I applicatum eſt, latitudinem faciens Δ H: ergo [per 23.10.] Δ H eſt rationalis, & ipſi Δ I longitudine incommenſurabilis. rurſus, quoniam medium eſt quod ſub AB, BΓ continetur, erit & quod bis continetur ſub AB, BΓ medium. atque eſt æquale parallelogrammo Δ Θ: ergo & Δ Θ eſt medium, & ad rationalem Δ I applicatum eſt, latitudinem faciens Δ Z: rationalis igitur eſt Δ Z, & ipſi Δ I longitudine incommenſurabilis. & quoniam AB, BΓ potentia ſolum commenſurabiles ſunt; erit AB ipſi BΓ incommenſurabilis longitudine: ergo [per 1. 6. & 10.10.] quadratum ex AB incommenſurabile eſt ei quod ſub AB, BΓ continetur. ſed quadrato quidem ex AB commenſurabilia ſunt [per 16.10.] quæ ex AB, BΓ fiunt quadrata; ei vero quod ſub AB, BΓ continetur [per 6.10.] commenſurabile eſt id quod bis continetur ſub AB, BΓ: quadrata igitur ex AB, BΓ incommenſurabilia ſunt ei quod bis ſub AB, BΓ continetur. Δ E autem eſt [per conſtr.] æquale quadratis ex AB, BΓ; & parallelogrammum Δ Θ æquale eſt ei quod bis continetur ſub AB, BΓ: ergo Δ E ipſi Δ Θ eſt incommenſurabile. ſed [per 1.6.] ut Δ E ad Δ Θ ita recta linea H Δ ad Δ Z: incommenſurabilis igitur eſt H Δ ipſi Δ Z longitudine. & ſunt ambæ rationales: quare H Δ, Δ Z rationales ſunt potentia ſolum commenſurabiles: ergo [per 74.10.] Z H apotome eſt, & Δ I eſt rationalis. quod autem ſub rationali & irrationali continetur rectangulum [per ſch. 39. 10.] irrationale eſt, ideo & ipſum potens eſt irrationalis. ſed recta linea AΓ poteſt Z B parallelogrammum: ergo AΓ eſt irrationalis, vocetur autem mediæ apotome ſecunda.



Ἐκκείσθω γὰρ ῥητὴ ἡ Δ I, καὶ τοῖς μὲν ἀπὸ τῶν AB, BΓ ἴσον τὸ ὑπὸ τὸ Δ I παραβεβλήσθω τὸ Δ E πλάτος ποιοῦν τὸ Δ H, τῷ δὲ δὶς ὑπὸ τῶν AB, BΓ ἴσον παρὰ τὸ Δ I παραβεβλήσθω τὸ Δ Θ πλάτος ποιοῦν τὸ Δ Z· λοιπὸν ἄρα τὸ Z E ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ. καὶ ἐπεὶ μέσον ἐστὶ τὰ ἀπὸ τῶν AB, BΓ· μέσον ἄρα καὶ τὸ Δ E. καὶ παρὰ ῥητὸν τὸ Δ I παράκειται πλάτος ποιοῦν τὸ Δ H· ῥητὴ ἄρα ἐστὶν ἡ Δ H, καὶ ἀσύμμετρος τῇ Δ I μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν AB, BΓ· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν AB, BΓ μέσον ἐστί. καὶ ἔστιν ἴσον τῷ Δ Θ· καὶ τὸ Δ Θ ἄρα μέσον ἐστί, καὶ παρὰ ῥητὸν τὸ Δ I παραβέβληται πλάτος ποιοῦν τὸ Δ Z· ῥητὴ ἄρα ἐστὶν ἡ Δ Z, καὶ ἀσύμμετρος τῇ Δ I μήκει. καὶ ἐπεὶ αἱ AB, BΓ δυνάμει μόνον σύμμετροί εἰσιν, ἀσύμμετρος ἄρα ἐστὶν ἡ AB τῇ BΓ μήκει· ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς AB τετράγωνον τῷ ὑπὸ τῶν AB, BΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς AB σύμμετρά ἐστι τὰ ἀπὸ τῶν AB, BΓ, τῷ δὲ ὑπὸ τῶν AB, BΓ σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν AB, BΓ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν AB, BΓ τῷ δὶς ὑπὸ τῶν AB, BΓ. ἴσον δὲ τοῖς μὲν ἀπὸ τῶν AB, BΓ τὸ Δ E, τῷ δὲ δὶς ὑπὸ τῶν AB, BΓ τὸ Δ Θ· ἀσύμμετρον ἄρα τὸ Δ E τῷ Δ Θ. ὡς δὲ τὸ Δ E πρὸς τὸ Δ Θ οὕτως ἡ H Δ πρὸς τὴν Δ Z· ἀσύμμετρος ἄρα ἐστὶν ἡ H Δ τῇ Δ Z μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα H Δ, Δ Z ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ Z H ἄρα ἀποτομή ἐστι, ῥητὴ δὲ ἡ Δ I. τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀλόγου περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστι· καὶ ἡ δυναμένη ἄρα αὐτὸ ἄλογός ἐστι, καὶ δύναται τὸ Z E ἡ AΓ· ἡ AΓ ἄρα ἀλόγος ἐστί, καλείσθω δὲ μέση ἀποτομὴ δευτέρα.

PROP. LXXVII. THEOR.

Si à recta linea recta linea auferatur, potentia incommenſurabilis exiſtens toti, quæ cum tota faciat compoſitum quidem ex ipſarum quadratis rationale, quod autem ſub ipſis continetur medium; reliqua irrationalis eſt, vocetur autem minor.

ΠΡΟΤΑΣΙΣ οζ'.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν ἀπ' αὐτῶν ἅμα ῥητόν, τὸ δ' ὑπ' αὐτῶν μέσον· ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ ἐλάσσων.

A Recta linea AB auferatur recta BΓ, potentia incommenſurabilis exiſtens toti, faciensque cum tota AB compoſitum quidem ex ipſarum AB, BΓ quadratis rationale, quod autem

Ἀπὸ γὰρ εὐθείας τῆς AB εὐθεῖα ἀφῃρήσθω ἡ BΓ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, ποιοῦσα μετὰ τῆς ὅλης τῆς AB τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν AB, BΓ ἅμα ῥητόν, τὸ δὲ

δὶς

δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ἅμα μέσον· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστιν, καλλείσθω δὲ ἐλάσσων.

Ἐπεὶ γὰρ τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων ῥητόν ἐστι, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μέσον· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ ἀναστρέψαντι ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τῷ ἀπὸ τῆς ΑΓ. ῥητὰ δὲ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ· ἄλογον ἄρα τὸ ἀπὸ τῆς ΑΓ· ἄλογος ἄρα ἡ ΑΓ, καλείσθω δὲ ἐλάσσων.

bis ſub AB, BΓ continetur medium: dico reliquam AΓ irrationalem eſſe, quæ vocatur minor.



Quoniam enim compoſitum quidem ex ipſarum AB, BΓ quadratis rationale eſt: quod autem bis ſub AB, BΓ continetur medium; erunt quadrata ipſarum AB, BΓ incommenſurabilia ei quod bis continetur ſub AB, BΓ: ergo [per 17. 10.] per converſionem, quadrata ex AB, BΓ quadrato ex AΓ ſunt incommenſurabilia. ſed [ex hyp.] quadrata ex AB, BΓ rationalia ſunt: irrationale igitur eſt quadratum ex AΓ; ideoque recta linea AΓ eſt irrationalis, vocetur autem minor.

ΠΡΟΤΑΣΙΣ οη'.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν· ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

Prop. LXXVIII. Theor.

Si à recta linea recta linea auferatur potentia incommenſurabilis exiſtens toti, & cum tota faciens compoſitum quidem ex ipſarum quadratis medium, quod autem ſub ipſis bis continetur rationale; reliqua irrationalis eſt, vocetur autem cum rationali medium totum efficiens.

Ἀπὸ γὰρ εὐθείας τῆς ΑΒ εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ τῇ ΑΒ, ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ῥητόν· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ ἄλογός ἐστι, καλείσθω δὲ ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

A Recta enim linea AB recta linea BΓ auferatur incommenſurabilis exiſtens toti AB, facienſque compoſitum quidem ex ipſarum AB, BΓ quadratis medium; quod autem bis ſub AB, BΓ continetur, rationale: dico reliquam AΓ irrationalem eſſe, vocetur autem cum rationali medium totum efficiens.

Ἐπεὶ γὰρ τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων μέσον ἐστί, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ῥητόν· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΑΓ ἀσύμμετρόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ. καί ἐστι τὸ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ ῥητόν· τὸ ἄρα ἀπὸ τῆς ΑΓ ἄλογόν ἐστιν· ἄλογος ἄρα ἐστὶν ἡ ΑΓ, καλείσθω δὲ ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα.

Quoniam enim compoſitum ex ipſarum AB, BΓ quadratis medium eſt, quod autem bis continetur ſub AB, BΓ rationale; erunt ex AB, BΓ quadrata incommenſurabilia ei quod bis ſub AB, BΓ continetur: & reliquum igitur quadratum ex AΓ incommenſurabile eſt [per 17. 10.] ei quod bis continetur ſub AB, BΓ. atque eſt quod bis continetur ſub AB, BΓ rationale: ergo quadratum ex AΓ irrationale eſt: & ob id recta linea AΓ irrationalis, vocetur autem cum rationali medium totum efficiens.

ΠΡΟΤΑΣΙΣ οθ'.

Ἐὰν ἀπὸ εὐθείας εὐθεῖα ἀφαιρεθῇ δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον, καὶ ἔτι τὰ ἀπ' αὐτῶν τετραγώνων ἀσύμμετρα τῷ δὶς ὑπ' αὐτῶν· ἡ λοιπὴ ἄλογός ἐστι, καλείσθω δὲ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Prop. LXXIX. Theor.

Si à recta linea recta linea auferatur potentia incommenſurabilis exiſtens toti, & cum tota faciens compoſitum quidem ex ipſarum quadratis medium, quod autem ſub ipſis bis continetur medium, & adhuc ipſorum quadrata incommenſurabilia ei quod bis continetur ſub ipſis; reliqua irrationalis eſt, vocetur autem cum medio medium totum efficiens.

Ἀπὸ γὰρ εὐθείας τῆς ΑΒ εὐθεῖα ἀφῃρήσθω ἡ ΒΓ, δυνάμει ἀσύμμετρος οὖσα τῇ ΑΒ, ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΒ, ΒΓ τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ μέσον, ἔτι δὲ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ ἀσύμμετρα τῷ δὶς ὑπὸ τῶν ΑΒ, ΒΓ· λέγω ὅτι ἡ λοιπὴ ἡ ΑΓ

A Recta enim linea AB recta linea BΓ auferatur, potentia incommenſurabilis exiſtens toti AB, facienſque compoſitum quidem ex ipſarum AB, BΓ quadratis medium, quod autem bis ſub AB, BΓ continetur medium, & adhuc quadrata ipſarum AB, BΓ incommenſurabilia rectangulo quod bis continetur ſub AB, BΓ: dico reliquam AΓ

irratio-

irrationalem eſſe, vocetur autem cum medio medium totum efficiens.

Exponatur enim rationalis Δ I, & quadratis quidem ex A B, B Γ æquale parallelogrammum Δ E ad ipſam Δ I applicetur, latitudinem faciens Δ H; ei vero quod bis continetur ſub A B, B Γ æquale auferatur Δ Θ, latitudinem faciens Δ Z: ergo [per 7.2.] reliquum Z E eſt æquale quadrato ex A Γ; & ob id recta linea A Γ ipſum Z E poteſt. itaque quoniam compoſitum ex ipſarum A B, B Γ quadratis medium eſt, & parallelogrammo Δ E æquale; erit ipſum Δ E medium, & ad rationalem Δ I applicatum eſt, latitudinem faciens Δ H: quare [per 23. 10.] Δ H eſt rationalis, & ipſi Δ I longitudine incommenſurabilis. rurſus, quoniam id quod bis ſub A B, B Γ continetur medium eſt, & æquale parallelogrammo Δ Θ, erit Δ Θ medium, & ad rationalem Δ I applicatum eſt, latitudinem faciens Δ Z: ergo Δ Z eſt rationalis, ipſique Δ I incommenſurabilis longitudine. & quoniam quadrata ex A B, B Γ incommenſurabilia ſint ei quod bis ſub A B, B Γ continetur, & parallelogrammum Δ E ipſi Δ Θ eſt incommenſurabile. ut autem Δ E ad Δ Θ ita eſt [per 1. 6.] recta linea Δ H ad ipſam Δ Z: incommenſurabilis igitur eſt [per 10.10.] Δ H ipſi Δ Z. & ſunt ambæ rationales: ergo Δ H, Δ Z rationales ſunt potentia ſolum commenſurabiles: apotome igitur eſt Z H [per 74.10.], & Z Θ eſt rationalis. quod autem ſub rationali & apotoma continetur rectangulum [per ſch. 39.10.] irrationale eſt, ipſumque potens eſt irrationalis, atque A Γ poteſt parallelogrammum Z E: ergo A Γ irrationalis eſt, vocetur autem cum media medium totum efficiens.



ἄλογός ἐστι, καλείσθω δὲ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Ἐκκείσθω γὰρ ῥητὴ ἡ Δ I, καὶ τοῖς μὲν ἀπὸ τῶν A B, B Γ ἴσον παρὰ ῥητὴν τὴν Δ I παραβεβλήσθω τὸ Δ E πλάτος ποιοῦν τὴν Δ H, τῷ δὲ δὶς ὑπὸ τῶν A B, B Γ ἴσον ἀφῃρήσθω τὸ Δ Θ πλάτος ποιοῦν τὴν Δ Z· λοιπὸν ἄρα τὸ Z E ἴσον ἐστὶ τῷ ἀπὸ τῆς A Γ· ὥστε ἡ A Γ δύναται τὸ Z E. καὶ ἐπεὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν A B, B Γ τετραγώνων μέσον ἐστί, καὶ ἔστιν ἴσον τῷ Δ E· μέσον ἄρα ἐστὶ τὸ Δ E, καὶ παρὰ ῥητὴν τὴν Δ I παράκειται πλάτος ποιοῦν τὴν Δ H· ῥητὴ ἄρα ἐστὶν ἡ Δ H, καὶ ἀσύμμετρος τῇ Δ I μήκει. πάλιν, ἐπεὶ τὸ δὶς ὑπὸ τῶν A B, B Γ μέσον ἐστί, καὶ ἔστιν ἴσον τῷ Δ Θ· τὸ ἄρα Δ Θ μέσον ἐστί, καὶ παρὰ ῥητὴν τὴν Δ I παράκειται πλάτος ποιοῦν τὴν Δ Z· ῥητὴ ἄρα ἐστὶν ἡ Δ Z, καὶ ἀσύμμετρος τῇ Δ I μήκει. καὶ ἐπεὶ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν A B, B Γ τῷ δὶς ὑπὸ τῶν A B, B Γ, ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ Δ E τῷ Δ Θ. ὡς δὲ τὸ Δ E πρὸς τὸ Δ Θ οὕτως ἐστὶ καὶ ἡ Δ H πρὸς τὴν Δ Z· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Δ H τῇ Δ Z. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ Δ H, Δ Z ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ Z H, ῥητὴ δὲ ἡ Z Θ. τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀποτομῆς περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστι, καὶ ἡ δυναμένη αὐτὸ ἄλογός ἐστι, καὶ δύναται τὸ Z E ἡ A Γ· ἡ A Γ ἄρα ἄλογός ἐστι, καλείσθω δὲ ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Prop. LXXX. Theor.

Apotomæ una tantum congruit recta linea potentia ſolum commenſurabilis exiſtens toti.

ΠΡΟΤΑΣΙΣ π'.

Τῇ ἀποτομῇ μία μόνον περιαρμόζει εὐθεῖα ῥητὴ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

SIT apotome A B, congruens autem ipſi ſit B Γ: ergo [per 74. 10.] A Γ, Γ B rationales ſunt potentia ſolum commenſurabiles. dico ipſi A B alteram non congruere rationalem, quæ potentia ſolum ſit commenſurabilis toti.

Si enim fieri poteſt, congruat B Δ: ergo [per 74.10.] A Δ, Δ B rationales ſunt potentia ſolum commenſurabiles. & quoniam quo exceſſu quadrata ex A Δ, Δ B excedunt id quod bis continetur ſub A Δ, Δ B, eo & quadrata ex A Γ, Γ B excedunt id quod bis ſub A Γ, Γ B continetur; utraque enim excedunt eodem quadrato, nempe quod fit ex A B: & permutando, quo exceſſu quadrata ex A Δ, Δ B excedunt quadrata ex A Γ, Γ B, eodem & id quod bis continetur ſub A Δ, Δ B excedet id quod bis ſub A Γ, Γ B continetur. ſed quadrata ex A Δ, Δ B excedunt quadrata ex A Γ, Γ B rationali:



Ἔστω ἀποτομὴ ἡ A B, περιαρμόζουσα δὲ αὐτῇ ἡ B Γ· αἱ A Γ, Γ B ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. λέγω ὅτι τῇ A B ἑτέρα εὐθεῖα οὐ περιαρμόσει ῥητὴ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

Εἰ γὰρ δυνατόν, περιαρμοζέτω ἡ B Δ· αἱ A Δ, Δ B ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ ἐπεὶ τὸ ὑπερέχει τὰ ἀπὸ τῶν A Δ, Δ B τοῦ δὶς ὑπὸ τῶν A Δ, Δ B, τοῦτο ὑπερέχει καὶ τὰ ἀπὸ τῶν A Γ, Γ B τοῦ δὶς ὑπὸ τῶν A Γ, Γ B· τῷ γὰρ αὐτῷ τῷ ἀπὸ τῆς A B ἀμφότερα ὑπερέχει· ἐναλλὰξ ἄρα ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν A Δ, Δ B τῶν ἀπὸ τῶν A Γ, Γ B, τοῦτο ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν A Δ, Δ B τοῦ δὶς ὑπὸ τῶν A Γ, Γ B. τὸ δὲ ἀπὸ τῆς A Δ, Δ B τοῦ ἀπὸ τῆς A Γ, Γ B ὑπερέχει ῥητῷ·

ῥητὴ

ρητὴ γὰρ ἑκατέρα· καὶ τὸ δὶς ἄρα ὑπὸ τῶν ΑΔ, ΔΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ, ὅπερ ἐστὶν ἀδύνατον, μέσαι γὰρ ἀμφότεραι, μέσον δὲ μέσα οὐχ ὑπερέχει ῥητῷ· τῇ ἄρα ΑΒ ἑτέρα οὐ συμπίπτει ῥητὴ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ.

[ex hyp.] utraque rectarum linearum rationalis eſt; quod igitur bis continetur ſub ΑΔ, ΔΒ excedit id quod bis ſub ΑΓ, ΓΒ continetur rationali, quod fieri non poteſt, ambo enim media ſunt, medium autem [per 27. 10.] medium non ſuperat rationali; ergo rectæ lineæ ΑΒ altera non congruit rationalis, potentia ſolum commenſurabilis exiſtens toti.

Μία ἄρα μόνον τῇ ἀποτομῇ συμπίπτει ῥητὴ, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ. ὅπερ ἔδει δεῖξαι.

Igitur apotomæ una tantum congruit rationalis, potentia ſolum commenſurabilis exiſtens toti. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ πα'.

Τῇ μέσῃ ἀποτομῇ πρώτῃ μόνον μία συμπίπτει εὐθεῖα μέση, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τοῦ ὅλου ῥητὸν περιέχουσα.

Prop. LXXXI. Theor.

Mediæ apotomæ primæ una tantum congruit recta linea media, potentia ſolum commenſurabilis exiſtens toti, & cum tota rationale continens.

Ἔστω γὰρ μέση ἀποτομὴ πρώτη ἡ ΑΒ, τῇ δὲ ΑΒ συμπιπτέτω ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, ῥητὸν περιέχουσαι τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· λέγω ὅτι τῇ ΑΒ ἑτέρα οὐ συμπίπτει μέση δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τοῦ ὅλου ῥητὸν περιέχουσα.

SIT enim media apotome prima ΑΒ, & ipſi ΑΒ congruat ΒΓ: ergo [per 75. 10.] ΑΓ, ΓΒ mediæ ſunt potentia ſolum commenſurabiles, quæ rationale continent, nempe quod fit ſub ΑΓ, ΓΒ: dico ipſi ΑΒ alteram non congruere mediam, quæ potentia ſolum ſit commenſurabilis toti, & cum tota ~~mediam~~ contineat.

Εἰ γὰρ δυνατὸν, συμπιπτέτω καὶ ἡ ΔΒ· αἱ ἄρα ΑΔ, ΔΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, ῥητὸν περιέχουσαι τὸ ὑπὸ τῶν ΑΔ, ΔΒ. καὶ ἐπεὶ ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῷ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ, τούτῳ ὑπερέχει καὶ τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ (τῷ γὰρ αὐτῷ πάλιν ὑπερέχουσι τῷ ἀπὸ τῆς ΑΒ·) ἀλλὰ τῷ ἄρα ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, τούτῳ ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ. τὸ δὲ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ, ῥητὰ γὰρ ἀμφότερα· καὶ τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ ἄρα τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ, ὅπερ ἐστὶν ἀδύνατον, μέσαι γὰρ ἀμφότεραι, μέσον δὲ μέσου οὐχ ὑπερέχει ῥητῷ.



Si enim fieri poteſt, congruat ΔΒ: ergo [per 75. 10.] ΑΔ, ΔΒ mediæ ſunt potentia ſolum commenſurabiles, quæ rationale continent, nempe quod fit ſub ΑΔ, ΔΒ. & quoniam quo exceſſu quadrata ex ΑΔ, ΔΒ excedunt id quod bis continetur ſub ΑΔ, ΔΒ, eodem & quadrata ex ΑΓ, ΓΒ excedunt quod bis ſub ΑΓ, ΓΒ continetur; (excedunt enim [per 7. 2.] eodem quadrato ex ΑΒ;) & permutando quo exceſſu quadrata ex ΑΔ, ΔΒ excedunt quadrata ex ΑΓ, ΓΒ, eodem & quod bis continetur ſub ΑΔ, ΔΒ excedit id quod bis ſub ΑΓ, ΓΒ continetur. ſed quod bis continetur ſub ΑΔ, ΔΒ excedit id quod bis ſub ΑΓ, ΓΒ continetur rationali; ambo enim rationalia ſunt: ergo & quadrata ex ΑΔ, ΔΒ excedunt quadrata ex ΑΓ, ΓΒ rationali, quod fieri non poteſt; ambo enim [ex hyp.] ſunt media, medium autem [per 27. 10.] medium non ſuperat rationali.

Τῇ ἄρα μέσῃ ἀποτομῇ πρώτῃ μία μόνον προσαρμόζει εὐθεῖα μέση, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τοῦ ὅλου ῥητὸν περιέχουσα. ὅπερ ἔδει δεῖξαι.

Quare mediæ apotomæ primæ una tantum congruit recta linea media, quæ potentia ſolum toti ſit commenſurabilis, & cum tota rationale contineat. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ πβ'.

Τῇ μέσῃ ἀποτομῇ δευτέρᾳ μία μόνον συμπίπτει εὐθεῖα μέση, δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τοῦ ὅλου μέσον περιέχουσα.

Prop. LXXXII. Theor.

Mediæ apotomæ ſecundæ una tantum congruit recta linea, potentia ſolum commenſurabilis exiſtens toti, & cum tota medium continens.

Ἔστω μέση ἀποτομὴ δευτέρα ἡ ΑΒ, καὶ τῇ ΑΒ συμπιπτέτω ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ· λέγω ὅτι τῇ ΑΒ ἑτέρα οὐ συμπίπτει εὐθεῖα μέση δυνάμει μόνον

SIT media apotome ſecunda ΑΒ, & ipſi ΑΒ congruat ΒΓ: ergo [per 76. 10.] ΑΓ, ΓΒ mediæ ſunt potentia ſolum commenſurabiles, mediumque continentes ſub ΑΓ, ΓΒ: dico ipſi ΑΒ alteram non congruere mediam quæ potentia

tia ſolum ſit commenſurabilis toti, & cum tota medium contineat.

Si enim fieri poteſt, congruat BΔ; quare [per 76.10.] AΔ, ΔB mediæ ſunt potentia ſolum commenſurabiles, quæ medium ſub AΔ, ΔB continent. & exponatur rationalis EZ, quadratiſque ex AΓ, ΓB æquale parallelogrammum EH ad ipſam EZ applicetur, latitudinem faciens EM; & ei quod bis continetur ſub AΓ, ΓB æquale auferatur parallelogrammum ΘH, latitudinem faciens ΘM: reliquum igitur EΛ [per 7. 2.] eſt æquale ei quod fit ex AB quadrato: ergo AB ipſum EΛ poteſt. rurſus, quadratis ex AΔ, ΔB æquale parallelogrammum EI ad ipſam EZ applicetur, latitudinem faciens EN, eſt autem & EΛ æquale quadrato ex AB: reliquum igitur ΘI [per 7. 2.] eſt æquale ei quod bis ſub AΔ, ΔB continetur. & quoniam mediæ ſunt AΓ, ΓB, erunt & quadrata ex AΓ, ΓB media. ſuntque æqualia parallelogrammo EH: quare EH eſt medium, & ad rationalem EZ applicatum eſt, latitudinem faciens EM: ergo [per 23.10.] EM eſt rationalis, & ipſi EZ longitudine incommenſurabilis. rurſus, quoniam medium eſt quod continetur ſub AΓ, ΓB; & quod bis ſub AΓ, ΓB continetur medium erit. atque eſt æquale parallelogrammo ΘH: ergo & ΘH eſt medium, & ad rationalem EZ applicatum eſt latitudinem faciens ΘM: rationalis igitur eſt ΘM, & ipſi EZ incommenſurabilis longitudine. & quoniam [ex hyp.] AΓ, ΓB potentia ſolum ſunt commenſurabiles, erit AΓ incommenſurabilis ipſi ΓB longitudine. ut autem AΓ ad ΓB ita [per 1.6.] quadratum ex AΓ ad id quod continetur ſub AΓ, ΓB: incommenſurabile igitur eſt & quadratum ex AΓ ei quod ſub AΓ, ΓB continetur. ſed quadrato quidem ex AΓ commenſurabilia ſunt [per 16. 10.] quadrata ex AΓ, ΓB; ei vero quod continetur ſub AΓ, ΓB commenſurabile eſt quod bis ſub AΓ, ΓB continetur: ergo quadrata ex AΓ, ΓB incommenſurabilia ſunt ei quod bis ſub AΓ, ΓB continetur. atque eſt [per conſtr.] quadratis ex AΓ, ΓB æquale parallelogrammum EH; ei vero quod bis ſub AΓ, ΓB continetur æquale ipſum ΘH: ergo EH ipſi ΘH eſt incommenſurabile. ſed ut EH ad ΘH ita eſt [per 1. 6.] recta linea EM ad ipſam ΘM: quare EM ipſi ΘM eſt incommenſurabilis longitudine. & ſunt ambæ rationales: ergo EM, ΘM rationales ſunt potentia ſolum commenſurabiles, ac propterea [per 74.10.] apotome eſt EΘ, & ipſi congruens ΘM. ſimiliter demonſtrabimus & ΘN ipſi congruere: apotomæ igitur alia atque alia congruit recta linea, potentia ſolum commenſurabilis exiſtens toti, quod [per 80.10.] fieri non poteſt.



Ergo mediæ apotomæ ſecundæ una tantum congruit recta linea media, quæ potentia ſolum

σύμμετρος ὅσον τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα.

Εἰ γὰρ δυνατόν, ᾠκοδομείσθω ἡ BΔ· αἱ AΔ, ΔB ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι, μέσον περιέχουσαι τὸ ὑπὸ τῶν AΔ, ΔB. καὶ ἐκκείσθω ῥητὴ ἡ EZ, καὶ τοῖς ἀπὸ τῶν AΓ, ΓB ἴσον παραβεβλήσθω τὸ EH, πλάτος ποιοῦν τὴν EM· τῷ δὲ δὶς ὑπὸ τῶν AΓ, ΓB ἴσον ἀφῃρήσθω τὸ ΘH, πλάτος ποιοῦν τὴν ΘM· λοιπὸν ἄρα τὸ EΛ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AB· ὥστε ἡ AB δύναται τὸ EΛ. πάλιν δὴ τοῖς ἀπὸ τῶν AΔ, ΔB ἴσον παρὰ τὴν EZ παραβεβλήσθω τὸ EI, πλάτος ποιοῦν τὴν EN· ἔστι δὲ καὶ τὸ EΛ ἴσον τῷ ἀπὸ τῆς AB τετραγώνῳ· λοιπὸν ἄρα τὸ ΘI ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν AΔ, ΔB. καὶ ἐπεὶ μέσαι εἰσὶν αἱ AΓ, ΓB, μέσα ἄρα ἐστὶ καὶ τὰ ἀπὸ τῶν AΓ, ΓB. καὶ ἔστιν ἴσα τῷ EH· μέσον ἄρα καὶ τὸ EH, καὶ παρὰ ῥητὴν τὴν EZ παράκειται, πλάτος ποιοῦν τὴν EM· ῥητὴ ἄρα ἐστὶν ἡ EM, καὶ ἀσύμμετρος τῇ EZ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν AΓ, ΓB, καὶ τὸ δὶς ὑπὸ τῶν AΓ, ΓB μέσον ἐστί. καὶ ἔστιν ἴσον τῷ ΘH· καὶ τὸ ΘH ἄρα μέσον ἐστί, καὶ παρὰ ῥητὴν τὴν EZ παράκειται, πλάτος ποιοῦν τὴν ΘM· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΘM, καὶ ἀσύμμετρος τῇ EZ μήκει. καὶ ἐπεὶ αἱ AΓ, ΓB δυνάμει μόνον εἰσὶ σύμμετροι, ἀσύμμετρος ἄρα ἐστὶν ἡ AΓ τῇ ΓB μήκει. ὡς δὲ ἡ AΓ πρὸς τὴν ΓB οὕτως καὶ τὸ ἀπὸ τῆς AΓ πρὸς τὸ ὑπὸ τῶν AΓ, ΓB· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς AΓ τῷ ὑπὸ τῶν AΓ, ΓB. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς AΓ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν AΓ, ΓB, τῷ δὲ ὑπὸ τῶν AΓ, ΓB σύμμετρόν ἐστι τὸ δὶς ὑπὸ τῶν AΓ, ΓB· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν AΓ, ΓB τῷ δὶς ὑπὸ τῶν AΓ, ΓB. καὶ ἔστι τοῖς μὲν ἀπὸ τῶν AΓ, ΓB ἴσον τὸ EH, τῷ δὲ δὶς ὑπὸ τῶν AΓ, ΓB ἴσον τὸ ΘH· ἀσύμμετρον ἄρα ἐστὶ τὸ EH τῷ ΘH. ὡς δὲ τὸ EH πρὸς τὸ ΘH οὕτως ἐστὶν ἡ EM πρὸς τὴν ΘM· ἀσύμμετρος ἄρα ἐστὶν ἡ EM τῇ ΘM μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ EM, ΘM ἄρα ῥηταὶ εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ EΘ, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΘM. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΘN αὐτῇ προσαρμόζει· τῇ ἄρα ἀποτομῇ ἄλλη καὶ ἄλλη προσαρμόζει εὐθεῖα, δυνάμει μόνον σύμμετρος ὅσον τῇ ὅλῃ, ὅπερ ἐστὶν ἀδύνατον.

Τῇ ἄρα μέσῃ ἀποτομῇ δευτέρᾳ μία μόνον προσαρμόζει εὐθεῖα μέση, δυνάμει μόνον σύμ-

μετρος

μετρῷ· οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης μέσον περιέχουσα. ὅπερ ἔδει δεῖξαι.

sit commensurabilis toti, & cum tota medium contineat. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ πγ'.

Τῇ ἐλάσσονι μία μόνον συμπίπτει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, ποιοῦσα μετὰ τῆς ὅλης τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον.

PROP. LXXXIII. THEOR.

Minori una tantum congruit recta linea potentia incommensurabilis existens toti, & cum tota faciens compositum quidem ex ipsarum quadratis rationale, quod autem bis sub ipsis continetur medium.

Ἔστω ἐλάσσων ἡ ΑΒ, καὶ τῇ ΑΒ συμπίπτω ἔστω ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον· λέγω ὅτι τῇ ΑΒ ἑτέρα εὐθεῖα οὐ συμπίπτει, τὰ αὐτὰ ποιοῦσα.

Εἰ γὰρ δυνατόν, συμπιπτέτω ἡ ΒΔ· αἱ ΑΔ, ΔΒ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα ἅμα ῥητόν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ μέσον. καὶ ἐπεὶ ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, τούτῳ ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, τὰ δὲ ἀπὸ τῶν ΑΔ, ΔΒ τετράγωνα τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ, ῥητὰ γὰρ ἀμφότερα· καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΑΒ ἄρα δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ, ὅπερ ἐστὶν ἀδύνατον, μέσα γὰρ ἀμφότερα.



Τῇ ἄρα ἐλάσσονι μία μόνον συμπίπτει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, καὶ ποιοῦσα μετὰ τῆς ὅλης τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον. ὅπερ ἔδει δεῖξαι.

SIT minor AB, & ipsi AB congruat BΓ: ergo [per 77. 10.] AΓ, ΓB potentia sunt incommensurabiles, facientes compositum quidem ex ipsarum quadratis rationale, quod autem bis sub ipsis continetur medium: dico ipsi AB alteram non congruere rectam lineam, quæ eadem faciat.

Si enim fieri potest, congruat BΔ: ergo [per 77.10.] AΔ, ΔB potentia sunt incommensurabiles, facientes compositum quidem ex ipsarum quadratis rationale; quod autem bis sub ipsis continetur medium. & quoniam [per 7.2.] quo excessu quadrata ex AΔ, ΔB excedunt quadrata ex AΓ, ΓB, eodem & quod bis continetur sub AΔ, ΔB excedit id quod bis sub AΓ, ΓB continetur: quadrata autem ex AΔ, ΔB excedunt quadrata ex AΓ, ΓB rationali; ambo enim [ex hyp.] rationalia sunt: igitur & quod bis continetur sub AΔ, ΔB id quod bis sub AΓ, ΓB continetur rationali excedet, quod [per 27. 10] fieri non potest, etenim [ex hyp.] ambo sunt media.

Ergo minori una tantum congruit recta linea, potentia incommensurabilis existens toti, & cum tota faciens compositum quidem ex ipsarum quadratis rationale, quod vero bis sub ipsis continetur medium. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ πδ'.

Τῇ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ μία μόνον συμπίπτει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν.

PROP. LXXXIV. THEOR.

Ei quæ cum rationali medium totum facit una tantum congruit recta linea potentia incommensurabilis existens toti, & cum tota faciens compositum quidem ex ipsarum quadratis medium, quod autem bis sub ipsis continetur rationale.

Ἔστω ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα ἡ ΑΒ, συμπίπτουσα δὲ ἡ ΒΓ· αἱ ἄρα ΑΓ, ΓΒ δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ῥητόν· λέγω ὅτι τῇ ΑΒ ἑτέρα εὐθεῖα οὐ συμπίπτει τὰ αὐτὰ ποιοῦσα.

Εἰ γὰρ δυνατόν, συμπιπτέτω ἡ ΒΔ· καὶ αἱ ΑΔ, ΔΒ ἄρα εὐθεῖαι δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΔ, ΔΒ τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπὸ τῶν



SIT cum rationali medium totum faciens AB, congruens autem ipsi BΓ; ergo [per 78.10.] AΓ, ΓB potentia sunt incommensurabiles, facientes compositum quidem ex ipsarum AΓ, ΓB quadratis medium, quod autem bis sub ipsis continetur rationale: dico ipsi AB alteram non congruere eadem facientem.

Si enim fieri potest, congruat BΔ: ergo [per 78. 10.] AΔ, ΔB potentia sunt incommensurabiles, facientes compositum quidem ex ipsarum AΔ, ΔB quadratis medium, quod autem bis sub

ipſis continetur rationale. quoniam igitur [per 7. 2.] quo exceſſu quadrata ex A Δ, Δ B excedunt quadrata ex A Γ, Γ B, eodem quod bis continetur ſub A Δ, Δ B excedit id quod bis ſub A Γ, Γ B continetur; quod autem bis continetur ſub A Δ, Δ B excedit id quod bis ſub A Γ, Γ B continetur rationali, etenim [ex hyp.] ambo rationalia ſunt: igitur & quadrata ex A Δ, Δ B rationali excedent quadrata ex A Γ, Γ B, quod [per 27. 10] fieri non poteſt, cum ambo ſint media: non igitur ipſi A B altera congruit, potentia incommenſurabilis exiſtens toti, & cum tota faciens compoſitum quidem ex ipſarum quadratis medium, quod autem bis ſub ipſis continetur rationale: quare ei quæ cum rationali medium totum facit una tantum congruet recta linea. quod erat demonſtrandum.



Prop. LXXXV. Theor.

Ei quæ cum medio medium totum facit una tantum congruit recta linea, potentia incommenſurabilis exiſtens toti, & cum tota faciens compoſitum quidem ex ipſarum quadratis medium, quod autem bis ſub ipſis continetur medium, & adhuc incommenſurabile compoſito ex quadratis ipſarum.

SIT cum medio medium totum faciens A B, ipſi vero congruens B Γ: ergo [per 79. 10.] A Γ, Γ B potentia ſunt incommenſurabiles, facientes compoſitum quidem ex ipſarum quadratis medium; quod autem bis ſub ipſis A Γ, Γ B continetur medium, & adhuc compoſitum ex quadratis ipſarum A Γ, Γ B incommenſurabile ei quod bis continetur ſub ipſis A Γ, Γ B: dico ipſi A B alteram non congruere potentia incommenſurabilem toti, & cum tota facientem ea quæ propoſita ſunt.



Si enim fieri poteſt, congruat B Δ, ita ut A Δ, Δ B potentia incommenſurabiles ſint, faciantque compoſitum quidem ex ipſarum A Δ, Δ B quadratis medium; quod autem bis ſub ipſis A Δ, Δ B continetur medium, & adhuc compoſitum ex quadratis ipſarum A Δ, Δ B incommenſurabile ei quod bis continetur ſub ipſis A Δ, Δ B. & exponatur rationalis E Z; & quadratis ipſarum A Γ, Γ B æquale parallelogrammum E H ad ipſam E Z applicetur, latitudinem faciens B M; ei vero quod bis continetur ſub A Γ, Γ B æquale parallelogrammum auferatur Θ H, latitudinem faciens Θ M: reliquum igitur quadratum ex A B [per 7. 2.] eſt æquale parallelogrammo E Λ: ergo A B ipſum E Λ poteſt. rurſus, quadratis ex A Δ, Δ B æquale parallelogrammum E I ad ipſam E Z applicetur, latitudinem faciens E N.

Α Δ, Δ Β ῥητόν. ἐπεὶ οὖν ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν Α Δ, Δ Β τῶν ἀπὸ τῶν Α Γ, Γ Β, τούτῳ ὑπερέχει καὶ τὸ δὶς ὑπὸ τῶν Α Δ, Δ Β τοῦ δὶς ὑπὸ τῶν Α Γ, Γ Β, ἀληθές τῶν αὐτῶν. τὸ δὲ δὶς ὑπὸ τῶν Α Δ, Δ Β τοῦ δὶς ὑπὸ τῶν Α Γ, Γ Β ὑπερέχει ῥητῷ, ῥητὰ γάρ ἐστιν ἀμφότερα· καὶ τὰ ἀπὸ τῶν Α Δ, Δ Β ἄρα τῶν ἀπὸ τῶν Α Γ, Γ Β ὑπερέχει ῥητῷ, ὅπερ ἐστὶν ἀδύνατον· μέσα γὰρ ἀμφότερα· οὐκ ἄρα τῇ Α Β ἑτέρα προσαρμόσει εὐθεῖα δυνάμει ἀσύμμετρος ὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν· τῇ ἄρα μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα μία μόνον προσαρμόσει. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ πε'.

Τῇ μετὰ μέσου μέσον τὸ ὅλον ποιούσῃ μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον, καὶ ἔτι ἀσύμμετρον τῷ συγκειμένῳ ἐκ τῶν ἀπ' αὐτῶν.

ΕΣτω ἡ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα ἡ Α Β, προσαρμόζουσα δὲ αὐτῇ ἡ Β Γ· αἱ ἄρα Α Γ, Γ Β δυνάμει εἰσὶν ἀσύμμετροι, ποιοῦσαι τὸ, μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, καὶ τὸ δὶς ὑπὸ τῶν Α Γ, Γ Β μέσον, ἔτι δὲ τὰ ἀπὸ τῶν Α Γ, Γ Β τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπὸ τῶν Α Γ, Γ Β· λέγω ὅτι τῇ Α Β ἑτέρα εὐθεῖα ἐστὶ προσαρμόσουσα δυνάμει ἀσύμμετρος ὖσα τῇ ὅλῃ, μετὰ ἧς τὰ ὅλης ποιοῦσα τὰ προκείμενα.

Εἰ γὰρ δυνατόν προσαρμοζέτω ἡ Β Δ, ὥστε καὶ τὰς Α Δ, Δ Β δυνάμει ἀσυμμέτρους εἶναι, ποιοῦσας τὰ μὲν ἀπὸ τῶν Α Δ, Δ Β τετράγωνα ἅμα μέσον, καὶ τὸ δὶς ὑπὸ τῶν Α Δ, Δ Β μέσον, καὶ ἔτι τὰ ἀπὸ τῶν Α Δ, Δ Β ἀσύμμετρα τῷ δὶς ὑπὸ τῶν Α Δ, Δ Β. καὶ ἐκκείσθω ῥητὴ ἡ Ε Ζ, καὶ τοῖς μὲν ἀπὸ τῶν Α Γ, Γ Β ἴσον παραβεβλήσθω τὸ Ε Η, πλάτος ποιοῦν τὴν Ε Μ, τῷ δὲ δὶς ὑπὸ τῶν Α Γ, Γ Β ἴσον ἀφῃρήσθω τὸ Θ Η, πλάτος ποιοῦν τὴν Θ Μ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς Α Β ἴσον ἐστὶ τῷ Ε Λ· ἡ ἄρα Α Β δυνατόν τὸ Ε Λ. πάλιν, τοῖς ἀπὸ τῶν Α Δ, Δ Β ἴσον παραβεβλήσθω τὸ Ε Ζ παραβεβλήσθω τὸ Ε Ι, πλάτος ποιοῦν τὴν Ε Ν. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς Α Β ἴσον τῷ

est autem & quadratum ex A B æquale paralleloE Λ·

ΕΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ ἴσον ἐστὶ τῷ ΘΙ. καὶ ἐπεὶ μέσον ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, καὶ ἔστιν ἴσον τῷ ΕΗ· μέσον ἄρα ἐστὶ καὶ τὸ ΕΗ· καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται, πλάτος ποιοῦν τὴν ΕΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΜ, καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, καὶ ἴσον τὸ ΘΗ· μέσον ἄρα καὶ τὸ ΘΗ, καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται, πλάτος ποιοῦν τὴν ΘΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΘΜ, καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ ἀσύμμετρά ἐστι τὰ ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΕΗ τῷ ΘΗ· ἀσύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΕΜ τῇ ΜΘ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΕΜ, ΜΘ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΘ, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΘΜ. ὁμοίως δὴ δείξομεν ὅτι ἡ ΕΘ πάλιν ἀποτομή ἐστι, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΘΝ· τῇ ἄρα ἀποτομῇ ἄλλη καὶ ἄλλη προσαρμόζει ῥητὴ, δυνάμει μόνον ἀσύμμετρος ὅλα τῇ ὅλῃ, ὅπερ ἐδείχθη ἀδυνάτων· οὐκ ἄρα τῇ ΑΒ ἑτέρα προσαρμόσει εὐθεῖα· τῇ ἄρα ΑΒ μία μόνον προσαρμόσει εὐθεῖα δυνάμει ἀσύμμετρος ὅλα τῇ ὅλῃ, μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὰ τε ἀπ' αὐτῶν τετράγωνα ἅμα μέσον, ἔτι τε τὰ ὑπ' αὐτῶν τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπ' αὐτῶν. ὅπερ ἔδει δεῖξαι.

grammo ΕΛ: ergo [per 7.2.] reliquum quod bis ſub ΑΔ, ΔΒ continetur ipſi ΘΙ eſt æquale. & quoniam [ex hyp.] compoſitum ex quadratis ipſarum ΑΓ, ΓΒ medium eſt, & [per conſtr.] æquale parallelogrammo ΕΗ, erit & ΕΗ medium: & ad rationalem ΕΖ applicatum eſt, latitudinem faciens ΕΜ; quare [per 23. 10.] ΕΜ eſt rationalis, & ipſi ΕΖ longitudine incommenſurabilis. rurſus, quoniam quod bis ſub ΑΓ, ΓΒ continetur eſt medium, & æquale ipſi ΘΗ; erit & ΘΗ medium, & ad rationalem ΕΖ applicatum eſt, latitudinem faciens ΘΜ: rationalis igitur eſt ΘΜ [per 23. 10.] & ipſi ΕΖ incommenſurabilis longitudine. & quoniam quadrata ex ΑΓ, ΓΒ incommenſurabilia ſint ei quod bis ſub ΑΓ, ΓΒ continetur, erit & ΕΗ incommenſurabile ipſi ΘΗ, ideoque [per 1. 6. & 10.10.] recta linea ΕΜ rectæ ΜΘ longitudine eſt incommenſurabilis. & ſunt ambæ rationales: cum igitur ΕΜ, ΜΘ rationales ſint potentia ſolum commenſurabiles, recta linea ΕΘ [per 74.10.] apotome eſt, & ipſi congruens ΘΜ. ſimiliter demonſtrabimus ΕΘ rurſus apotomen eſſe, ipſique congruentem ΘΝ: ergo apotomæ alia atque alia congruit rationalis, potentia ſolum commenſurabilis exiſtens toti, quod fieri non poſſe [per 80. 10.] oſtenſum eſt: non igitur ipſi ΑΒ altera congruet recta linea: ipſi igitur ΑΒ una tantum congruet, potentia incommenſurabilis exiſtens toti, & cum tota faciens compoſitum quidem ex ipſarum quadratis medium, quod autem bis ſub ipſis continetur medium, & adhuc compoſitum ex quadratis ipſarum incommenſurabile ei quod bis continetur ſub ipſis. quod erat demonſtrandum.

ΟΡΟΙ ΤΡΙΤΟΙ.

α'. Ὑποκειμένης ῥητῆς καὶ ἀποτομῆς, ἐὰν μὴ ὅλη τὸ προσαρμόζουσα μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, καὶ ἡ ὅλη σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καλείσθω ἀποτομὴ πρώτη.

β'. Ἐὰν δὲ ἡ προσαρμόζουσα σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ὅλη τὸ προσαρμόζουσα μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καλείσθω ἀποτομὴ δευτέρα.

γ'. Ἐὰν δὲ μηδετέρα σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ μὲν ὅλη τὸ προσαρμόζουσα μεῖζον δύνηται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καλείσθω ἀποτομὴ τρίτη.

δ'. Πάλιν, ἐὰν ἡ ὅλη τὸ προσαρμόζουσα μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει, ἐὰν μὲν ἡ ὅλη σύμμετρος ᾖ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καλείσθω ἀποτομὴ τετάρτη.

ε'. Ἐὰν δὲ ἡ προσαρμόζουσα, πέμπτη.

ϛ'. Ἐὰν δὲ μηδετέρα, ἕκτη.

DEFINITIONES TERTIÆ.

1. Poſita rationali & apotoma, ſi quidem tota plus poſſit quam congruens quadrato rectæ lineæ ſibi commenſurabilis longitudine, ſitque tota poſitæ rationali longitudine commenſurabilis; vocetur apotome prima.

2. Si vero congruens ſit longitudine commenſurabilis poſitæ rationali, & tota plus poſſit quam congruens quadrato rectæ lineæ ſibi commenſurabilis longitudine; vocetur apotome ſecunda.

3 Quod ſi neutra ſit longitudine commenſurabilis poſitæ rationali, & tota plus poſſit quam congruens quadrato rectæ lineæ ſibi commenſurabilis longitudine; dicatur apotome tertia.

4. Rurſus ſi tota plus poſſit quam congruens quadrato rectæ lineæ ſibi incommenſurabilis longitudine, ſi quidem tota ſit longitudine commenſurabilis poſitæ rationali; vocetur apotome quarta.

5. Si vero congruens, vocetur apotome quinta.

6. Quod ſi neutra, dicatur apotome ſexta.

PROP. LXXXVI. PROBL.
Invenire primam apotomen.

EXponatur rationalis A, & ipſi A longitudine commenſurabilis ſit BH: ergo & BH eſt rationalis. & [per coroll. lem. 1.30.10.] exponantur duo quadrati numeri BΔ, EZ, quorum exceſſus ΔZ non ſit quadratus: neque igitur EΔ ad ΔZ rationem habebit quam numerus quadratus ad quadratum numerum. & fiat ut EΔ ad ΔZ ita quadratum ex BH ad quadratum ex HΓ.

ὀρθὴ ἐστὶ· ἴση ἄρα ἡ ὑπὸ ΑΓΘ γωνία τῇ ὑπὸ ΔΖΜ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΘΑΓ τῇ ὑπὸ ΜΔΖ ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΜΔΖ, ΘΑΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, τὴν ΑΘ τῇ ΔΜ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ· ἴση ἄρα ἡ ΑΓ τῇ ΔΖ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση ἐστίν. ἐπεζεύχθωσαν αἱ ΘΒ, ΜΕ. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΑΘ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΚ, ΚΘ, τῷ δὲ ἀπὸ τῆς ΑΚ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΚ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΚ, ΚΘ ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ΑΘ. ἀλλὰ τοῖς ἀπὸ τῶν ΒΚ, ΚΘ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΘ, ὀρθὴ γάρ ἡ ὑπὸ ΘΚΒ γωνία, διὰ τὸ καὶ τὴν ΘΚ κάθετον εἶναι ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον· τὸ ἄρα ἀπὸ τῆς ΑΘ ἴσον τοῖς ἀπὸ τῶν ΑΒ, ΒΘ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΑΒΘ γωνία. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΔΕΜ γωνία ὀρθή ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΘ γωνία ἴση τῇ ὑπὸ ΕΔΜ, ὑπόκειται γάρ, καὶ ἔστιν ἡ ΑΘ τῇ ΔΜ ἴση· ἴση ἄρα καὶ ἡ ΑΒ τῇ ΔΕ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΓ τῇ ΔΖ, ἡ δὲ ΑΒ τῇ ΔΕ· δύο δὴ αἱ ΓΑ, ΑΒ δυσὶ ταῖς ΖΔ, ΔΕ ἴσαι εἰσίν. ἀλλὰ καὶ γωνία ἡ ὑπὸ ΓΑΒ γωνίᾳ τῇ ὑπὸ ΖΔΕ ἐστιν ἴση· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστί. καὶ τὸ τρίγωνον τῷ τριγώνῳ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις· ἴση ἄρα ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΔΖΕ. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΓΚ ὀρθῇ τῇ ὑπὸ ΔΖΝ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΓΚ λοιπῇ τῇ ὑπὸ ΕΖΝ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΒΚ γωνία τῇ ὑπὸ ΖΕΝ ἴση ἐστίν. δύο δὴ τρίγωνά ἐστι τὰ ΓΒΚ, ΖΕΝ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν πρὸς ταῖς ἴσαις γωνίαις, τὴν ΒΓ τῇ ΕΖ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν· ἴση ἄρα ἡ ΓΚ τῇ ΖΝ. ἔστι δὲ καὶ ἡ ΑΓ τῇ ΔΖ ἴση, δύο δὴ αἱ ΑΓ, ΓΚ δυσὶ ταῖς ΔΖ, ΖΝ ἴσαι εἰσὶ καὶ ὀρθὰς γωνίας περιέχουσι· βάσις ἄρα ἡ ΑΚ βάσει τῇ ΔΝ ἴση ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΘ τῇ ΔΜ, ἴσον ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΘ τῷ ἀπὸ τῆς ΔΜ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΘ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΚ, ΚΘ, ὀρθὴ γὰρ ἡ ὑπὸ ΑΚΘ, τῷ δὲ ἀπὸ τῆς ΔΜ ἴσα τὰ ἀπὸ τῶν ΔΝ, ΝΜ, ὀρθὴ γάρ ἡ ὑπὸ ΔΝΜ· τὰ ἄρα ἀπὸ τῶν ΑΚ, ΚΘ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΔΝ, ΝΜ, ὧν τὸ ἀπὸ τῆς ΑΚ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΝ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΚΘ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΝΜ· ἴση ἄρα ἡ ΘΚ τῇ ΜΝ. καὶ ἐπεὶ δύο αἱ ΘΑ, ΑΚ δυσὶ ταῖς ΜΔ, ΔΝ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΘΚ βάσει τῇ ΝΜ ἐδείχθη ἴση· γωνία ἄρα ἡ ὑπὸ ΘΑΚ γωνίᾳ τῇ ὑπὸ ΜΔΝ ἐστιν ἴση. ὅπερ ἔδει δεῖξαι.

ctus est: ergo angulus ΑΓΘ ipsi ΔΖΜ est æqualis. est autem & ΘΑΓ angulus æqualis angulo ΜΔΖ; duo igitur triangula sunt ΜΔΖ, ΘΑΓ duos angulos duobus angulis æquales habentia, alterum alteri, & unum latus uni lateri æquale, quod uni æqualium angulorum subtenditur; videlicet [per constr.] ΑΘ ipsi ΔΜ; ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt, alterum alteri: quare ΑΓ est æqualis ΔΖ. similiter demonstrabimus & ΑΒ ipsi ΔΕ æquale esse. jungantur ΘΒ, ΜΕ. & quoniam quadratum ex ΑΘ est æquale quadratis ex ΑΚ, ΚΘ; quadrato autem ex ΑΚ æqualia sunt quadrata ex ΑΒ, ΒΚ: erunt quadrata ex ΑΒ, ΒΚ, ΚΘ quadrato ex ΑΘ æqualia. sed quadratis ex ΒΚ, ΚΘ æquale est ex ΒΘ quadratum; rectus enim angulus est ΘΚΒ, propterea quod ΘΚ perpendicularis est ad subjectum planum: quadratum igitur ex ΑΘ æquale est quadratis ex ΑΒ, ΒΘ: quare angulus ΑΒΘ rectus est. eadem ratione & angulus ΔΕΜ est rectus. est autem & ΒΑΘ angulus æqualis angulo ΕΔΜ, ita enim ponitur; at vero ΑΘ æqualis ΔΜ: ergo & ΑΒ ipsi ΔΕ est æqualis. quoniam igitur ΑΓ quidem est æqualis ΔΖ, ΑΒ vero ipsi ΔΕ; adeoque duæ ΓΑ, ΑΒ duabus ΖΔ, ΔΕ sunt æquales. sed & angulus ΓΑΒ angulo ΖΔΕ æqualis: basis igitur ΒΓ [per 4. 1.] basi ΕΖ æqualis est. & triangulum triangulo, & reliqui anguli reliquis æquales sunt: ergo angulus ΑΓΒ æqualis est angulo ΔΖΕ. est autem [per constr.] & rectus ΑΓΚ æqualis recto ΔΖΝ: quare & reliquus ΒΓΚ reliquo ΕΖΝ est æqualis. eadem ratione & ΓΒΚ angulus est æqualis angulo ΖΕΝ. itaque ΓΒΚ, ΖΕΝ sunt duo triangula duos angulos duobus angulis æquales habentia, alterum alteri, & unum latus uni lateri æquale, quod æqualibus adjacet angulis, sc. ΒΓ ipsi ΕΖ: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt: æqualis igitur est ΓΚ ipsi ΖΝ. est autem & ΑΓ ipsi ΔΖ æqualis; quare duæ ΑΓ, ΓΚ duabus ΔΖ, ΖΝ æquales sunt, & rectos continent angulos: basis igitur ΑΚ [per 4. 1.] est æqualis basi ΔΝ. & cum ΑΘ sit æqualis ΔΜ; erit & quadratum ex ΑΘ quadrato ex ΔΜ æquale. sed [per 47. 1.] quadrato ex ΑΘ æqualia sunt ex ΑΚ, ΚΘ quadrata, etenim rectus est angulus ΑΚΘ; quadrato autem ex ΔΜ æqualia sunt quadrata ex ΔΝ, ΝΜ, quia angulus ΔΝΜ est rectus: quadrata igitur ex ΑΚ, ΚΘ quadratis ex ΔΝ, ΝΜ sunt æqualia; ex quibus quadratum ex ΑΚ æquale est quadrato ex ΔΝ; ergo reliquum ex ΚΘ quadratum reliquo quadrato ex ΝΜ est æquale: & ideo recta linea ΘΚ ipsi ΜΝ æqualis. & cum duæ ΘΑ, ΑΚ duabus ΜΔ, ΔΝ æquales sint, altera alteri, & basis ΘΚ basi ΝΜ ostensa sit æqualis; [per 8. 1.] angulus ΘΑΚ angulo ΜΔΝ æqualis erit. quod erat dem.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν ὦσι δύο γωνίαι ἐπίπεδοι εὐθύγραμμοι ἴσαι, ἀνασταθῶσι δὲ ἀπ' αὐτῶν μετέωροι εὐθεῖαι ἴσαι ἴσας γωνίας περιέχουσαι μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν ἑκατέρα ἑκατέρᾳ,

Corollarium.

Ex hoc vero manifestum est, si sint duo anguli plani rectilinei æquales, ab ipsis autem constituantur sublimes rectæ lineæ æquales, quæ cum rectis lineis à principio positis æquales contineant angulos, alterum alteri, perpendi-

culares,

culares, quæ ab ipſis ad plana in quibus ſunt primi anguli ducuntur, inter ſe æquales eſſe.

PROP. XXXVI. THEOR.

Si tres rectæ lineæ proportionales ſint; ſolidum parallelepipedum quod à tribus fit æquale eſt ſolido parallelepipedo quod fit à media, æquilatero quidem, æquiangulo autem antedicto.

SInt tres rectæ lineæ proportionales A, B, Γ, ſitque ut A ad B ita B ad Γ: dico ſolidum quod fit ex ipſis A, B, Γ æquale eſſe ſolido quod fit ex B, æquilatero quidem, æquiangulo autem antedicto.

Exponatur ſolidus angulus ad E contentus ſub tribus angulis planis ΔEH, HEZ, ZEΔ; & ipſi quidem B ponatur æqualis unaquæque ipſarum ΔE, HE, EZ, & ſolidum parallelepipedum EK compleatur; ipſi vero A ponatur æqualis ΛM, & ad rectam lineam ΛM & ad punctum in ipſa Λ [per 26. 11.] conſtituatur angulo ſolido ad E æqualis angulus



contentus ſub NΛΞ, ΞΛM, MΛN, & ponatur ipſi quidem B æqualis ΛΞ, ipſi vero Γ æqualis ΛN. quoniam igitur eſt ut A ad B ita B ad Γ, æqualis autem eſt A ipſi ΛM, & B unicuique ipſarum ΛΞ, EZ, EH, EΔ, & Γ ipſi ΛN; erit ut ΛM ad EZ ita ΔE ad ΛN: & circum æquales angulos MΛN, ΔEZ latera ſunt reciproce proportionalia: ergo [per 14.6.] MN parallelogrammum parallelogrammo ΔZ eſt æquale. & quoniam duo anguli plani rectilinei ΔEZ, NΛM, æquales ſunt & in ipſis ſublimes rectæ conſtituuntur ΛΞ, EH æquales inter ſe, & cum rectis lineis à principio poſitis æquales· continentes angulos, alterum alteri; erunt[per cor.35.11.] perpendiculares,quæ à punctis H,Ξ ad plana per NΛM, ΔEZ ducuntur,inter ſe æquales: ergo ſolida ΛΘ, EK in eadem ſunt altitudine. quæ vero in æqualibus baſibus ſunt ſolida parallelepipeda, & in eadem altitudine [per 31. 11.] inter ſe ſunt æqualia: ergo ſolidum ΘΛ æquale eſt ſolido EK. atque ΘΛ quidem eſt ſolidum, quod fit à tribus A, B, Γ; ſolidum vero EK quod fit ex B: ergo ſolidum quod fit ex ipſis A, B, Γ æquale eſt ſolido quod fit ex B, æquilatero quidem, æquiangulo autem antedicto.

Si igitur tres rectæ lineæ proportionales ſint, ſolidum parallelepipedum quod à tribus fit æquale eſt ſolido parallelepipedo quod fit à media, æquilatero quidem, æquiangulo autem antedicto. quod erat demonſtrandum.

αἱ ἀπ' αὐτῶν καθεξει, ἀγόμεναι ἐπὶ τὰ ἐπίπεδα ἐν οἷς εἰσιν αἱ ἐξ ἀρχῆς γωνίαι, ἴσαι ἀλλήλαις εἰσίν.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν τριῶν στερεὸν παραλληλεπίπεδον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης στερεῷ παραλληλεπιπέδῳ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Ἔστωσαν τρεῖς εὐθεῖαι ἀνάλογον αἱ A, B, Γ, ὡς ἡ A πρὸς τὴν B οὕτως ἡ B πρὸς τὴν Γ· λέγω ὅτι τὸ ὑπὸ τῶν A, B, Γ στερεὸν ἴσον ἐστὶ τῷ ἀπὸ τῆς B στερεῷ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Ἐκκείσθω στερεὰ γωνία ἡ πρὸς τῷ E περιεχομένη ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων τῶν ὑπὸ ΔEH, HEZ, ZEΔ, καὶ κείσθω τῇ μὲν B ἴση ἑκάστη τῶν ΔE, HE, EZ, καὶ συμπεπληρώσθω τὸ EK στερεὸν παραλληλεπίπεδον, τῇ δὲ A κείσθω ἴση ἡ ΛM, καὶ συνεστάτω πρὸς τῇ ΛM εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Λ τῇ πρὸς τῷ E στερεᾷ γωνίᾳ ἴση περιεχο-

μένη ὑπὸ τῶν ΝΛΞ, ΞΛM, MΛN, καὶ κείσθω τῇ μὲν B ἴση ἡ ΛΞ, τῇ δὲ Γ ἴση ἡ ΛN. καὶ ἐπεί ἐστιν ὡς ἡ A πρὸς τὴν B οὕτως ἡ B πρὸς τὴν Γ, ἴση δὲ ἡ μὲν A τῇ ΛM, ἡ δὲ B ἑκάστη τῶν ΛΞ, EZ, EH, EΔ, ἡ δὲ Γ τῇ ΛN· ἔστιν ἄρα ὡς ἡ ΛM πρὸς τὴν EZ οὕτως ἡ ΔE πρὸς τὴν ΛN. Ὧν αἱ ἴσας γωνίας, τὰς ὑπὸ MΛN, ΔEZ αἱ πλευραὶ ἀντιπεπόνθασιν· ἴσον ἄρα τὸ MN παραλληλόγραμμον τῷ ΔZ παραλληλογράμμῳ. καὶ ἐπεὶ δύο γωνίαι στερεαὶ εὐθυγράμμοι ἴσαι εἰσὶν αἱ ὑπὸ ΔEZ, NΛM, καὶ ἐπ' αὐτῶν μεταξὺ εὐθεῖαι ἐφεστήκασιν αἱ ΛΞ, EH ἴσαι τε ἀλλήλαις καὶ ἴσας γωνίας περιέχουσι μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν ἑκατέραν ἑκατέρᾳ· αἱ ἄρα ἀπὸ τῶν H, Ξ σημείων κάθετοι, ἀγόμεναι ἐπὶ τὰ διὰ τῶν NΛM, ΔEZ ἐπίπεδα, ἴσαι ἀλλήλαις εἰσίν· ὥστε τὸ ΛΘ, EK στερεὰ ὑπὸ τὸ αὐτὸ ὕψος ἐστί. τὰ δὲ ἐπὶ ἴσων βάσεων στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα τὸ ΘΛ στερεὸν τῷ EK στερεῷ. καὶ ἔστι τὸ μὲν ΘΛ τὸ ὑπὸ τῶν A, B, Γ στερεόν, τὸ δὲ EK τὸ ἀπὸ τῆς B στερεόν· τὸ ἄρα ὑπὸ τῶν A, B, Γ στερεὸν ἴσον ἐστὶ τῷ ἀπὸ τῆς B στερεῷ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Ἐὰν ἄρα τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν τριῶν στερεὸν παραλληλεπίπεδον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης στερεῷ παραλληλεπιπέδῳ, ἰσοπλεύρῳ μὲν, ἰσογωνίῳ δὲ τῷ προειρημένῳ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι· καὶ τὰ ἀπ' αὐτῶν σερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται. καὶ ἐὰν τὰ ἀπ' αὐτῶν σερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ· καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται.

Prop. XXXVII. Theor.

Si quatuor rectæ lineæ proportionales ſint; & quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia erunt. & ſi quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia ſint; & ipſæ rectæ lineæ proportionales erunt.

Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ ΑΒ, ΓΔ, ΕΖ, ΗΘ, ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ, καὶ ἀναγεγράφθωσαν ἀπὸ τῶν ΑΒ, ΓΔ, ΕΖ, ΗΘ ὅμοιά τε καὶ ὁμοίως κείμενα παραλληλεπίπεδα τὰ ΚΑ, ΛΓ, ΜΕ, ΝΗ· λέγω ὅτι ἐστὶν ὡς τὸ ΚΑ πρὸς τὸ ΛΓ οὕτως τὸ ΜΕ πρὸς τὸ ΝΗ.

Ἐπεὶ γὰρ ἐστὶ τὸ ΚΑ στερεὸν παραλληλεπίπεδον τῷ ΛΓ ὅμοιον, τὸ ΚΑ ἄρα πρὸς τὸ ΛΓ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς τὴν ΓΔ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΜΕ πρὸς τὸ ΝΗ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΗΘ. ἔστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ· ὡς ἄρα τὸ ΑΚ πρὸς τὸ ΛΓ οὕτως τὸ ΜΕ πρὸς τὸ ΝΗ.



Ἀλλὰ δὴ ἔστω ὡς τὸ ΑΚ στερεὸν πρὸς τὸ ΛΓ στερεὸν οὕτως τὸ ΜΕ στερεὸν πρὸς τὸ ΝΗ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒ εὐθεῖα πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ.

Ἐπεὶ γὰρ πάλιν τὸ ΑΚ πρὸς τὸ ΛΓ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς τὴν ΓΔ, ἔχει δὲ καὶ τὸ ΜΕ πρὸς τὸ ΝΗ τριπλασίονα λόγον ἤπερ ἡ ΕΖ πρὸς τὴν ΗΘ, καί ἐστιν ὡς τὸ ΑΚ πρὸς τὸ ΛΓ οὕτως τὸ ΜΕ πρὸς τὸ ΝΗ· καὶ ὡς ἄρα ἡ ΑΒ πρὸς τὴν ΓΔ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΘ.

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι· καὶ τὰ ἀπ' αὐτῶν παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται. καὶ ἐὰν τὰ ἀπ' αὐτῶν στερεὰ παραλληλεπίπεδα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ· καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται. ὅπερ ἔδει δεῖξαι.

SInt quatuor rectæ lineæ proportionales AB, ΓΔ, EZ, HΘ, ſitque ut AB ad ΓΔ ita EZ ad HΘ, & deſcribantur ab ipſis AB, ΓΔ, EZ, HΘ ſimilia & ſimiliter poſita ſolida parallelepipeda KA, ΛΓ, ME, NH: dico ut KA ad ΛΓ ita eſſe ME ad NH.

Quoniam enim ſolidum parallelepipedum KA ſimile eſt ipſi ΛΓ, habebit [per 33. 11.] KA ad ΛΓ triplicatam rationem ejus quam AB habet ad ΓΔ. eadem ratione & ſolidum ME ad ipſum NH triplicatam rationem habebit ejus quam habet EZ ad HΘ. atque [ex hyp.] ut AB ad ΓΔ ita EZ ad HΘ: ut igitur AK ad ΛΓ ita ME ad NH.

SED ſit ut ſolidum AK ad ſolidum ΛΓ ita ME ſolidum ad ſolidum NH: dico ut recta linea AB ad rectam ΓΔ ita eſſe rectam EZ ad ipſam HΘ.

Quoniam enim rurſus AK ad ΛΓ triplicatam rationem habet ejus quam AB habet ad ΓΔ; habet autem & ME ad NH triplicatam rationem ejus quam EZ ad HΘ; atque ut AK ad ΛΓ ita ME ad NH: erit ut AB ad ΓΔ ita EZ ad HΘ.

Si igitur quatuor rectæ lineæ proportionales ſint; & quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia erunt. & ſi quæ ab ipſis fiunt ſolida parallelepipeda ſimilia & ſimiliter deſcripta proportionalia ſint; & ipſæ rectæ lineæ proportionales erunt. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ πρὸς ὀρθὰς ᾖ, καὶ ἀπό τινος σημείου τοῦ ἑνὸς τῶν ἀπεναντίον ἐπιπέδων κάθετος ἀχθῇ· ἐπὶ τὸ κοινὸν τομὴν τῶν ἐπιπέδων ἡ ἀχθεῖσα κάθετος.

Prop. XXXVIII. Theor.

Si planum ad planum rectum ſit; & ab aliquo puncto eorum quæ ſunt in uno plano ad alterum planum perpendicularis ducatur: ea in communem planorum ſectionem cadet.

Ἐπίπεδον γὰρ τὸ ΓΔ ἐπιπέδῳ τῷ ΑΒ πρὸς ὀρθὰς ἔστω, κοινὴ δὲ αὐτῶν τομὴ ἔστω ἡ ΑΔ, καὶ εἰλήφθω ἐπὶ τοῦ ΓΔ ἐπιπέδου τυχὸν σημεῖον τὸ Ε·

PLanum enim ΓΔ ad planum AB rectum ſit, communis autem eorum ſectio ſit AΔ, & in ipſo ΓΔ plano quodvis punctum E ſumatur:

dico perpendicularem, quæ à puncto E ad planum AB ducitur, cadere in ipſam AΔ.

Non enim, ſed ſi fieri poteſt, cadat extra, ut EZ, & plano AB in puncto Z occurrat: à puncto autem Z [per 10. 1.] ad ΔA in plano AB, perpendicularis ducatur ZH, quæ quidem [per 4. def. 11.] & plano ΓΔ ad rectos angulos erit; & EH jungatur. quoniam igitur ZH plano ΓΔ eſt ad rectos angulos, contingit autem ipſam recta linea EH, quæ eſt in eodem ΓΔ plano: erit [per 3. def. 11.] angulus ZHE rectus. ſed & EZ plano AB ad rectos angulos eſt; rectus igitur eſt angulus EZH. quare trianguli EZH duo anguli duobus rectis ſunt æquales; quod [per 17. 1.] eſt abſurdum: non igitur à puncto E ad AB planum perpendicularis ducta extra rectam lineam ΔA cadet: cadet igitur in ipſam AΔ.



Si igitur planum ad planum rectum ſit, & ab aliquo puncto eorum quæ ſunt in uno plano ad alterum planum perpendicularis ducatur: ea in communem planorum ſectionem cadet. quod erat demonſtrandum.

λέγω ὅτι ἡ ἀπὸ τοῦ E ἐπὶ τὸ AB ἐπίπεδον κάθετος ἀγομένη ἐπὶ τὸ ΔA πεσεῖται.

Μὴ γάρ, ἀλλ' εἰ δυνατὸν, πιπτέτω ἐκτὸς ὡς ἡ EZ, καὶ συμβαλλέτω τῷ AB ἐπιπέδῳ κατὰ τὸ Z σημεῖον, καὶ ἀπὸ τοῦ Z ἐπὶ τινὰ ΔA ἐν τῷ AB ἐπιπέδῳ κάθετος ἤχθω ἡ ZH, ἥτις καὶ τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστι, καὶ ἐπεζεύχθω ἡ EH. ἐπεὶ οὖν ἡ ZH τῷ ΓΔ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν, ἅπτεται δὲ αὐτῆς ἡ EH, ἔστιν ἐν τῷ ΓΔ ἐπιπέδῳ· ὀρθὴ ἄρα ἡ ὑπὸ ZHE γωνία. ἀλλὰ δὴ καὶ ἡ EZ τῷ AB ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἡ ἄρα ὑπὸ EZH ὀρθή ἐστι. τριγώνου δὴ τοῦ EZH αἱ δύο γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ E ἐπὶ τὸ AB ἐπίπεδον κάθετος ἀγομένη ἐκτὸς πεσεῖται τῆς ΔA· ἐπὶ τινὰ ΔA ἄρα πεσεῖται.

Εἰ ἄρα ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου τῶν ἐν ἑνὶ τῶν ἐπιπέδων ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ· ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἐπιπέδων ἡ ἀγομένη κάθετος. ὅπερ ἔδει δεῖξαι.

Prop. XXXIX. Theor.

Si in ſolido parallelepipedo oppoſitorum planorum latera ſecentur bifariam, per ſectiones vero plana ducantur; communis planorum ſectio & ſolidi parallelepipedi diameter ſe mutuo bifariam ſecabunt.

IN ſolido enim parallelepipedo AZ oppoſitorum planorum ΓZ, AΘ latera bifariam ſecentur in punctis K, Λ, M, N, Ξ, Π, O, P, & per ſectiones plana ducantur KN, ΞP, communis autem planorum ſectio ſit TΣ, & ſolidi parallelepipedi diameter ΔH: dico TΣ, ΔH ſeſe bifariam ſecare; hoc eſt, TT quidem ipſi TΣ; ΔT vero ipſi TH æqualem eſſe.



Jungantur enim ΔT, TE, BΣ, ΣH. quoniam igitur Δ Ξ parallela eſt ipſi OB, alterni anguli ΔΞT, TOB [per 29. 1.] inter ſe æquales ſunt. & quoniam ΔΞ quidem eſt æqualis OE; ΞT vero ipſi TO, & angulos æquales continent; erit [per 4. 1.] baſis ΔT æqualis baſi TB, & triangulum ΔΞT triangulo

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν στερεοῦ παραλληλεπιπέδου τῶν ἀπεναντίον ἐπιπέδων αἱ πλευραὶ δίχα τμηθῶσι, διὰ δὲ τῶν τομῶν ἐπίπεδα ἐκβληθῇ· ἡ κοινὴ τομὴ τῶν ἐπιπέδων καὶ ἡ τοῦ στερεοῦ παραλληλεπιπέδου διάμετρος δίχα τέμνουσιν ἀλλήλας.

Στερεοῦ γὰρ παραλληλεπιπέδου τοῦ AZ τῶν ἀπεναντίον ἐπιπέδων τῶν ΓZ, AΘ αἱ πλευραὶ δίχα τετμήσθωσαν κατὰ τὰ K, Λ, M, N, Ξ, Π, O, P σημεῖα, διὰ δὲ τῶν τομῶν ἐπίπεδα ἐκβεβλήσθωσαν τὰ KN, ΞP, κοινὴ δὲ τῶν ἐπιπέδων τομὴ ἔστω ἡ TΣ, τοῦ δὲ AB στερεοῦ παραλληλεπιπέδου διαγώνιος ἡ ΔH· λέγω ὅτι αἱ TΣ, ΔH δίχα τέμνουσιν ἀλλήλας, τουτέστιν ὅτι ἡ μὲν TT τῇ TΣ ἴση ἐστὶν, ἡ δὲ ΔT τῇ TH.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΔT, TE, BΣ, ΣH. καὶ ἐπεὶ παραλληλός ἐστιν ἡ ΔΞ τῇ OE, αἱ ἐναλλὰξ ἄρα γωνίαι αἱ ὑπὸ ΔΞT, TOE ἴσαι ἀλλήλαις εἰσί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΔΞ τῇ OE, ἡ δὲ ΞT τῇ TO, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΔT βάσει τῇ TE ἴση ἐστί, καὶ τὸ ΔΞT τρίγωνον

γωνον τῷ ΤΟΕ τριγώνῳ ἴσον ἐστί, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις· ἴση ἄρα ἡ ὑπὸ ΞΤΔ γωνία τῇ ὑπὸ ΟΤΕ. διὰ δὴ τὰ αὐτὰ καὶ ἐπὶ τὴν αὐτὴν εὐθεῖάν ἐστιν ἡ ΔΤΕ· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΣΗ εὐθεῖά ἐστι. καὶ ἴση ἡ ΒΣ τῇ ΣΗ. καὶ ἐπεὶ ἡ ΓΑ τῇ ΔΒ ἴση ἐστὶ καὶ παράλληλος, ἀλλὰ καὶ ἡ ΓΑ καὶ τῇ ΕΗ ἴση τέ ἐστι καὶ παράλληλος· καὶ ἡ ΔΒ ἄρα τῇ ΕΗ ἴση τέ ἐστι καὶ παράλληλος. καὶ διὰ δύο εὐθειῶν αἱ ΔΕ, ΗΒ παράλληλος ἄρα ἡ ΔΕ τῇ ΒΗ. καὶ εἰλήφθω ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα τὰ Δ, Υ, Η, Σ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΗ, ΥΣ· ἐν ἑνὶ ἄρα εἰσὶν ἐπιπέδῳ αἱ ΔΗ, ΥΣ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΔΕ τῇ ΒΗ, ἴση ἄρα ἡ ὑπὸ ΕΔΤ γωνία τῇ ὑπὸ ΒΗΤ, ἐναλλὰξ γάρ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΔΤΥ τῇ ὑπὸ ΗΤΣ ἴση· δύο δὴ τρίγωνά ἐστι τὰ ΔΤΥ, ΗΤΣ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, τὰ ΔΤ τῇ ΗΣ, ἡμίσεια γάρ εἰσι τῶν ΔΕ, ΒΗ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς ἴσας ἕξει· ἴση ἄρα ἡ μὲν ΔΤ τῇ ΤΗ, ἡ δὲ ΥΤ τῇ ΤΣ.

Ἐὰν ἄρα στερεῶν παραλληλεπιπέδων τὰ ἀπεναντίον ἐπίπεδα, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

gulo ΤΟΕ, & reliqui anguli reliquis angulis æquales: angulus igitur ΞΤΔ eſt æqualis angulo ΟΤΕ, & ob eandem [per constr.] ΔΤΕ eſt recta linea: eademque ratione & ΒΣΗ recta eſt, atque ΒΣ æqualis ipſi ΣΗ. & quoniam [per 34. 1.] ΓΑ ipſi ΔΒ æqualis eſt & parallela, ſed & ΓΑ æqualis & parallela ipſi ΕΗ; erit & ΔΒ ipſi ΕΗ æqualis & [per 30. 1.] parallela. & ipſas conjungunt rectæ lineæ ΔΕ, ΒΗ: parallela igitur eſt [per 33. 1.] ΔΕ ipſi ΒΗ. & ſumpta ſunt in utraque ipſarum quædam puncta Δ, Υ, Η, Σ, & junctæ ſunt ΔΗ, ΥΣ: ergo [per 7. 11.] ΔΗ, ΥΣ in uno ſunt plano. quoniam igitur ΔΕ parallela eſt ipſi ΒΗ, erit [per 29. 1.] & ΕΔΤ angulus angulo ΒΗΤ æqualis, alterni enim ſunt. eſt autem & ΔΤΤ angulus [per 15. 1.] æqualis ipſi ΗΤΣ: duo igitur ſunt trianguli ΔΤΤ, ΗΤΣ duos angulos duobus angulis æquales habentia, & unum latus uni lateri æquale, quod uni æqualium angulorum ſubtenditur, videlicet ΔΤ ipſi ΗΣ; dimidia enim ſunt ipſorum ΔΕ, ΒΗ: ergo [per 26. 1.] & reliqua latera reliquis lateribus æqualia habebunt: quare ΔΤ quidem eſt æqualis ΤΗ, ΤΤ vero ipſi ΤΣ.

Si igitur in ſolido parallelepipedo, & quæ ſequuntur. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ. μά.

Ἐὰν ᾖ δύο πρίσματα ἰσοῦψῆ, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου· ἴσα ἔσται τὰ πρίσματα.

PROP. XL. THEOR.

Si ſint duo priſmata æquealta, quorum unum quidem baſim habeat parallelogrammum, alterum vero triangulum, & parallelogrammum duplum ſit trianguli; æqualia erunt ipſa priſmata.

Ἔστω πρίσματα ἰσοῦψῆ τὰ ΑΒΓΔΕΖ, ΗΘΚΛΜΝ, καὶ τὸ μὲν ἐχέτω βάσιν τὸ ΑΖ παραλληλόγραμμον, τὸ δὲ τὸ ΗΘΚ τρίγωνον, διπλάσιον δὲ ἔστω τὸ ΑΖ παραλληλόγραμμον τοῦ ΗΘΚ τριγώνου· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔΕΖ πρίσμα τῷ ΗΘΚΛΜΝ πρίσματι.

Συμπεπληρώσθω γὰρ τὰ ΑΞ, ΗΟ στερεά. καὶ ἐπεὶ διπλάσιόν ἐστι τὸ ΑΖ παραλληλόγραμμον τοῦ ΗΘΚ τριγώνου, ἐστὶ δὲ καὶ τὸ ΘΚ παραλληλόγραμμον διπλάσιον τοῦ ΗΘΚ τριγώνου· ἴσον ἄρα ἐστὶ τὸ ΑΖ παραλληλόγραμμον τῷ ΘΚ παραλληλογράμμῳ. τὰ δὲ ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδά ἐστιν ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ ΑΞ στερεὸν τῷ ΗΟ στερεῷ. καὶ ἔστι τοῦ μὲν ΑΞ στερεοῦ ἥμισυ τὸ ΑΒΓΔΕΖ πρίσμα, τοῦ δὲ ΗΟ στερεοῦ ἥμισυ τὸ ΗΘΚΛΜΝ πρίσμα· ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕΖ πρίσμα τῷ ΗΘΚΛΜΝ πρίσματι.



Ἐὰν ἄρα ᾖ δύο πρίσματα ἰσοῦψῆ, καὶ τὰ ἑξῆς. ὅπερ ἔδει δεῖξαι.

SInt priſmata æquealta ΑΒΓΔΕΖ, ΗΘΚΛΜΝ, & unum quidem baſim habeat parallelogrammum ΑΖ, alterum vero ΗΘΚ triangulum, & duplum ſit ΑΖ parallelogrammum trianguli ΗΘΚ: dico priſma ΑΒΓΔΕΖ priſmati ΗΘΚΛΜΝ æquale eſſe.

Compleantur enim ΑΞ, ΗΟ ſolida. & quoniam parallelogrammum ΑΖ trianguli ΗΘΚ eſt duplum, eſt autem [per 34. 1.] & ΘΚ parallelogrammum duplum trianguli ΗΘΚ; erit ΑΖ parallelogrammum parallelogrammo ΘΚ æquale. quæ vero in æqualibus ſunt baſibus ſolida parallelepipeda & eadem altitudine [per 31. 11.] inter ſe æqualia ſunt: æquale igitur ΑΞ ſolidum ſolido ΗΟ. atque eſt ſolidi quidem ΑΞ dimidium ΑΒΓΔΕΖ priſma, ſolidi vero ΗΟ dimidium priſma ΗΘΚΛΜΝ: ergo ΑΒΓΔΕΖ priſma priſmati ΗΘΚΛΜΝ eſt æquale.



Si igitur ſint duo priſmata æquealta, & quæ ſequuntur. quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΔΥΟΔΕΚΑΤΟΝ,
Καὶ Στερεῶν δεύτερον.

EUCLIDIS
ELEMENTORUM
LIBER DUODECIMUS,
Et Solidorum ſecundus.

PROP. I. THEOR.

Similia polygona circulis inſcripta inter ſe ſunt ut quadrata à diametris.

SINT circuli ΑΒΓΔΕ, ΖΗΘΚΛ, & in ipſis ſimilia polygona ΑΒΓΔΕ, ΖΗΘΚΛ; diametri autem circulorum ſint ΒΜ, ΗΝ: dico ut quadratum ex ΒΜ ad quadratum ex ΗΝ ita eſſe ΑΒΓΔΕ polygonum ad polygonum ΖΗΘΚΛ.



Jungantur enim ΒΕ, ΑΜ, ΗΛ, ΖΝ. & quoniam polygonum ΑΒΓΔΕ ſimile eſt polygono ΖΗΘΚΛ, & [per 1. def. 6.] ΒΑΕ angulus angulo ΗΖΛ eſt æqualis, atque eſt ut ΒΑ ad ΑΕ ita ΗΖ ad ΖΛ: igitur ΒΑΕ, ΗΖΛ ſunt duo triangula unum angulum uni angulo æqualem habentia, videlicet angulum ΒΑΕ angulo ΗΖΛ, circa æquales autem angulos latera proportionalia: quare [per 6. 6.] triangulum ΑΒΕ triangulo ΖΗΛ æquiangulum eſt; ac propterea angulus ΑΕΒ æqualis eſt angulo ΖΛΗ. ſed [per 21. 3.]

ΠΡΟΤΑΣΙΣ α'.

Τὰ ὁμοῖα τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλά ἐστιν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

ΕΣΤΩΣΑΝ κύκλοι οἱ ΑΒΓΔΕ, ΖΗΘΚΛ, καὶ ἐν αὐτοῖς ὅμοια πολύγωνα ἔστω τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ, διάμετροι δὲ τῶν κύκλων ἔστωσαν αἱ ΒΜ, ΗΝ· λέγω ὅτι ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΜ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΝ τετράγωνον οὕτως τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον.



Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΑΜ, ΗΛ, ΖΝ. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΑΒΓΔΕ πολύγωνον τῷ ΖΗΘΚΛ πολυγώνῳ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΒΑΕ γωνία τῇ ὑπὸ ΗΖΛ, καί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΕ οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΛ· δύο δὴ τρίγωνά ἐστι τὰ ΒΑΕ, ΗΖΛ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα, τὴν ὑπὸ ΒΑΕ τῇ ὑπὸ ΗΖΛ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ γωνία τῇ ὑπὸ ΖΛΗ. ἀλλ' ἡ μὲν ὑπὸ

ὑπὸ ΑΕΒ τῇ ὑπὸ ΑΜΒ ἴση ἐστὶν, ἐπὶ γὰρ τῆς αὐτῆς περιφερείας βεβήκασιν. ἡ δὲ ὑπὸ ΖΛΗ τῇ ὑπὸ ΖΝΗ· καὶ ἡ ὑπὸ ΑΜΒ ἄρα τῇ ὑπὸ ΖΝΗ ἴση ἐστίν. ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΑΜ ὀρθῇ τῇ ὑπὸ ΗΖΝ ἴση· καὶ λοιπὴ ἄρα τῇ λοιπῇ ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ ΑΒΜ τρίγωνον τῷ ΖΗΝ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΜ πρὸς τὴν ΗΝ οὕτως ἡ ΒΑ πρὸς τὴν ΗΖ. ἀλλὰ μὴν τοῦ ΒΜ πρὸς τὴν ΗΝ λόγου διπλασίων ἐστὶν ὁ τοῦ ΒΜ τετραγώνου πρὸς τὸ ἀπὸ ΗΝ τετράγωνον, ὁ δὲ τοῦ ΒΑ πρὸς τὴν ΗΖ διπλασίων ἐστὶν ὁ τοῦ ΑΒΓΔΕ πολυγώνου πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον· καὶ ὡς ἄρα τὸ ἀπὸ τοῦ ΒΜ τετράγωνον πρὸς τὸ ἀπὸ τοῦ ΗΝ οὕτως τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον.

Τὰ ἄρα ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλά ἐστιν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα. ὅπερ ἔδει δεῖξαι.

angulus quidem AEB angulo AMB eſt æqualis, in eadem enim circumferentia conſiſtunt. angulus autem ZΛH æqualis eſt angulo ZNH: ergo & AMB angulus eſt æqualis angulo ZNH. eſt autem & [per 31.3.] rectus angulus BAM æqualis recto HZN: quare & reliquus reliquo æqualis: æquiangulum igitur eſt triangulum ABM triangulo ZHN: ergo [per 4.6.] ut BM ad HN ita BA ad HZ. ſed [per 20.6.] rationis quidem BM ad HN duplicata eſt ratio quadrati ex BM ad quadratum ex HN; rationis vero BA ad HZ duplicata eſt ratio ABΓΔE polygoni ad polygonum ZHΘKΛ: & igitur [per 11.5.] ut quadratum ex BM ad quadratum ex HN ita polygonum ABΓΔE ad ZHΘKΛ polygonum.

Quare ſimilia polygona circulis inſcripta inter ſe ſunt ut quadrata à diametris. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ β'.

Οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

PROP. II. THEOR.

Circuli inter ſe ſunt ut quadrata à diametris.

Ἔστωσαν κύκλοι οἱ ΑΒΓΔ, ΕΖΗΘ, διάμετροι δὲ αὐτῶν ἔστωσαν αἱ ΒΔ, ΖΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον.

Εἰ γὰρ μή ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, ἔσται ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος ἤτοι πρὸς ἔλασσόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον ἢ πρὸς μεῖζον. ἐστω πρότερον πρὸς ἔλασσον τὸ Σ. καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ· τὸ δὴ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ ΕΖΗΘ κύκλου, ἐπειδήπερ ἐὰν διὰ τῶν Ε, Ζ, Η, Θ σημείων ἐφαπτομένας τοῦ κύκλου διαγάγωμεν, τοῦ περιγραφομένου ὑπὸ τὸν κύκλον τετραγώνου ἥμισύ ἐστι τὸ ΕΖΗΘ τετράγωνον. τοῦ δὲ περιγραφέντος τετραγώνου ἐλάσσων ἐστὶν ὁ κύκλος· ὥστε τὸ ΕΖΗΘ ἐγγεγραμμένον τετράγωνον μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ ΕΖΗΘ κύκλου. τετμήσθωσαν δίχα αἱ ΕΖ, ΖΗ, ΗΘ, ΘΕ περιφέρειαι κατὰ τὰ Κ, Λ, Μ, Ν σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΚ, ΚΖ, ΖΛ, ΛΗ, ΗΜ, ΜΘ, ΘΝ, ΝΕ· καὶ ἕκαστον ἄρα τῶν ΕΚΖ, ΖΛΗ, ΘΜΗ, ΘΝΕ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· ἐπειδήπερ ἐὰν διὰ τῶν Κ, Λ, Μ, Ν



Si enim non ita eſt; erit ut quadratum ex BΔ ad quadratum ex ZΘ ita circulus ABΓΔ vel ad ſpatium aliquod minus circulo EZHΘ vel ad majus. Sit primum ad minus, quod ſit Σ. & in circulo EZHΘ deſcribatur quadratum EZHΘ. itaque deſcriptum in circulo quadratum majus eſt dimidio circuli EZHΘ; quoniam ſi per puncta E, Z, H, Θ contingentes circulum ducamus, erit [per 47.1.&31.3.] deſcripti circa circulum quadrati dimidium quadratum EZHΘ. deſcripto autem circa circulum quadrato minor eſt circulus: ergo quadratum EZHΘ majus eſt dimidio circuli EZHΘ. ſecentur bifariam circumferentiæ EZ, ZH, HΘ, ΘE in punctis K, Λ, M, N; & EK, KZ, ZΛ, ΛH, HM, MΘ, ΘN, NE jungantur: unumquodque igitur triangulorum EKZ, ZΛH, ΘMH, ΘNE majus eſt dimidio ſegmenti circuli in quo conſiſtit; quoniam ſi per puncta K, Λ, M, N

contingentes circulum ducamus, & parallelogramma quæ ſuper rectis lineis ΕΖ, ΖΗ, ΗΘ, ΘΕ compleamus, erit [per 37. 1.] unumquodque triangulorum ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ dimidium parallelogrammi quod ad ipſum eſt. ſed ſegmentum minus eſt parallelogrammo: quare unumquodque triangulorum ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ majus eſt dimidio ſegmenti circuli in quo conſiſtit: reliquas igitur circumferentias bifariam ſecantes, & jungentes rectas lineas, atque hoc ſemper facientes, relinquemus tandem quædam circuli ſegmenta, quæ minora erunt exceſſu, quo circulus ΕΖΗΘ ipſum Σ ſpatium ſuperat. etenim oſtenſum eſt, in primo theoremate decimi libri, duabus magnitudinibus inæqualibus expoſitis, ſi à majori auferatur majus quam dimidium, & ab eo quod relinquitur rurſus majus quam dimidium, & hoc ſemper fiat, relinqui tandem magnitudinem aliquam, quæ minore magnitudine expoſita ſit minor. itaque relicta ſint ſegmenta circuli ΕΖΗΘ in rectis lineis ΕΚ, ΚΖ, ΖΛ, ΛΗ, ΗΜ, ΜΘ, ΘΝ, ΝΕ, quæ majora ſint exceſſu quo circulus ΕΖΗΘ ipſum Σ ſpatium ſuperat: ergo reliquum ΕΚΖΛΗΜΘΝ polygonum majus erit ſpatio Σ. deſcribatur etiam in ΑΒΓΔ circulo polygono ΕΚΖΛΗΜΘΝ ſimile polygonum ΑΞΒΟΓΠΔΡ: eſt igitur [per 1. 12.] ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita polygonum ΑΞΒΟΓΠΔΡ ad ΕΚΖΛΗΜΘΝ polygonum. ſed [ex hypoth.] ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita ΑΒΓΔ circulus ad ſpatium Σ: ergo & ut circulus ΑΒΓΔ ad ſpatium Σ ita polygonum ΑΞΒΟΓΠΔΡ ad ΕΚΖΛΗΜΘΝ polygonum, & permutando ut circulus ΑΒΓΔ ad polygonum quod in ipſo eſt ita ſpatium Σ ad polygonum ΕΚΖΛΗΜΘΝ. major autem eſt circulus ΑΒΓΔ eo qui in ipſo eſt polygono: quare & ſpatium Σ majus eſt polygono ΕΚΖΛΗΜΘΝ. ſed & [ex hyp.] minus; quod fieri non poteſt: non igitur eſt ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita ΑΒΓΔ circulus ad ſpatium aliquod minus circulo ΕΖΗΘ. ſimiliter oſtendemus, neque eſſe ut quadratum ex ΖΘ ad quadratum ex ΒΔ ita circulum ΕΖΗΘ ad aliquod ſpatium minus circulo ΑΒΓΔ. Dico etiam neque eſſe ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita circulum ΑΒΓΔ ad aliquod ſpatium majus circulo ΕΖΗΘ. ſi enim fieri poteſt,



σημείων ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν, καὶ ἀναπληρώσωμεν τὰ ὑπὸ τῶν ΕΖ, ΖΗ, ΗΘ, ΘΕ εὐθειῶν παραλληλόγραμμα· ἕκαστον τῶν ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ τριγώνων ἥμισυ ἔσται τοῦ καθ' ἑαυτὸ παραλληλογράμμου. ὥστε ἕκαστον τῶν ΕΚΖ, ΖΛΗ, ΗΜΘ, ΘΝΕ τριγώνων μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα, καὶ ἐπιζευγνύντες εὐθείας, καὶ τοῦτο ἀεὶ ποιοῦντες, καταλείψομέν τινα τμήματα τοῦ κύκλου, ἃ ἔσται ἐλάσσονα τοῦ ὑπεροχῆς, ᾗ ὑπερέχει ὁ ΕΖΗΘ κύκλος τοῦ Σ χωρίου. ἐδείχθη γὰρ ἐν τῷ πρώτῳ θεωρήματι τοῦ ι', ὅτι δύο μεγεθῶν ἀνίσων ἐκκειμένων, ἐὰν ἀπὸ τοῦ μείζονος ἀφαιρεθῇ μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦ καταλειπομένου μεῖζον ἢ τὸ ἥμισυ, καὶ τοῦτο ἀεὶ γίνηται, λειφθήσεταί τι μέγεθος ὃ ἔσται ἔλασσον τοῦ ἐκκειμένου ἐλάσσονος μεγέθους. λελείφθω οὖν, καὶ ἔστω τὰ ὁπὶ τῶν ΕΚ, ΚΖ, ΖΛ, ΛΗ, ΗΜ, ΜΘ, ΘΝ, ΝΕ τμήματα τοῦ ΕΖΗΘ κύκλου ἐλάσσονα τοῦ ὑπεροχῆς ᾗ ὑπερέχει ὁ ΕΖΗΘ κύκλος τοῦ Σ χωρίου· λοιπὸν ἄρα τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον μεῖζόν ἐστι τοῦ Σ χωρίου. ἐγγεγράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΕΚΖΛΗΜΘΝ πολυγώνῳ ὅμοιον πολύγωνον τὸ ΑΞΒΟΓΠΔΡ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως τὸ ΑΞΒΟΓΠΔΡ πολύγωνον πρὸς τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Σ χωρίον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Σ χωρίον οὕτως τὸ ΑΞΒΟΓΠΔΡ πολύγωνον πρὸς τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον· ἐναλλὰξ ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ἐν αὐτῷ πολύγωνον οὕτως τὸ Σ χωρίον πρὸς τὸ ΕΚΖΛΗΜΘΝ πολύγωνον. μεῖζων δὲ ὁ ΑΒΓΔ κύκλος τοῦ ἐν αὐτῷ πολυγώνου· μεῖζον ἄρα καὶ τὸ Σ χωρίον τοῦ ΕΚΖΛΗΜΘΝ πολυγώνου. ἀλλὰ καὶ ἔλαττον, ὅπερ ἀδύνατον· οὐκ ἄρα ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ὡς τὸ ἀπὸ τῆς ΖΘ πρὸς τὸ ἀπὸ τῆς ΒΔ οὕτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον. Λέγω δὴ ὅτι οὐδ' ὡς τὸ ἀπὸ τῆς ΒΔ πρὸς τὸ ἀπὸ τῆς ΖΘ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. εἰ γὰρ δυνατόν,

ἔστω

ἔστω πρὸς μεῖζον τὸ Σ· ἀνάπαλιν ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΖΘ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΔ ἔτως τὸ Σ χωρίον πρὸς τὸ ΑΒΓΔ κύκλον· ἀλλ' ὡς τὸ Σ χωρίον πρὸς τὸ ΑΒΓΔ κύκλον ἔτως ὁ ΕΖΗΘ πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΖΘ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΔ ἔτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον, ὅπερ ἐδείχθη ἀδύνατον· οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΔ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ ἔτως ὁ ΑΒΓΔ κύκλος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘ κύκλου χωρίον. ἐδείχθη δὲ ὅτι οὐδὲ πρὸς ἔλαττον· ἔστιν ἄρα ὡς τὸ ἀπὸ τῆς ΒΔ πετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ πετράγωνον ἔτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον.

Οἱ ἄρα κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων πετράγωνα. ὅπερ ἔδει δεῖξαι.

sit ad majus, nempe Σ; erit igitur invertendo ut quadratum ex ΖΘ ad quadratum ex ΒΔ ita ſpatium Σ ad ΑΒΓΔ circulum: ſed [ut infra oſtendetur] ut ſpatium Σ ad circulum ΑΒΓΔ ita circulus ΕΖΗΘ ad aliquod ſpatium minus circulo ΑΒΓΔ; ergo & ut quadratum ex ΖΘ ad quadratum ex ΒΔ ita ΕΖΗΘ circulus ad aliquod ſpatium minus circulo ΑΒΓΔ, quod fieri non poſſe oſtenſum eſt: non igitur eſt ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita circulus ΑΒΓΔ ad ſpatium aliquod majus ΕΖΗΘ circulo. oſtenſum autem eſt neque ad minus: quare ut quadratum ex ΒΔ ad quadratum ex ΖΘ ita erit ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ.

Circuli igitur inter ſe ſunt, ut quadrata à diametris. quod erat demonſtrandum.

ΛΗΜΜΑ.

Λέγω δὴ, ὅτι τοῦ Σ χωρίου μείζονος ὄντος τοῦ ΕΖΗΘ κύκλου, ἐστὶν ὡς τὸ Σ χωρίον πρὸς τὸ ΑΒΓΔ κύκλον ἔτως ΕΖΗΘ κύκλος πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον.

Γεγονέτω γὰρ ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἔτως ὁ ΕΖΗΘ κύκλος πρὸς τὸ Τ χωρίον· λέγω ὅτι ἔλασσόν ἐστι τὸ Τ χωρίον τοῦ ΑΒΓΔ κύκλου. ἐπεὶ γάρ ἐστιν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἔτως ὁ ΕΖΗΘ κύκλος πρὸς τὸ Τ χωρίον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ Σ χωρίον πρὸς τὸν ΕΖΗΘ κύκλον ἔτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸ Τ χωρίον. μεῖζον δὲ τὸ Σ τοῦ ΕΖΗΘ κύκλου· μεῖζων ἄρα καὶ ὁ ΑΒΓΔ κύκλος τοῦ Τ χωρίου· ὥστε ὡς τὸ Σ χωρίον πρὸς τὸν ΑΒΓΔ κύκλον ἔτως ὁ ΕΖΗΘ κύκλος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κύκλου χωρίον.



LEMMA.

Itaque dico, ſi ſpatium Σ ſit majus circulo ΕΖΗΘ, eſſe ut ſpatium Σ ad circulum ΑΒΓΔ ita circulum ΕΖΗΘ ad ſpatium aliquod circulo ΑΒΓΔ minus.

Fiat enim ut ſpatium Σ ad circulum ΑΒΓΔ ita ΕΖΗΘ circulus ad ſpatium Τ: dico ſpatium Τ circulo ΑΒΓΔ minus eſſe. quoniam enim eſt ut ſpatium Σ ad circulum ΑΒΓΔ ita ΕΖΗΘ circulus ad ſpatium Τ; erit permutando [per 16. 5.] ut ſpatium Σ ad circulum ΕΖΗΘ ita ΑΒΓΔ circulus ad ſpatium Τ. majus autem eſt [ex hyp.] ſpatium Σ circulo ΕΖΗΘ; ergo ΑΒΓΔ circulus ſpatio Τ eſt major; ac propterea ut ſpatium Σ ad circulum ΑΒΓΔ ita eſt ΕΖΗΘ circulus ad ſpatium aliquod circulo ΑΒΓΔ minus.



ΠΡΟΤΑΣΙΣ γ'.

Πᾶσα πυραμὶς τρίγωνον ἔχουσα βάσιν διαιρεῖται εἰς δύο πυραμίδας ἴσας τε καὶ ὁμοίας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα,

PROP. III. THEOR.

Omnis pyramis triangularem habens baſim dividitur in duas pyramides æquales & ſimiles inter ſe quæ triangulares baſes habent, eaſque ſimiles toti; necnon in duo priſmata æqualia,

æqualia, quæ dimidio quidem totius pyramidis ſunt majora.

καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

SIT pyramis, cujus baſis quidem ΑΒΓ triangulum, vertex autem punctum Δ: dico pyramidem ΑΒΓΔ dividi in duas pyramides æquales & ſimiles inter ſe triangulares baſes habentes, ſimileſque toti; necnon in duo priſmata æqualia, duo vero priſmata dimidio totius pyramidis eſſe majora.

Secentur enim ΑΒ, ΒΓ, ΓΑ, ΑΔ, ΔΒ, ΔΓ bifariam in punctis Ε, Ζ, Η, Θ, Κ, Λ, & ΕΘ, ΕΗ, ΗΘ, ΘΚ, ΚΛ, ΛΘ, ΕΚ, ΚΖ, ΖΗ jungantur. quoniam igitur ΑΕ quidem eſt æqualis ΕΒ; ΑΘ vero ipſi ΘΔ; erit [per 2. 6.] ΕΘ ipſi ΔΒ parallela. eadem ratione & ΘΚ eſt parallela ipſi ΑΒ: parallelogrammum igitur eſt ΘΕΒΚ: quare [per 34. 1.] ΘΚ eſt æqualis ΕΒ. ſed ΕΒ ipſi ΑΕ eſt æqualis: ergo & ΑΕ ipſi ΘΚ æqualis erit. eſt autem & ΑΘ æqualis ΘΔ: duæ igitur ΑΕ, ΑΘ duabus ΚΘ, ΘΔ æquales ſunt, altera alteri, & [per 29. 1.] angulus ΕΑΘ æqualis angulo ΚΘΔ: baſis igitur ΕΘ [per 4. 1.] baſi ΚΔ eſt æqualis: quare triangulum ΑΕΘ æquale eſt & ſimile triangulo ΘΚΔ. eadem ratione & triangulum ΑΘΗ triangulo ΘΛΔ æquale eſt & ſimile. & quoniam duæ rectæ lineæ ſeſe tangentes ΕΘ, ΘΗ duabus rectis lineis ſeſe tangentibus ΚΔ, ΔΛ parallelæ ſunt, non autem in eodem plano, [per 10. 11.] æquales angulos continebunt: ergo angulus ΕΘΗ eſt æqualis angulo ΚΔΛ. rurſus quoniam duæ rectæ lineæ ΕΘ, ΘΗ duabus ΚΔ, ΔΛ æquales ſunt altera alteri, & angulus ΕΘΗ æqualis angulo ΚΔΛ; erit baſis ΒΗ baſi ΚΛ æqualis; æquale igitur eſt & ſimile triangulum ΕΘΗ triangulo ΚΔΛ. eadem ratione & ΑΕΗ triangulum eſt æquale & ſimile triangulo ΘΚΛ; quare pyramis, cujus baſis quidem eſt ΑΕΗ triangulum, vertex autem punctum Θ, æqualis & ſimilis eſt pyramidi, cujus baſis eſt triangulum ΘΚΛ, & vertex Δ punctum. & quoniam uni laterum trianguli ΑΔΒ, videlicet ipſi ΑΒ, parallela ducta eſt ΘΚ; erit [per 29. 1.] triangulum ΑΔΒ triangulo ΔΘΚ æquiangulum, & [per 4. 6.] latera habent proportionalia: ſimile igitur eſt ΑΔΒ triangulum triangulo ΔΘΚ. & eadem ratione triangulum quidem ΔΒΓ ſimile eſt triangulo ΔΚΛ; triangulum vero ΑΔΓ triangulo ΔΘΛ. quoniam duæ rectæ lineæ ſeſe tangentes ΒΑ, ΑΓ duabus rectis lineis ſeſe tangentibus ΚΘ, ΘΛ parallelæ ſunt, non exiſtentes in eodem plano, [per 10. 11.] æquales angulos continebunt: angulus igitur ΒΑΓ angulo ΚΘΛ eſt æqualis. atque



ΕΣτω πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον· λέγω ὅτι ἡ ΑΒΓΔ πυραμὶς διαιρεῖται εἰς δύο πυραμίδας ἴσας τε καὶ ὁμοίας ἀλλήλαις, τριγώνους βάσεις ἐχούσας, καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

Τετμήσθωσαν γὰρ αἱ ΑΒ, ΒΓ, ΓΑ, ΑΔ, ΔΒ, ΔΓ δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ, Κ, Λ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΘ, ΕΗ, ΗΘ, ΘΚ, ΚΛ, ΛΘ, ΕΚ, ΚΖ, ΖΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΒ, ἡ δὲ ΑΘ τῇ ΘΔ· παράλληλος ἄρα ἐστὶν ἡ ΕΘ τῇ ΔΒ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΚ τῇ ΑΒ παράλληλός ἐστι· παραλληλόγραμμον ἄρα τὸ ΘΕΒΚ· ἴση ἄρα ἐστὶν ἡ ΘΚ τῇ ΕΒ. ἀλλὰ ἡ ΕΒ τῇ ΑΕ ἐστιν ἴση· καὶ ἡ ΑΕ ἄρα τῇ ΘΚ ἐστιν ἴση. ἔστι δὴ καὶ ἡ ΑΘ τῇ ΘΔ ἴση· δύο δὴ αἱ ΑΕ, ΑΘ δυσὶ ταῖς ΚΘ, ΘΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΕΑΘ γωνίᾳ τῇ ὑπὸ ΚΘΔ ἴση· βάσις ἄρα ἡ ΕΘ βάσει τῇ ΚΔ ἐστιν ἴση· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΑΕΘ τριγώνον τῷ ΘΚΔ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΘΗ τριγώνον τῷ ΘΛΔ τριγώνῳ ἴσον τέ ἐστι καὶ ὅμοιον. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΕΘ, ΘΗ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΔ, ΔΛ εἰσὶν, οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὔσας, ἴσας γωνίας περιέχουσιν· ἴση ἄρα ἡ ὑπὸ ΕΘΗ γωνία τῇ ὑπὸ ΚΔΛ γωνίᾳ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΘ, ΘΗ δυσὶ ταῖς ΚΔ, ΔΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΕΘΗ γωνίᾳ τῇ ὑπὸ ΚΔΛ ἐστιν ἴση· βάσις ἄρα ἡ ΕΗ βάσει τῇ ΚΛ ἐστιν ἴση· ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΕΘΗ τριγώνον τῷ ΚΔΛ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΕΗ τριγώνον τῷ ΘΚΛ τριγώνῳ ἴσον καὶ ὅμοιόν ἐστιν· ἡ ἄρα πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΕΗ τριγώνον, κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση καὶ ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΘΚΛ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἐπεὶ τριγώνου τοῦ ΑΔΒ παρὰ μίαν τῶν πλευρῶν τὴν ΑΒ ἦκται ἡ ΘΚ, ἰσογώνιόν ἐστι τὸ ΑΔΒ τριγώνον τῷ ΔΘΚ τριγώνῳ, καὶ τὰς πλευρὰς ἀνάλογον ἔχουσιν· ὅμοιον ἄρα τὸ ΑΔΒ τριγώνον τῷ ΔΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΔΒΓ τριγώνον τῷ ΔΚΛ τριγώνῳ ὅμοιόν ἐστι, τὸ δὲ ΑΔΓ τῷ ΔΘΛ τριγώνῳ. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΒΑ, ΑΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΘ, ΘΔ εἰσὶν, οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὔσας, ἴσας γωνίας περιέχουσιν· ἴση ἄρα ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΗΘΚ. καὶ

ἔστιν

ἔστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΚΘ πρὸς τὴν ΘΛ· ὅμοιον ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ ΘΚΛ τριγώνῳ· καὶ πυραμὶς ἄρα, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΘΚΛ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον. ἀλλὰ πυραμὶς, ἧς βάσις μὲν ἐστὶ τὸ ΘΚΛ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ἐδείχθη ὁμοία πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον· ὥστε καὶ πυραμὶς, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ὁμοία ἐστὶ πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον· ἑκατέρα ἄρα τῶν ΑΕΗΘ, ΘΚΛΔ πυραμίδων ὁμοία ἐστὶ τῇ ὅλῃ τῇ ΑΒΓΔ πυραμίδι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΖ τῇ ΖΓ, διπλάσιόν ἐστι τὸ ΕΒΖΗ παραλληλόγραμμον τοῦ ΗΖΓ τριγώνου. καὶ ἐπεὶ ἐὰν δύο πρίσματα ἰσοῦψῆ ὦσι, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον, διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου, ἴσα ἐστὶν ἀλλήλοις τὰ πρίσματα· ἴσον ἄρα τὸ πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΒΚΖ, ΕΘΗ τριῶν δὲ παραλληλογράμμων τῶν ΕΒΖΗ, ΕΒΚΘ, ΚΘΗΖ τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΗΖΓ, ΘΚΛ τριῶν δὲ παραλληλογράμμων τῶν ΚΖΓΛ, ΛΓΗΘ, ΘΚΖΗ. καὶ φανερὸν ὅτι ἑκάτερον τῶν πρισμάτων, οὗ τὸ βάσις τὸ ΕΒΗΖ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, καὶ οὗ βάσις τὸ ΗΖΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΚΛΘ τρίγωνον, μεῖζόν ἐστιν ἑκατέρας τῶν πυραμίδων, ὧν βάσις μὲν τὰ ΑΕΗ, ΘΚΛ τρίγωνα κορυφαὶ δὲ τὰ Θ, Δ σημεῖα· ἐπειδήπερ ἐὰν ἐπιζεύξωμεν τὰς ΕΖ, ΕΚ εὐθείας, τὸ μὲν πρίσμα, οὗ βάσις τὸ ΕΒΖΗ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, μεῖζόν ἐστι τῆς πυραμίδος, ἧς βάσις μέν τὸ ΕΒΖ τρίγωνον κορυφὴ δὲ τὸ Κ σημεῖον. ἀλλ' ἡ πυραμὶς, ἧς βάσις μὲν τὸ ΕΒΖ τρίγωνον κορυφὴ δὲ τὸ Κ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον, ἐπὶ γὰρ ἴσων καὶ ὁμοίων ἐπιπέδων περιέχονται· ὥστε καὶ τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΕΒΖΗ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, μεῖζόν ἐστι πυραμίδος, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον. ἴσον δὲ τὸ μὲν πρίσμα, οὗ βάσις μὲν τὸ ΕΒΖΗ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα, τῷ πρίσματι, οὗ βάσις μὲν τὸ ΗΖΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΘΚΛ τρίγωνον· ἡ ἄρα πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΘΚΛ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον· τὰ ἄρα εἰρημένα δύο πρίσματα μείζονά ἐστι τῶν εἰρημένων δύο πυραμίδων, ὧν βάσεις μὲν τὰ ΑΕΗ, ΘΚΛ τρίγωνα κορυφαὶ δὲ τὰ Θ, Δ σημεῖα· ἡ ἄρα ὅλη πυραμὶς, ἧς βάσις τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, διήρηται εἰς δύο πυραμίδας, ἴσας τε καὶ ὁμοίας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος. ὅπερ ἔδει δεῖξαι.

est ut ΒΑ ad ΑΓ ita ΚΘ ad ΘΛ: ergo [per 6.6.] ΑΒΓ triangulum ſimile eſt triangulo ΘΚΛ: ideoque pyramis, cujus baſis quidem triangulum ΑΒΓ vertex autem punctum Δ, ſimilis eſt pyramidi, cujus triangulum ΘΚΛ & vertex punctum Δ. ſed pyramis, cujus baſis quidem ΘΚΛ triangulum vertex autem punctum Δ, oſtenſa eſt ſimilis pyramidi, cujus baſis triangulum ΑΕΗ & vertex Θ punctum: quare & pyramis, cujus baſis triangulum ΑΒΓ & vertex punctum Δ, ſimilis eſt pyramidi, cujus baſis ΑΕΗ triangulum & vertex punctum Θ: utraque igitur ipſarum ΑΕΗΘ, ΘΚΛΔ pyramidum ſimilis eſt toti pyramidi ΑΒΓΔ. & quoniam ΒΖ eſt æqualis ΖΓ, erit [per 41. 1.] ΕΒΖΗ parallelogrammum duplum trianguli ΗΖΓ. & quoniam ſi ſint duo priſmata æquealta, quorum unum quidem baſim habet parallelogrammum, alterum vero triangulum, ſitque parallelogrammum duplum trianguli; ſunt [per 40. 11.] ea priſmata inter ſe æqualia: ergo priſma contentum ſub duobus triangulis ΒΚΖ, ΕΘΗ & tribus parallelogrammis ΕΒΖΗ, ΕΒΚΘ, ΚΘΗΖ eſt æquale priſmati quod ſub duobus triangulis ΗΖΓ, ΘΚΛ & tribus parallelogrammis ΚΖΓΛ, ΛΓΗΘ, ΘΚΖΗ continetur. & manifeſtum eſt utrumque ipſorum priſmatum, & cujus baſis eſt ΕΒΖΗ parallelogrammum oppoſita autem ipſi ΘΚ recta linea, & cujus baſis eſt ΗΖΓ triangulum & oppoſitum ipſi triangulum ΚΛΘ; majus eſſe utraque pyramidum, quarum baſes quidem ΑΕΗ, ΘΚΛ triangula vertices autem puncta Θ, Δ: quoniam ſi jungamus ΕΖ, ΕΚ rectas lineas, priſma quidem, cujus baſis eſt ΕΒΖΗ parallelogrammum & oppoſita ipſi recta linea ΘΚ, majus eſt pyramide, cujus baſis ΕΒΖ triangulum vertex autem punctum Κ. ſed pyramis, cujus baſis triangulum ΕΒΖ, & vertex Κ punctum, [per 10. def. 11.] eſt æqualis pyramidi, cujus baſis ΑΕΗ triangulum & vertex punctum Θ; æqualibus enim & ſimilibus planis continentur: quare & priſma, cujus baſis parallelogrammum ΕΒΖΗ oppoſita autem ipſi recta linea ΘΚ, majus eſt pyramide, cujus baſis ΑΕΗ triangulum & vertex punctum Θ. priſma vero, cujus baſis parallelogrammum ΕΒΖΗ & oppoſita ipſi recta linea ΘΚ, eſt æquale priſmati, cujus baſis ΗΖΓ triangulum & ipſi oppoſitum triangulum ΘΚΛ; & pyramis, cujus baſis triangulum ΑΕΗ vertex autem Θ punctum, eſt æqualis pyramidi, cujus baſis ΘΚΛ triangulum & vertex punctum Δ: ergo duo priſmata, de quibus dictum eſt, ſunt majora duabus dictis pyramidibus, quorum baſes triangula ΑΕΗ, ΘΚΛ vertices autem Θ, Δ puncta: tota igitur pyramis, cujus baſis ΑΒΓ triangulum vertex autem punctum Δ, diviſa eſt in duas pyramides æquales & ſimiles inter ſe & ſimiles toti; & in duo priſmata æqualia, quæ dimidio quidem totius pyramidis ſunt majora. quod erat demonſtrandum.

Prop. IV. Theor.

Si ſint duæ pyramides æquealtæ, quæ triangulares baſes habent, dividatur autem utraque ipſarum, & in duas pyramides æquales inter ſe ſimileſque toti, & in duo priſmata æqualia, atque ortarum pyramidum utraque eodem modo dividatur, idque ſemper fiat; erit ut unius pyramidis baſis ad baſim alterius ita priſmata omnia in una pyramde ad priſmata omnia in altera pyramide numero æqualia.

SInt duæ pyramides æquealtæ, quæ triangulares baſes habent ΑΒΓ, ΔΕΖ, vertices autem ſint puncta Η, Θ, & dividatur utraque ipſarum in duas pyramides æquales inter ſe ſimileſque toti, & in duo priſmata æqualia, atque ortarum pyramidum utraque eodem modo diviſa intelligatur, atque hoc ſemper fiat: dico ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſſe priſmata omnia quæ ſunt in pyramide ΑΒΓΗ ad priſmata omnia in pyramide ΔΕΖΘ numero æqualia.

Quoniam enim ΒΞ quidem eſt æqualis ΞΓ, ΑΛ vero æqualis ΛΓ; erit [per 2. 6.] ΞΛ ipſi ΑΒ parallela, & [per 4. 6.] triangulum ΑΒΓ triangulo ΛΞΓ ſimile. eadem ratione & triangulum ΔΕΖ ſimile eſt triangulo ΡΦΖ. & quoniam ΒΓ quidem eſt dupla ΓΞ, & ΕΖ dupla ipſius ΖΦ, ut ΒΓ ad ΓΞ ita erit ΕΖ ad ΖΦ. & deſcripta ſunt ab ipſis ΒΓ, ΓΞ ſimilia & ſimiliter poſita rectilinea ΑΒΓ, ΛΞΓ, ab ipſis vero ΕΖ, ΖΦ ſimilia & ſimiliter poſita rectilinea ΔΕΖ, ΡΦΖ: eſt igitur [per 22. 6.] ut ΒΑΓ triangulum ad triangulum ΛΞΓ ita triangulum ΔΕΖ ad ΡΦΖ triangulum; & permutando ut triangulum ΑΒΓ ad triangulum ΔΕΖ ita ΛΞΓ triangulum ad triangulum ΡΦΖ. ſed [ut oſtendetur infra] ut ΛΞΓ triangulum ad triangulum ΡΦΖ ita priſma, cujus baſis eſt triangulum ΛΞΓ oppoſitum autem ipſi ΟΜΝ, ad priſma, cujus baſis ΡΦΖ triangulum & oppoſitum ipſi ΣΤΥ: igitur [per 11. 5.] ut ΑΒΓ triangulum ad triangulum ΔΕΖ ita priſma, cujus baſis eſt triangulum ΛΞΓ oppoſitum autem ipſi ΟΜΝ, ad priſma, cujus baſis ΡΦΖ triangulum & oppoſitum ipſi ΣΤΥ. & quoniam duo priſmata, quæ ſunt in pyramide ΑΒΓΗ, inter ſe æqualia ſunt, ſed &



ΠΡΟΤΑΣΙΣ Λ'.

Ἐὰν ὦσι δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος, τριγώνους ἐχουσαι βάσεις, διαιρεθῇ δὲ ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τῶν γενομένων πυραμίδων ἑκατέρα τὸν αὐτὸν τρόπον, καὶ τοῦτο ἀεὶ γίνηται· ἔσται ὡς ἡ τῆς μιᾶς πυραμίδος βάσις πρὸς τὴν τῆς ἑτέρας πυραμίδος βάσιν οὕτως καὶ τὰ ἐν τῇ μιᾷ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ἑτέρᾳ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Ἐστωσαν δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος, τριγώνους ἐχουσαι βάσεις τὰς ΑΒΓ, ΔΕΖ, κορυφὰς δὲ τὰ Η, Θ σημεῖα, καὶ διῃρήσθω ἑκατέρα αὐτῶν εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τῶν γενομένων πυραμίδων ἑκατέρα τὸν αὐτὸν τρόπον νενοήσθω διῃρημένη, καὶ τοῦτο ἀεὶ γιγνέσθω· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΒΞ τῇ ΞΓ, ἡ δὲ ΑΛ τῇ ΛΓ· παράλληλος ἄρα ἡ ΞΛ τῇ ΑΒ, καὶ ὅμοιον τὸ ΑΒΓ τρίγωνον τῷ ΛΞΓ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΔΕΖ τρίγωνον ὅμοιόν ἐστι τῷ ΡΦΖ τριγώνῳ. ἐπεὶ διπλασίων ἐστὶν ἡ μὲν ΒΓ τῆς ΓΞ, ἡ δὲ ΕΖ τῆς ΖΦ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΞ οὕτως ἡ ΕΖ πρὸς τὴν ΖΦ. ἀναγεγράφθω δὴ ἀπὸ μὲν τῶν ΒΓ, ΓΞ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ ΑΒΓ, ΛΞΓ, ἀπὸ δὲ τῶν ΕΖ, ΖΦ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ ΔΕΖ, ΡΦΖ· ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΛΞΓ τρίγωνον οὕτως τὸ ΔΕΖ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον· συναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον. ἀλλ' ὡς τὸ ΛΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον οὕτως τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ πρὸς τὸ πρίσμα, οὗ βάσις μέν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον δὲ τὸ ΣΤΥ· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὸ πρίσμα, οὗ βάσις μέν τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μέν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον ἐστὶ τὸ ΣΤΥ. καὶ ἐπεὶ τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα ἴσα ἐστὶν ἀλλήλοις, ἀλλὰ μὴν καὶ

καὶ τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα ἴσα ἐστὶν ἀλλήλοις· ἔστιν ἄρα ὡς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΚΛΞΒ παραλληλόγραμμον ἀπεναντίον δὲ ἡ ΜΟ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ, οὕτως τὸ πρίσμα, οὗ βάσις μὲν ΕΠΡΦ ἀπεναντίον δὲ ἡ ΣΤ εὐθεῖα, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον δὲ τὸ ΣΤΤ· συνθέντι ἄρα ὡς τὰ ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ πρίσματα πρὸς τὸ ΛΞΓΜΝΟ πρίσμα οὕτως τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΤ πρίσματα πρὸς τὸ ΡΦΖΣΤΤ πρίσμα· ἐναλλὰξ ἄρα ὡς τὰ ΚΒΞΛΟΜ, ΛΞΓΟΜΝ πρὸς τὰ ΠΕΦΡΣΤ, ΡΦΖΣΤΤ πρίσματα οὕτως τὸ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΤ πρίσμα. ὡς δὲ ΛΞΓΜΝΟ πρίσμα πρὸς τὸ ΡΦΖΣΤΤ πρίσμα οὕτως ἐδείχθη ἡ ΔΞΓ βάσις πρὸς τὴν ΡΦΖ βάσιν, καὶ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα. ὁμοίως δὲ καὶ τὰς γενομένας πυραμίδας διέλωμεν τὸν αὐτὸν τρόπον οἷον ὡς τὰ ΟΜΝΗ, ΣΤΤΘ, ἔσται ὡς ἡ ΟΜΝ βάσις πρὸς τὴν ΣΤΤ βάσιν οὕτως τὰ ἐν τῇ ΟΜΝΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΤΘ πυραμίδι δύο πρίσματα. ἀλλ' ὡς ἡ ΟΜΝ βάσις πρὸς τὴν ΣΤΤ βάσιν οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν· καὶ ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως καὶ ἐν τῇ ΑΒΓΗ πυραμίδι δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι δύο πρίσματα, καὶ τὰ ἐν τῇ ΟΜΝΗ δύο πρίσματα πρὸς τὰ ἐν τῇ ΣΤΤΘ πυραμίδι δύο πρίσματα, καὶ τέσσαρα πρὸς τέσσαρα. τὰ αὐτὰ δὲ δειχθήσεται καὶ ἐπὶ τῶν γενομένων πρισμάτων ἐκ τῆς διαιρέσεως τῆς ΑΚΛΟ καὶ ΔΠΡΣ πυραμίδων ἐπὶ πάντων ἁπλῶς τῶν ἰσοπληθῶν. ὅπερ ἔδει δεῖξαι.

quæ in pyramide ΔΕΖΘ priſmata inter ſe ſunt æqualia; erit ut priſma, cujus baſis parallelogrammum ΚΛΞΒ oppoſita vero ipſi recta linea ΜΟ, ad priſma, cujus baſis ΛΞΓ triangulum & oppoſitum ipſi ΟΜΝ, ita priſma, cujus baſis parallelogrammum ΕΠΡΦ & oppoſita recta linea ΣΤ, ad priſma, cujus baſis ΡΦΖ triangulum oppoſitum vero ipſi ΣΤΤ: quare componendo [per 18. 5.] ut priſmata ΚΒΞΛΜΟ, ΛΞΓΜΝΟ ad priſma ΛΞΓΜΝΟ ita priſmata ΠΕΦΡΣΤ, ΡΦΖΣΤΤ ad priſma ΡΦΖΣΤΤ: & permutando ut priſmata ΚΒΞΛΟΜ, ΛΞΓΟΜΝ ad priſmata ΠΕΦΡΣΤ, ΡΦΖΣΤΤ ita priſma ΛΞΓΜΝΟ ad priſma ΡΦΖΣΤΤ. ut autem priſma ΛΞΓΜΝΟ ad priſma ΡΦΖΣΤΤ ita oſtenſa eſt baſis ΛΞΓ ad ΡΦΖ baſim, & ΑΒΓ baſis ad baſim ΔΕΖ: ergo & ut triangulum ΑΒΓ ad triangulum ΔΕΖ ita quæ in pyramide ΑΒΓΗ duo priſmata ad duo priſmata quæ in pyramide ΔΕΖΘ. ſimiliter autem & ſi factas pyramides dividamus eodem modo velut ΟΜΝΗ, ΣΤΤΘ, erit ut ΟΜΝ baſis ad baſim ΣΤΤ ita quæ in pyramide ΟΜΝΗ duo priſmata ad duo priſmata quæ in pyramide ΣΤΤΘ. ſed ut ΟΜΝ baſis ad baſim ΣΤΤ ita baſis ΑΒΓ ad ΔΕΖ baſim: & igitur ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita quæ in pyramide ΑΒΓΗ duo priſmata ad duo priſmata quæ in pyramide ΔΕΖΘ, & quæ in pyramide ΟΜΝΗ duo priſmata ad duo priſmata quæ in pyramide ΣΤΤΘ, & quatuor ad quatuor. eadem autem oſtendentur & in cæteris priſmatum quæ oriuntur diviſione pyramidum ΑΚΛΟ, & ΔΠΡΣ & omnium ſimpliciter multitudine æqualium. quod erat demonſtrandum.

ΛΗΜΜΑ.

Ὅτι δέ ἐστιν ὡς τὸ ΑΞΓ τρίγωνον πρὸς τὸ ΡΦΖ τρίγωνον, οὕτως τὸ πρίσμα, οὗ βάσις τὸ ΛΞΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΟΜΝ, πρὸς τὸ πρίσμα, οὗ βάσις μὲν τὸ ΡΦΖ τρίγωνον ἀπεναντίον δὲ τὸ ΣΤΦ, οὕτως δειχτέον.

Ἐπὶ γὰρ τῆς αὐτῆς καταγραφῆς νενοήσθωσαν ἀπὸ τῶν Η, Θ σημείων κάθετοι ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ τρίγωνα ἐπίπεδα, ἴσαι δηλαδὴ τυγχάνουσαι διὰ τὸ ἰσοϋψεῖς ὑποκεῖσθαι τὰς πυραμίδας. καὶ ἐπεὶ δύο εὐθεῖαι, ἥ τε ΗΓ καὶ ἡ ἀπὸ τοῦ Η κάθετος ὑπὸ παραλλήλων ἐπιπέδων τῶν ΑΒΓ, ΟΜΝ τέμνονται, εἰς τὰς αὐτὰς λόγους τμηθήσονται. καὶ τέτμηται ἡ ΗΓ δίχα ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου κατὰ τὸ Ν· καὶ ἡ ἀπὸ τοῦ Η ἄρα κάθετος ἐπὶ τὸ ΑΒΓ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἀπὸ τοῦ Θ καθέτος ἐπὶ τὸ ΔΕΖ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΣΤΤ ἐπιπέδου. καὶ εἰσὶν ἴσαι αἱ ἀπὸ τῶν Η, Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ, ΔΕΖ ἐπίπεδα· ἴσαι ἄρα καὶ αἱ ἀπὸ τῶν ΟΜΝ, ΣΤΤ τριγώνων ἐπὶ

LEMMA.

At vero ut ΑΞΓ triangulum ad triangulum ΡΦΖ, ita eſſe priſma, cujus baſis triangulum ΛΞΓ oppoſitum autem ipſi ΟΜΝ, ad priſma, cujus baſis ΡΦΖ triangulum & oppoſitum ipſi ΣΤΤ, hoc modo oſtendemus.

In eadem enim figura intelligantur ab ipſis Η, Θ punctis perpendiculares ductæ ad ΑΒΓ, ΔΕΖ triangulorum plana, quæ inter ſe æquales erunt; propterea quod pyramides ipſæ æqualtæ ponuntur. & quoniam duæ rectæ lineæ ΗΓ & perpendicularis à puncto Η ducta ſecantur à parallelis planis ΑΒΓ, ΟΜΝ, [per 17. 11.] in eadem ratione ſecabuntur. ſecatur vero ΗΓ bifariam a plano ΟΜΝ in puncto Ν: ergo & à puncto Η ducta perpendicularis ad ΑΒΓ planum bifariam ſecabitur à plano ΟΜΝ. eadem ratione & quæ à puncto Θ ducitur perpendicularis ad ΔΕΖ planum à plano ΣΤΤ bifariam ſecabitur. ſunt autem æquales perpendiculares, quæ ab ipſis Η, Θ ducuntur ad plana ΑΒΓ, ΔΕΖ: ergo & æquales quæ à triangulis ΟΜΝ, ΣΤΤ ad ipſa

ABΓ, ΔEZ perpendiculares ducuntur: æquealta igitur ſunt priſmata, quorum baſes triangula ΛΞΓ, PΦZ, oppoſita autem ipſis OMN, ΣTT: quare [per 32. 11.] & ſolida parallelepipeda quæ à dictis priſmatibus deſcribuntur æquealta inter ſe ſunt ut baſes; pariterque de illorum dimidiis, ut ΛΞΓ baſis ad baſim PΦZ ita erunt inter ſe & dicta priſmata. quod erat demonſtrandum.

τὰ ΑΒΓ, ΔΕΖ καθεστηκότα ἰσοϋψῆ ἄρα ἐστὶ τὰ πρίσματα, ὧν βάσεις μέν εἰσι τὰ ΑΞΓ, ΡΦΖ τρίγωνα, ἀπεναντίον δὲ τὰ ΟΜΝ, ΣΤΤ· ὥστε καὶ τὰ στερεὰ παραλληλεπίπεδα, τὰ ἀπὸ τῶν εἰρημένων πρισμάτων ἀναγραφόμενα, ἰσοϋψῆ πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις· καὶ τὰ ἡμίσεα ἄρα ἔσται, ὡς ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ βάσιν ὕτως τὰ εἰρημένα πρίσματα πρὸς ἄλληλα. ὅπερ ἔδει δεῖξαι.

Prop. V. Theor.

Pyramides quæ in eadem ſunt altitudine & triangulares baſes habent inter ſe ſunt ut baſes.

ΠΡΟΤΑΣΙΣ ε'.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας ἐστὶν ὡς αἱ βάσεις.

SInt enim in eadem altitudine pyramides, quarum baſes quidem triangula ABΓ, ΔEZ, vertices autem puncta H, Θ: dico ut ABΓ baſis ad baſim ΔEZ ſic eſſe pyramidem ABΓH ad ΔEZΘ pyramidem.

Si enim non ita ſit, erit ut ABΓ baſis ad baſim ΔEZ ſic ABΓH pyramis vel ad ſolidum minus pyramide ΔEZΘ vel ad majus. eſto primum ad ſolidum minus, ſitque X; & dividatur pyramis ΔEZΘ in duas pyramides æquales inter ſe, & ſimiles toti, & in duo priſmata æqualia; ſunt igitur [per 3. 12.] duo priſmata dimidio totius pyramidis majora. & rurſus pyramides ex diviſione factæ ſimiliter dividantur, atque hoc ſemper fiat quoad ſumantur quædam pyramides à pyramide ΔEZΘ, quæ ſint minores exceſſu, quo pyramis ΔEZΘ ſolidum X ſuperat. itaque ſumantur, & ſint exempli cauſa pyramides ΔΠPΣ, ΣTTΘ: erunt igitur reliqua in pyramide ΔEZΘ priſmata ſolido X majora. dividatur etiam ABΓH pyramis ſimiliter & in totidem partes atque pyramis ΔEZΘ: ergo [per 4. 12.] ut ABΓ baſis ad baſim ΔEZ ita quæ in pyramide ABΓH priſmata ad priſmata quæ in pyramide ΔEZΘ. ſed [ex hyp.] ut ABΓ baſis ad baſim ΔEZ ita pyramis ABΓH ad ſolidum X: & igitur ut ABΓH pyramis ad ſolidum X ita quæ in pyramide ABΓH priſmata ad priſmata quæ in pyramide ΔEZΘ: & permutando ut ABΓH pyramis ad priſmata quæ in ipſa ſunt ita ſolidum X ad priſmata quæ ſunt in pyramide ΔEZΘ. major autem eſt pyramis ABΓH priſmatibus quæ in ipſa ſunt: ergo & ſolidum X priſmatibus quæ ſunt in pyramide ΔEZΘ eſt majus. ſed & minus, quod



Ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες, ὧν βάσεις μὲν τὰ ΑΒΓ, ΔΕΖ τρίγωνα, κορυφαὶ δὲ τὰ Η, Θ σημεῖα· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ ὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα.

Εἰ γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα, ἔσται ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως ἡ ΑΒΓΗ πυραμὶς ἤτοι πρὸς ἔλασσόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλασσον τὸ Χ· καὶ διῃρήσθω ἡ ΔΕΖΘ πυραμὶς εἰς τὰ δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα· τὰ δὴ δύο πρίσματα μείζονά ἐστιν, ἢ τὸ ἥμισυ τοῦ ὅλης πυραμίδος. καὶ πάλιν αἱ ἐκ τῆς διαιρέσεως γινόμεναι διῃρήσθωσαν πυραμίδες ὁμοίως, καὶ τοῦτο ἀεὶ γινέσθω ἕως οὗ λειφθῶσί τινες πυραμίδες ἀπὸ τῆς ΔΕΖΘ πυραμίδος, αἵ εἰσιν ἐλάσσονες τοῦ ὑπερέχοντος, ἧς ὑπερέχει ἡ ΔΕΖΘ πυραμὶς τοῦ Χ στερεοῦ. λελείφθωσαν καὶ ἔστωσαν λόγου ἕνεκα αἱ ΔΠΡΣ, ΣΤΤΘ· λοιπὰ ἄρα τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ Χ στερεοῦ. διῃρήσθω καὶ ἡ ΑΒΓΗ πυραμὶς ὁμοίως καὶ ἰσοπληθῶς τῇ ΔΕΖΘ πυραμίδι· ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα. ἀλλ' ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν ὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὸ Χ στερεόν· καὶ ὡς ἄρα ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὸ Χ στερεὸν ὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα· ἐναλλὰξ ἄρα ὡς ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὰ ἐν αὐτῇ πρίσματα ὕτως τὸ Χ στερεὸν πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα. μείζων δὲ ἡ ΑΒΓΗ πυραμὶς τῶν ἐν αὐτῇ πρισμάτων· μεῖζον ἄρα καὶ τὸ Χ στερεὸν τῶν ἐν τῇ ΔΕΖΘ πυραμίδι πρισμάτων. ἀλλὰ καὶ ἔλασσον, ὅπερ

ἐστὶν

ἐστὶν ἀδύνατον· οὐκ ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς ἔλασσόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεόν. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ὡς ἡ ΔΕΖ βάσις πρὸς τὴν ΑΒΓ βάσιν οὕτως ἡ ΔΕΖΘ πυραμὶς πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΗ πυραμίδος στερεόν. λέγω δὴ ὅτι οὐδὲ ἔστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς μεῖζόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεόν. εἰ γὰρ δυνατόν, ἔστω πρὸς μεῖζον τὸ Χ· ἀνάπαλιν ἄρα ὡς ἡ ΔΕΖ βάσις πρὸς τὴν ΑΒΓ βάσιν οὕτως τὸ Χ στερεὸν πρὸς τὴν ΑΒΓΗ πυραμίδα. ὡς δὲ τὸ Χ στερεὸν πρὸς τὴν ΑΒΓΗ πυραμίδα οὕτως ἡ ΔΕΖΘ πυραμὶς πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΗ πυραμίδος, ὡς ἔμπροσθεν ἐδείχθη· καὶ ὡς ἄρα ἡ ΔΕΖ βάσις πρὸς τὴν ΑΒΓ βάσιν οὕτως ἡ ΔΕΖΘ πυραμὶς πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΗ πυραμίδος, ὅπερ ἄτοπον ἐδείχθη· οὐκ ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς μεῖζόν τι τοῦ ΔΕΖΘ πυραμίδος στερεόν. ἐδείχθη δὲ ὅτι οὐδὲ πρὸς ἔλασσον· ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα.

Αἱ ἄρα ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις. ὅπερ ἔδει δεῖξαι.

fieri non poteſt: non igitur ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſt pyramis ΑΒΓΗ ad ſolidum aliquod minus pyramide ΔΕΖΘ. ſimiliter oſtendemus neque ut ΔΕΖ baſis ad baſim ΑΒΓ ita eſſe pyramidem ΔΕΖΘ ad ſolidum aliquod pyramide ΑΒΓΗ minus. Dico porro neque eſſe ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita ΑΒΓΗ pyramidem ad aliquod ſolidum majus pyramide ΔΕΖΘ. ſi enim fieri poteſt, ſit ad majus, videlicet ad ſolidum Χ: erit igitur invertendo ut ΔΕΖ baſis ad baſim ΑΒΓ ita ſolidum Χ ad ΑΒΓΗ pyramidem. ut autem ſolidum Χ ad ΑΒΓΗ pyramidem ita ΔΕΖΘ pyramis ad ſolidum aliquod minus pyramide ΑΒΓΗ, ut proxime oſtenſum fuit: & igitur ut ΔΕΖ baſis ad baſim ΑΒΓ ita pyramis ΔΕΖΘ ad ſolidum aliquod pyramide ΑΒΓΗ minus, quod eſt abſurdum: non igitur ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſt ΑΒΓΗ pyramis ad ſolidum aliquod majus pyramide ΔΕΖΘ. oſtenſum autem eſt neque eſſe ad minus: quare ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſt pyramis ΑΒΓΗ ad ΔΕΖΘ pyramidem.

Pyramides igitur quæ in eadem ſunt altitudine & triangulares baſes habent inter ſe ſunt ut baſes. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ πολυγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις.

Prop. VI. Theor.

Pyramides quæ in eadem ſunt altitudine & polygonas baſes habent inter ſe ſunt ut baſes.

Ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες πολυγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓΔΕ, ΖΗΘΚΛ, κορυφὰς δὲ τὰ Μ, Ν σημεῖα· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒΓΔΕ βάσις πρὸς τὴν ΖΗΘΚΛ βάσιν οὕτως ἡ ΑΒΓΔΕΜ πυραμὶς πρὸς τὴν ΖΗΘΚΛΝ πυραμίδα.

Διῃρήσθω γὰρ ἡ μὲν ΑΒΓΔΕ βάσις εἰς τὰ ΑΒΓ, ΑΓΔ, ΑΔΕ τρίγωνα· ἡ δὲ ΖΗΘΚΛ εἰς τὰ ΖΗΘ, ΖΘΚ, ΖΚΛ τρίγωνα, καὶ νενοήσθωσαν ἐφ' ἑκάστου τριγώνου πυραμίδες ἰσοϋψεῖς τῇ ἐξ ἀρχῆς πυραμίσι. καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον οὕτως ἡ ΑΒΓΜ πυραμὶς πρὸς τὴν ΑΓΔΜ πυραμίδα, καὶ συνθέντι ὡς τὸ ΑΒΓΔ τραπέζιον πρὸς τὸ ΑΓΔ τρίγωνον οὕτως ἡ ΑΒΓΔΜ πυραμὶς πρὸς τὴν ΑΓΔΜ πυραμίδα. ἀλλὰ καὶ ὡς τὸ ΑΓΔ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον οὕτως ἡ ΑΓΔΜ πυραμὶς πρὸς τὴν ΑΔΕΜ πυραμίδα· δι' ἴσου ἄρα ὡς ἡ ΑΒΓΔ βάσις πρὸς τὴν ΑΔΕ βάσιν οὕτως ἡ ΑΒΓΔΜ πυραμὶς πρὸς τὴν ΑΔΕΜ πυραμίδα. καὶ συνθέντι πάλιν, ὡς ἡ ΑΒΓΔΕ βάσις πρὸς τὴν ΑΔΕ οὕτως ἡ ΑΒΓ





SInt in eadem altitudine pyramides, quæ polygonas baſes habeant ΑΒΓΔΕ, ΖΗΘΚΛ, vertices autem Μ, Ν puncta: dico ut ΑΒΓΔΕ baſis ad baſim ΖΗΘΚΛ ita eſſe ΑΒΓΔΕΜ pyramidem ad pyramidem ΖΗΘΚΛΝ.

Dividatur enim baſis quidem ΑΒΓΔΕ in triangula ΑΒΓ, ΑΓΔ, ΑΔΕ: baſis vero ΖΗΘΚΛ dividatur in triangula ΖΗΘ, ΖΘΚ, ΖΚΛ; & ſuper unoquoque triangulo intelligantur pyramides æqualtæ ac pyramides quæ à principio. quoniam igitur [per 5. 12.] eſt ut triangulum ΑΒΓ ad triangulum ΑΓΔ ita ΑΒΓΜ pyramis ad pyramidem ΑΓΔΜ: & componendo [per 18. 5.] ut ΑΒΓΔ trapezium ad triangulum ΑΓΔ ita ΑΒΓΔΜ pyramis ad pyramidem ΑΒΓΜ. ſed & ut ΑΓΔ triangulum ad triangulum ΑΔΕ ita pyramis ΑΓΔΜ ad ΑΔΕΜ pyramidem: ergo ex æquo [per 22. 5.] ut ΑΒΓΔ baſis ad baſim ΑΔΕ ita ΑΒΓΔΜ pyramis ad pyramidem ΑΔΕΜ. & rurſus componendo ut ΑΒΓΔΕ baſis ad baſim ΑΔΕ ita ΑΒΓ

ΔΕΜ pyramis ad pyramidem ΑΔΕΜ. eadem ratione & ut ΖΗΘΚΛ baſis ad baſim ΖΚΛ ita & ΖΗΘΚΛΝ pyramis ad ΖΚΛΝ pyramidem. & quoniam ΑΔΕΜ, ΖΚΛΝ ſunt duæ pyramides, quæ triangulares baſes habent & in eadem ſunt altitudine; erit ut ΑΔΕ baſis ad baſim ΖΚΛ ita ΑΔΕΜ pyramis ad pyramidem ΖΚΛΝ. quoniam igitur eſt ut ΑΒΓΔΕ baſis ad baſim ΑΔΕ, ita ΑΒΓΔΕΜ pyramis ad pyramidem ΑΔΕΜ; ut autem ΑΔΕ baſis ad baſim ΖΚΛ ita ΑΔΕΜ pyramis ad pyramidem ΖΚΛΝ: erit, ex æquo, ut baſis ΑΒΓΔΕ ad ΖΚΛ baſim ita ΑΒΓΔΕΜ pyramis ad pyramidem ΖΚΛΝ. ſed & ut ΖΚΛ baſis ad baſim ΖΗΘΚΛ ita erat & ΖΚΛΝ pyramis ad pyramidem ΖΗΘΚΛΝ: quare rurſus ex æquo, ut ΑΒΓΔΕ baſis ad baſim ΖΗΘΚΛ ita eſt ΑΒΓΔΕΜ pyramis ad pyramidem ΖΗΘΚΛΝ.



Pyramides igitur quæ in eadem ſunt altitudine & polygonas baſes habent inter ſe ſunt ut baſes. quod erat demonſtrandum.

PROP. VII. THEOR.

Omne priſma triangularem habens baſim dividitur in tres pyramides æquales inter ſe, quæ triangulares baſes habent.

SIT priſma cujus baſis quidem triangulum ΑΒΓ, oppoſitum autem ipſi ΔΕΖ: dico priſma ΑΒΓΔΕΖ dividi in tres pyramides æquales inter ſe, quæ triangulares habent baſes.

Jungantur enim ΒΔ, ΕΓ, ΓΔ. & quoniam ΑΒΕΔ eſt parallelogrammum, cujus diameter ΒΔ, erit [per 34. 1.] ΑΒΔ triangulum triangulo ΕΔΒ æquale: ergo [per 5. 12.] pyramis, cujus baſis eſt triangulum ΑΒΔ vertex autem punctum Γ, æqualis eſt pyramidi, cujus baſis ΕΔΒ triangulum & vertex punctum Γ. ſed pyramis, cujus baſis ΕΔΒ triangulum & vertex punctum Γ, eadem eſt cum pyramide cujus baſis triangulum ΕΒΓ & vertex Δ punctum, iiſdem enim planis continetur: ergo & pyramis, cujus baſis triangulum ΑΒΔ vertex autem punctum Γ, æqualis eſt pyramidi, cujus baſis ΕΒΓ triangu-



ΔΕΜ πυραμὶς πρὸς τὴν ΑΔΕΜ πυραμίδα. ἀλλὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΖΗΘΚΛ βάσις πρὸς τὴν ΖΚΛ βάσιν ἕτως καὶ ἡ ΖΗΘΚΛΝ πυραμὶς πρὸς τὴν ΖΚΛΝ πυραμίδα, καὶ ἐπεὶ δύο πυραμίδες εἰσὶν αἱ ΑΔΕΜ, ΖΚΛΝ τρίγωνα ἔχουσαι βάσεις, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἔστω ἄρα ὡς ἡ ΑΔΕ βάσις πρὸς τὴν ΖΚΛ βάσιν ἕτως ἡ ΑΔΕΜ πυραμὶς πρὸς τὴν ΖΚΛΝ πυραμίδα. ἐστὶ δὲ ὡς ἡ ΑΒΓΔΕ βάσις πρὸς τὴν ΑΔΕ βάσιν ἕτως ἡ ΑΒΓΔΕΜ πυραμὶς πρὸς τὴν ΑΔΕΜ πυραμίδα, ὡς δὲ ἡ ΑΔΕ βάσις πρὸς τὴν ΖΚΛ βάσιν ἕτως ἡ ΑΔΕΜ πυραμὶς πρὸς τὴν ΖΚΛΝ πυραμίδα· δίσα ἄρα ὡς ἡ ΑΒΓΔΕ βάσις πρὸς τὴν ΖΚΛ βάσιν ἕτως ἡ ΑΒΓΔΕΜ πυραμὶς πρὸς τὴν ΖΚΛΝ πυραμίδα. ἀλλὰ μὴν καὶ ὡς ἡ ΖΚΛ βάσις πρὸς τὴν ΖΗΘΚΛ βάσιν ἕτως ἴση καὶ ἡ ΖΚΛΝ πυραμὶς πρὸς τὴν ΖΗΘΚΛΝ πυραμίδα· καὶ δίσα πάλιν ἄρα ὡς ἡ ΑΒΓΔΕ βάσις πρὸς τὴν ΖΗΘΚΛ βάσιν ἕτως ἡ ΑΒΓΔΕΜ πυραμὶς πρὸς τὴν ΖΗΘΚΛΝ πυραμίδα.

Πυραμίδες ἄρα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἔσας καὶ πολυγώνους ἐχούσας βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ζ'.

Πᾶν πρίσμα τρίγωνον ἔχον βάσιν διαιρεῖται εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις, τριγώνους βάσεις ἐχούσας.

ΕΣτω πρίσμα οὗ βάσις μὲν τὸ ΑΒΓ τρίγωνον, ἀπεναντίον δὲ τὸ ΔΕΖ· λέγω ὅτι τὸ ΑΒΓΔΕΖ πρίσμα διαιρεῖται εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις, τριγώνους βάσεις ἐχούσας.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΔ, ΕΓ, ΓΔ. καὶ ἐπεὶ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΕΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΒΔ· ἴσον ἄρα τὸ ΑΒΔ τρίγωνον τῷ ΕΔΒ τριγώνῳ· καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μὲν τὸ ΑΒΔ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ ΕΔΒ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον. ἀλλ' ἡ πυραμὶς, ἧς βάσις μὲν τὸ ΕΔΒ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον, ἡ αὐτή ἐστι πυραμίδι, ἧς βάσις μὲν τὸ ΕΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ὑπὸ γὰρ τῶν αὐτῶν ἐπιπέδων περιέχεται· καὶ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΑΒΔ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μέν ἐστι τὸ ΕΒΓ τρίγωνον

γωνον κορυφὴ δὲ τὸ Δ σημεῖον. πάλιν, ἐπεὶ παραλληλόγραμμόν ἐστι τὸ ΖΓΒΕ, διάμετρος δὲ αὐτοῦ ἡ ΓΕ, ἴσον ἐστὶ τὸ ΕΓΖ τρίγωνον τῷ ΓΒΕ τριγώνῳ· καὶ πυραμὶς ἄρα, ἧς βάσις μὲν ἐστὶ τὸ ΒΕΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΕΓΖ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον. ἡ δὲ πυραμὶς, ἧς βάσις μὲν ἐστὶ τὸ ΒΓΕ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ἴση ἐδείχθη πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΔ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον· καὶ πυραμὶς ἄρα, ἧς βάσις μὲν ἐστὶ τὸ ΓΕΖ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ἴση ἐστὶ πυραμίδι, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΔ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον· διήρηται ἄρα τὸ ΑΒΓΔΕΖ πρίσμα εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις, τριγώνους βάσεις ἐχούσας. καὶ ἐπεὶ πυραμὶς, ἧς βάσις μὲν ἐστὶ τὸ ΑΒΔ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον, ἡ αὐτὴ ἐστὶ πυραμίδι, ἧς βάσις μὲν τὸ ΓΑΒ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, ἴσων γὰρ τῶν αὐτῶν ὑπιπέδων περέχονται, ἡ δὲ πυραμὶς, ἧς βάσις μὲν τὸ ΑΒΔ τρίγωνον κορυφὴ δὲ τὸ Γ σημεῖον, τρίτον ἐδείχθη τοῦ πρίσματος, οὗ βάσις τὸ ΑΒΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΔΕΖ· καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, τρίτον ἐστὶ τοῦ πρίσματος τοῦ ἔχοντος βάσιν τὸ αὐτὸ, τὸ ΑΒΓ τρίγωνον ἀπεναντίον δὲ τὸ ΔΕΖ. ὅπερ ἔδει δεῖξαι.

lum & vertex punctum Δ. rurſus, quoniam ΖΓΒΕ parallelogrammum eſt, cujus diameter ΓΕ, triangulum ΕΓΖ [per 34. 1.] triangulo ΓΒΕ eſt æquale: ergo [per 5. 11.] & pyramis, cujus baſis ΒΕΓ triangulum vertex autem punctum Δ, æqualis eſt pyramidi, cujus baſis triangulum ΕΓΖ & vertex punctum Δ. ſed pyramis, cujus baſis quidem ΒΓΕ triangulum vertex autem punctum Δ, oſtenſa eſt æqualis pyramidi, cujus baſis triangulum ΑΒΔ & vertex Γ punctum; quare & pyramis, cujus baſis triangulum ΓΕΖ & vertex punctum Δ, æqualis eſt pyramidi, cujus baſis triangulum ΑΒΔ & vertex Γ punctum. priſma igitur ΑΒΓΔΕΖ dividitur in tres pyramides inter ſe æquales, quæ triangulares baſes habent. & quoniam pyramis, cujus baſis ΑΒΔ triangulum vertex autem punctum Γ, eadem eſt cum pyramide, cujus baſis triangulum ΓΑΒ & vertex Δ punctum, iiſdem namque planis continentur; pyramis autem, cujus baſis triangulum ΑΒΔ & vertex punctum Γ, oſtenſa eſt tertia pars priſmatis, cujus baſis ΑΒΓ triangulum & oppoſitum ipſi ΔΕΖ: & pyramis igitur, cujus baſis triangulum ΑΒΓ vertex autem Δ punctum, tertia pars eſt priſmatis eandem baſim habentis, videlicet ΑΒΓ triangulum & oppoſitum ipſi triangulum ΔΕΖ. quod erat demonſtrandum.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν ὅτι πᾶσα πυραμὶς τρίτον μέρος ἐστὶ πρίσματος, τὸ τὴν βάσιν τὴν αὐτὴν ἔχοντος αὐτῇ καὶ τὸ ὕψος ἴσον· ἐπειδήπερ καὶν ἕτερόν τι σχῆμα εὐθύγραμμον ἔχῃ ἡ βάσις τοῦ πρίσματος καὶ τὸ αὐτὸ ἀπεναντίον, διαιρεῖται εἰς πρίσματα τριγώνους ἔχοντα βάσεις καὶ τὰς ἀπεναντίον.

Corollarium.

Ex hoc manifeſtum eſt omnem pyramidem tertiam partem eſſe priſmatis baſim habentis eandem & altitudinem æqualem: quoniam ſi baſis priſmatis aliam quandam figuram rectilineam obtineat & ipſi oppoſita eandem, dividitur in priſmata quæ triangulares habent baſes, baſibuſque oppoſita etiam triangula.

ΠΡΟΤΑΣΙΣ η'.

Αἱ ὅμοιαι πυραμίδες, αἳ τριγώνους ἔχουσι βάσεις, ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

Prop. VIII. Theor.

Similes pyramides, quæ triangulares baſes habent, ſunt in triplicata ratione homologorum laterum.

Ἔστωσαν ὅμοιαι καὶ ὁμοίως κείμεναι πυραμίδες, ὧν βάσεις μὲν εἰσὶ τὰ ΑΒΓ, ΔΕΖ τρίγωνα κορυφαὶ δὲ τὰ Η, Θ σημεῖα· λέγω ὅτι ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.



Συμπεπληρώσθω γὰρ τὰ ΒΗΜΛ, ΕΘΠΟ στερεὰ παραλληλεπίπεδα. καὶ ἐπεὶ ὅμοιά ἐστιν ἡ ΑΒΓΗ πυραμὶς τῇ ΔΕΖΘ πυραμίδι· ἴση ἄρα ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, ἡ δὲ ὑπὸ ΗΒΓ γωνία τῇ ὑπὸ ΘΕΖ, ἡ δὲ ὑπὸ ΑΒΗ τῇ ὑπὸ ΔΕΘ, καί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΔΕ οὕτως

SInt ſimiles & ſimiliter poſitæ pyramides, quarum baſes quidem triangula ΑΒΓ, ΔΕΖ, vertices autem Η, Θ puncta: dico ΑΒΓΗ pyramidem ad pyramidem ΔΕΖΘ triplicatam rationem habere ejus quam ΒΓ habet ad ΕΖ.



Compleantur enim ΒΗΜΛ, ΕΘΠΟ ſolida parallelepipeda. & quoniam pyramis ΑΒΓΗ ſimilis eſt pyramidi ΔΕΖΘ, erit [per 9. def. 11.] angulus ΑΒΓ angulo ΔΕΖ æqualis, angulusque ΗΒΓ æqualis angulo ΘΕΖ, & angulus ΑΒΗ angulo ΔΕΘ, atque eſt ut ΑΒ ad ΔΕ ita

ΒΓ

ΒΓ ad ΕΖ & ΒΗ ad ΕΘ. quoniam igitur eſt ut ΑΒ ad ΔΕ ita ΒΓ ad ΕΖ, & circum æquales angulos latera ſunt proportionalia; parallelogrammum ΒΜ parallelogrammo ΕΠ ſimile erit. eadem ratione & parallelogrammum ΒΝ ſimile eſt parallelogrammo ΕΡ, & parallelogrammum ΒΚ ipſi ΕΣ parallelogrammo: tria igitur parallelogramma ΒΜ, ΚΒ, ΒΝ tribus ΕΠ, ΕΣ, ΕΡ ſunt ſimilia.



ſed [per 24. 11.] tria quidem ΜΒ, ΒΚ, ΒΝ tribus oppoſitis æqualia & ſimilia ſunt, tria vero ΕΠ, ΕΣ, ΕΡ tribus oppoſitis æqualia & ſimilia: quare ſolida ΒΗΜΛ, ΕΘΠΟ ſimilibus planis & numero æqualibus continentur; ac propterea [per 9. def. 11.] ſimile eſt ΒΗΜΛ ſolidum ſolido ΕΘΠΟ. ſimilia autem ſolida parallelepipeda [per 33. 11.] ſunt in triplicata ratione homologorum laterum: ergo ſolidum ΒΗΜΘ ad ſolidum ΕΘΠΟ triplicatam habet rationem ejus quam habet latus homologum ΒΓ ad ΕΖ homologum latus. ſed [per 15. 5.] ut ΒΗΜΛ ſolidum ad ſolidum ΕΘΠΟ ita ΑΒΓΗ pyramis ad pyramidem ΔΕΖΘ; pyramis enim ſexta pars eſt ipſius ſolidi, cum priſma, quod eſt dimidium ſolidi parallelepipedi, ſit pyramidis triplum: quare & pyramis ΑΒΓΗ ad pyramidem ΔΕΖΘ triplicatam rationem habet ejus quam ΒΓ habet ad ΕΖ. quod erat demonſtrandum.

Corollarium.

Ex hoc perſpicuum eſt ſimiles pyramides, quæ polygonas baſes habent, inter ſe eſſe in triplicata ratione homologorum laterum. ipſis enim diviſis in pyramides triangulares baſes habentes, quoniam [per 20. 6.] ſimilia polygona baſium in ſimilia triangula dividuntur & numero æqualia & homologa totis; erit ut una pyramis in altera pyramide triangularem habens baſim ad unam pyramidem in altera triangularem baſim habentem ita & omnes pyramides in pyramide altera triangulares habentes baſes ad omnes in altera triangulares baſes habentes; hoc eſt ita pyramis ipſa polygonam habens baſim ad pyramidem quæ polygonam baſim habet. ſed pyramis triangularem habens baſim ad pyramidem quæ triangularem baſim habet eſt in triplicata ratione homologorum laterum; & igitur pyramis polygonam habens baſim ad pyramidem ſimilem baſim habentem triplicatam rationem habet ejus quam latus homologum habet ad homologum latus.

Prop. IX. Theor.

Æqualium pyramidum, triangulares baſes habentium, baſes ſunt altitudinibus reciproce proportionales. & qua-

ἡ ΒΓ πρὸς τὴν ΕΖ ἡ ΒΗ πρὸς τὴν ΕΘ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΔΕ οὕτως ἡ ΒΓ πρὸς τὴν ΕΖ, καὶ περὶ ἴσας γωνίας αἱ πλευραὶ ἀνάλογόν εἰσιν· ὅμοιον ἄρα τὸ ΒΜ παραλληλόγραμμον τῷ ΕΠ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὴν ΒΝ τῷ ΕΡ ὅμοιόν ἐστι, τὸ δὲ ΒΚ τῷ ΕΣ· τὰ τρία ἄρα παραλληλόγραμμα τὰ ΒΜ, ΚΒ, ΒΓ τρισὶ τοῖς ΕΠ, ΕΣ, ΕΡ ὅμοιά ἐστιν. ἀλλὰ τὰ μὴν τρία τὰ ΜΒ, ΒΚ, ΒΝ τρισὶ τοῖς ἀπεναντίον ἴσοις τε ἐστὶ καὶ ὅμοια, τὰ δὲ τρία τὰ ΕΠ, ΕΣ, ΕΡ τρισὶ τοῖς ἀπεναντίον ἴσοι τε ἐστὶ καὶ ὅμοια· τὰ ΒΗΜΛ, ΕΘΠΟ ἄρα στερεὰ ὑπὸ ὁμοίων ἐπιπέδων ἴσων τὸ πλῆθος περέχοντα· ὅμοιον ἄρα τὸ ΒΗΜΛ στερεὸν τῷ ΕΘΠΟ στερεῷ. τὰ δὲ ὅμοια στερεὰ παραλληλεπίπεδα ἐν τριπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· τὸ ΒΗΜΛ ἄρα στερεὸν πρὸς τὸ ΕΘΠΟ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος πλευρὰ ἡ ΒΓ πρὸς τὴν ὁμόλογον πλευρὰν τὴν ΕΖ. ὡς δὲ τὸ ΒΗΜΛ στερεὸν πρὸς τὸ ΕΘΠΟ στερεὸν οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα, ἐπειδήπερ ἡ πυραμὶς ἕκτον μέρος ἐστὶ τοῦ στερεοῦ, διὰ τὸ καὶ τὸ πρίσμα ἥμισυ ὂν τοῦ στερεοῦ παραλληλεπίπεδόν τε τριπλάσιον εἶναι τῆς πυραμίδος· καὶ ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ὅπερ ἔδει δεῖξαι.



Πόρισμα.

Ἐκ δὴ τούτου φανερὸν, ὅτι καὶ αἱ πολυγώνους ἔχουσαι βάσεις ὅμοιαι πυραμίδες πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν. διαιρεθεισῶν γὰρ αὐτῶν εἰς τὰς ἐν αὐταῖς πυραμίδας τριγώνους βάσεις ἐχούσας, τῷ δὲ καὶ ὅμοια πολύγωνα τὰ βάσεων εἰς ὅμοια τρίγωνα διαιρεῖσθαι, καὶ εἰς ἴσα τῷ πλήθει καὶ ὁμόλογα τοῖς ὅλοις, ἔσται ὡς ἐν τῇ ἑτέρᾳ μίᾳ πυραμὶς τρίγωνον ἔχουσα βάσιν πρὸς τὴν ἐν τῇ ἑτέρᾳ μίαν πυραμίδα τρίγωνον βάσιν ἔχουσαν, οὕτω καὶ ἅπασαι αἱ ἐν τῇ ἑτέρᾳ πυραμίδι πυραμίδες τριγώνους ἔχουσαι βάσεις πρὸς πάσας τὰς ἐν τῇ ἑτέρᾳ πυραμίδι πυραμίδας τριγώνους βάσεις ἐχούσας· τουτέστιν αὐτὴ ἡ πολύγωνον βάσιν ἔχουσα πυραμὶς πρὸς τὴν πολύγωνον βάσιν ἔχουσαν. ἡ δὲ τρίγωνον βάσιν ἔχουσα πυραμὶς πρὸς τὴν τρίγωνον βάσιν ἔχουσαν ἐν τριπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· καὶ ἡ πολύγωνον ἄρα βάσιν ἔχουσα πρὸς τὴν ὁμοίαν βάσιν ἔχουσαν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν.

ΠΡΟΤΑΣΙΣ θ'.

Τῶν ἴσων πυραμίδων καὶ τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι. καὶ

ὧν

ὧν πυραμίδων τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσαι εἰσὶν ἐκεῖναι.

rum pyramidum triangulares baſes habentium baſes ſunt altitudinibus reciproce proportionales, illæ inter ſe æquales ſunt.

Ἔστωσαν γὰρ πυραμίδες ἴσαι, τριγώνους ἐχουσαι βάσεις τὰς ΑΒΓ, ΔΕΖ, κορυφὰς δὲ τὰ Η, Θ σημεῖα· λέγω ὅτι τῶν ΑΒΓΗ, ΔΕΖΘ πυραμίδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὸ τῆς ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΗ πυραμίδος ὕψος.

SInt enim pyramides æquales quæ triangulares baſes habeant ΑΒΓ, ΔΕΖ, vertices vero Η, Θ puncta: dico pyramidum ΑΒΓΗ, ΔΕΖΘ baſes eſſe reciproce proportionales altitudinibus, hoc eſt, ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſſe pyramidis ΔΕΖΘ altitudinem ad altitudinem pyramidis ΑΒΓΗ.

Συμπεπληρώσθω γὰρ τὰ ΒΗΜΛ, ΕΘΠΟ στερεὰ παραλληλεπίπεδα. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒΓΗ πυραμὶς τῇ ΔΕΖΘ πυραμίδι, ἔστι δὲ τοῦ μὲν ΑΒΓΗ πυραμίδος ἑξαπλάσιον τὸ ΒΗΜΛ στερεόν, τοῦ δὲ ΔΕΖΘ πυραμίδος ἑξαπλάσιον τὸ ΕΘΠΟ στερεόν· ἴσον ἄρα τὸ ΒΗΜΛ στερεὸν τῷ ΕΘΠΟ στερεῷ. τῶν δὲ ἴσων στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἔστιν ἄρα ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΕΠ βάσιν οὕτως τὸ τοῦ ΕΘΠΟ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΗΜΛ στερεοῦ ὕψος. ἀλλ' ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΕΠ βάσιν οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον οὕτως τὸ τοῦ ΕΘΠΟ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΗΜΛ στερεοῦ ὕψος. ἀλλὰ τὸ μὲν τοῦ ΕΘΠΟ στερεοῦ ὕψος τὸ αὐτό ἐστι τῷ τοῦ ΔΕΖΘ πυραμίδος ὕψει, τὸ δὲ τοῦ ΒΗΜΛ στερεοῦ ὕψος τὸ αὐτό ἐστι τῷ τοῦ ΑΒΓΗ πυραμίδος ὕψει· ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὸ τοῦ ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τοῦ ΑΒΓΗ πυραμίδος ὕψος· τῶν ἄρα ΑΒΓΗ, ΔΕΖΘ πυραμίδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν.

Compleantur enim ΒΗΜΛ, ΕΘΠΟ ſolida parallelepipeda. & quoniam pyramis ΑΒΓΗ eſt æqualis pyramidi ΔΕΖΘ, atque eſt pyramidis quidem ΑΒΓΗ ſextuplum ΒΗΜΛ ſolidum, pyramidis vero ΔΕΖΘ ſextuplum ſolidum ΕΘΠΟ; erit [per 15. 5.] ſolidum ΒΗΜΛ ſolido ΕΘΠΟ æquale. æqualium autem ſolidorum parallelepipedorum [per 34. 11.] baſes ſunt reciproce proportionales altitudinibus: eſt igitur ut ΒΜ baſis ad baſim ΕΠ ita ΕΘΠΟ ſolidi altitudo ad altitudinem ſolidi ΒΗΜΛ. ſed ut ΒΜ baſis ad baſim ΕΠ ita ΑΒΓ triangulum ad triangulum ΔΕΖ: ergo & ut ΑΒΓ triangulum ad triangulum ΔΕΖ ita ſolidi ΕΘΠΟ altitudo ad altitudinem ſolidi ΒΗΜΛ. ſed ſolidi quidem ΕΘΠΟ altitudo eadem eſt cum altitudine pyramidis ΔΕΖΘ; ſolidi vero ΒΗΜΛ altitudo eadem eſt cum altitudine pyramidis ΑΒΓΗ: eſt igitur ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita pyramidis ΔΕΖΘ altitudo ad altitudinem pyramidis ΑΒΓΗ: quare pyramidum ΑΒΓΗ, ΔΕΖΘ baſes ſunt reciproce proportionales altitudinibus.





Ἀλλὰ δὴ τῶν ΑΒΓΗ, ΔΕΖΘ πυραμίδων ἀντιπεπονθέτωσαν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστω ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὸ τοῦ ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τοῦ ΑΒΓΗ πυραμίδος ὕψος· λέγω ὅτι ἴση ἐστὶν ἡ ΑΒΓΗ πυραμὶς τῇ ΔΕΖΘ πυραμίδι.

Deinde vero pyramidum ΑΒΓΗ, ΔΕΖΘ baſes ſint reciproce proportionales altitudinibus, ſitque ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita pyramidis ΔΕΖΘ altitudo ad altitudinem pyramidis ΑΒΓΗ: dico ΑΒΓΗ pyramidem pyramidi ΔΕΖΘ æqualem eſſe.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὸ τοῦ ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τοῦ ΑΒΓΗ πυραμίδος ὕψος, ἀλλ' ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν οὕτως τὸ ΒΜ παραλληλόγραμμον πρὸς τὸ ΕΠ παραλληλόγραμμον· καὶ ὡς ἄρα τὸ ΒΜ παραλληλόγραμμον πρὸς τὸ ΕΠ οὕτως τὸ τοῦ ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τοῦ ΑΒΓΗ πυραμίδος ὕψος. ἀλλὰ τὸ μὲν τοῦ ΔΕΖΘ πυραμίδος ὕψος τὸ αὐτό ἐστι τῷ ΕΘΠΟ παραλληλεπιπέδου ὕψει, τὸ δὲ τῆς ΑΒΓΗ πυραμίδος ὕψος τὸ αὐτό ἐστι τῷ

Iiſdem enim conſtructis, quoniam ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita eſt ΔΕΖΘ pyramidis altitudo ad altitudinem pyramidis ΑΒΓΗ; atque ut ΑΒΓ baſis ad baſim ΔΕΖ ita ΒΜ parallelogrammum ad parallelogrammum ΕΠ: erit & ut parallelogrammum ΒΜ ad ΕΠ parallelogrammum ita altitudo pyramidis ΔΕΖΘ ad altitudinem pyramidis ΑΒΓΗ. ſed pyramidis quidem ΔΕΖΘ altitudo eadem eſt cum altitudine ſolidi parallelepipedi ΕΘΠΟ; pyramidis vero ΑΒΓΗ altitudo eadem eſt cum

altitudine ſolidi parallelepipedi ΒΗΜΛ: eſt igitur ut ΒΜ baſis ad baſim ΕΠ ita ΕΘΠΟ ſolidi parallelepipedi altitudo ad altitudinem ſolidi parallelepipedi ΒΗΜΛ. quorum autem ſolidorum parallelepipedorum baſes ſunt reciproce proportionales altitudinibus [per 34. 11.] ea ſunt æqualia: ſolidum igitur parallelepipedum ΒΗΜΛ æquale eſt ſolido parallelepipedo ΕΘΠΟ. atque eſt ſolidi quidem ΒΗΜΛ ſexta pars pyramis ΑΒΓΗ, ſolidi vero ΕΘΠΟ itidem ſexta pars pyramis ΔΕΖΘ; ergo pyramis ΑΒΓΗ pyramidi ΔΕΖΘ eſt æqualis.





Æqualium igitur pyramidum, triangulares baſes habentium, baſes ſunt altitudinibus reciproce proportionales. & quarum pyramidum triangulares baſes habentium baſes ſunt altitudinibus reciproce proportionales, illæ ſunt inter ſe æquales. quod erat demonſtrandum.

τῦ ΒΗΜΛ παραλληλεπιπέδυ ὕψει· ἔστιν ἄρα ὡς ἡ ΒΜ πρὸς τὴν ΕΠ βάσιν ὕτως τὸ ΕΘΠΟ παραλληλεπιπέδου ὕψος πρὸς τὸ ΒΗΜΛ. ὧν δὲ στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν ἴσα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα τὸ ΒΗΜΛ στερεὸν παραλληλεπιπέδον τῷ ΕΘΠΟ στερεῷ παραλληλεπιπέδῳ. ἓξ ἐστι δὲ μιᾷ τῶν ΒΗΜΛ ἕκτον μέρος ἡ ΑΒΓΗ πυραμὶς, τοῦ δὲ ΕΘΠΟ στερεῦ παραλληλεπιπέδυ ἕκτον μέρος ἡ ΔΕΖΘ πυραμίς· ἡ ἄρα ΑΒΓΗ πυραμὶς τῇ ΔΕΖΘ πυραμίδι ἴση ἐστί.

Τῶν ἄρα ἴσων πυραμίδων αἱ τριγώνους βάσεις ἐχόντων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· αἱ δὲ ὧν πυραμίδων τριγώνους βάσεις ἐχόντων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσαι εἰσὶν ἐκεῖναι. ὅπερ ἔδει δεῖξαι.

Prop. X. Theor.

Omnis conus tertia pars eſt cylindri, qui eandem baſim habet & altitudinem æqualem.

HAbeat enim conus eandem baſim quam cylindrus, videlicet circulum ΑΒΓΔ, & altitudinem æqualem: dico conum tertiam partem eſſe cylindri, hoc eſt cylindrum coni triplum eſſe.

Si enim cylindrus non ſit triplus coni; vel major erit quam triplus, vel minor. ſit primum major quam triplus; & deſcribatur in ΑΒΓΔ circulo quadratum ΑΒΓΔ: & quadratum ΑΒΓΔ majus eſt quam dimidium ΑΒΓΔ circuli. & à quadrato ΑΒΓΔ erigatur priſma æqualtum cylindro, quod quidem priſma majus erit quam cylindri dimidium; quoniam ſi circa circulum ΑΒΓΔ quadratum deſcribatur, erit inſcriptum quadratum dimidium circumſcripti; & ſunt ab iis baſibus erecta ſolida parallelepipeda æqualta, nimirum priſmata ipſa: quare priſmata inter ſe ſunt ut baſes: & igitur priſma erectum à quadrato ΑΒΓΔ dimidium eſt priſmatis erecti à quadrato quod circa circulum ΑΒΓΔ deſcribitur; atque eſt cylindrus minor priſmate erecto à quadrato quod deſcribitur circa circulum ΑΒΓΔ: priſma igitur erectum à quadrato ΑΒΓΔ æqualtum cylindro majus eſt dimidio cylindri. ſecentur circumferentiæ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ bifariam in punctis Ε, Ζ, Η, Θ, & ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ,

Προτασις ι'.

Πᾶς κῶνος κυλίνδρου τρίτον μέρος ἐστὶ τοῦ αὐτοῦ βάσιν ἔχοντος αὐτῷ καὶ ὕψος ἴσον.

Ἐχέτω γὰρ κῶνος κυλίνδρου βάσιν τὸν αὐτὸν τὸν ΑΒΓΔ κύκλον καὶ ὕψος ἴσον· λέγω ὅτι ὁ κῶνος τοῦ κυλίνδρου τρίτον ἐστὶ μέρος, τουτέστιν ὅτι ὁ κύλινδρος τοῦ κώνου τριπλασίων ἐστί.

Εἰ γὰρ μή ἐστιν ὁ κύλινδρος τοῦ κώνου τριπλασίων, ἔσται ὁ κύλινδρος τοῦ κώνου ἢ πλείων ἢ τριπλασίων, ἢ ἐλάσσων ἢ τριπλασίων. ἔστω πρότερον μείζων ἢ τριπλασίων, καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον τὸ ΑΒΓΔ· τὸ δὴ ΑΒΓΔ τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ ΑΒΓΔ κύκλου. καὶ ἀνεστάτω ἀπὸ τοῦ ΑΒΓΔ τετραγώνου πρίσμα ἰσοῦψὲς τῷ κυλίνδρῳ, τὸ δὴ ἀνεσταμμένον πρίσμα μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ κυλίνδρου, ἐπειδήπερ καὶ ὡσὶ τὸν ΑΒΓΔ κύκλον τετράγωνον περιγράψωμεν, τὸ ἐγγεγραμμένον εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον ἥμισύ ἐστι τοῦ περιγεγραμμένου, καὶ ἐστι τὰ ἀπ' αὐτῶν ἀνιστάμενα ἰσοῦψῆ στερεὰ παραλληλεπίπεδα πρίσματα· τὰ ἄρα πρίσματα ἐστὶν ὡς αἱ βάσεις· καὶ τὸ μὲν τοῦ ΑΒΓΔ ἄρα κύκλου ἀνασταθὲν πρίσμα ἥμισύ ἐστι τοῦ ἀνασταθέντος πρίσματος ἀπὸ τοῦ περὶ τὸν ΑΒΓΔ κύκλον περιγραφέντος τετραγώνου, καὶ ἔστιν ὁ κύλινδρος ἐλάττων τοῦ πρίσματος τοῦ ἀνασταθέντος ἀπὸ τοῦ περὶ τὸν ΑΒΓΔ κύκλον περιγραφέντος τετραγώνου· τὸ ἄρα πρίσμα τὸ ἀνασταθὲν ἀπὸ τοῦ ΑΒΓΔ τετραγώνου ἰσοῦψὲς τῷ κυλίνδρῳ μεῖζόν ἐστι τοῦ ἡμίσεως τοῦ κυλίνδρου. τετμήσθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ περιφέρειαι δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ,

ΘΑ· καὶ ἑκάστου ἄρα τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ, τετραγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ ΑΒΓΔ κύκλου, ὡς ἔμπροσθεν ἐδείκνυμεν. ἀνεστάτω ἐφ' ἑκάστου τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τετραγώνων στερεὸν παραλληλεπίπεδον ἰσοῦψὲς τῷ κυλίνδρῳ· καὶ ἑκάστου ἄρα τῶν ἀναστάντων πρισμάτων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ μέρος τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κυλίνδρου, ἐπιπερ ἐὰν διὰ τῶν Ε, Ζ, Η, Θ σημείων παράλληλοι τῇσιν ΑΒ, ΒΓ, ΓΔ, ΔΑ ἀχθῶσιν, καὶ συμπληρώσωμεν τὰ ἐπὶ τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΑ παραλληλόγραμμα, καὶ ἐπ' αὐτῶν ἀναστήσωμεν στερεὰ παραλληλεπίπεδα ἰσοῦψῆ τῷ κυλίνδρῳ, ἑκάστου τῶν ἀναστάντων ἡμίσειά ἐστι τὰ στερεὰ τὰ ἐπὶ τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τετραγώνων. καὶ ἔστι τὰ τοῦ κυλίνδρου ἀποτμήματα ἐλάττονα τῶν ἀναστάντων στερεῶν παραλληλεπιπέδων· ὥστε καὶ τὰ ἐπὶ τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τριγώνων στερεὰ μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῶν καθ' ἑαυτὰ τοῦ κυλίνδρου τμημάτων· τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα, καὶ διὰ τῶν γινομένων εὐθείας, καὶ ἀνιστάντες ἐφ' ἑκάστου τῶν τριγώνων στερεὰ ἰσοῦψῆ τῷ κυλίνδρῳ, καὶ τοῦτο ἀεὶ ποιοῦντες, καταλείψομέν τινα ἀποτμήματα τοῦ κυλίνδρου, ἃ ἔσται ἐλάττονα τῆς ὑπεροχῆς, ἣ ὑπερέχει ὁ κύλινδρος τοῦ τριπλασίου τοῦ κώνου. λελείφθω, καὶ ἔστω τὰ ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ· λοιπὸν ἄρα τὸ στερεόν, οὗ βάσις μὲν τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μεῖζόν ἐστιν ἢ τριπλάσιον τοῦ κώνου. ἀλλὰ τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, τριπλάσιόν ἐστι τῆς πυραμίδος, ἧς βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον κορυφὴ δὲ ἡ αὐτὴ τῷ κώνῳ· καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον κορυφὴ δὲ ἡ αὐτὴ τῷ κώνῳ, μείζων ἐστὶ τοῦ κώνου, τὴν βάσιν ἔχοντος τὸν ΑΒΓΔ κύκλον. ἀλλὰ καὶ ἐλάττων, ἐμπεριέχεται γὰρ ὑπ' αὐτοῦ, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἔσται ὁ κύλινδρος τοῦ κώνου μείζων ἢ τριπλασίων. Λέγω δὴ ὅτι οὐδὲ ἐλάττων ἢ τριπλάσιός ἐστιν ὁ κύλινδρος τοῦ κώνου. εἰ γὰρ δυνατόν, ἔστω ἐλάττων ἢ τριπλάσιος ὁ κύλινδρος τοῦ κώνου· ἀνάπαλιν ἄρα ὁ κῶνος τοῦ κυλίνδρου μείζων ἐστὶν ἢ τρίτον μέρος. ἐγγεγράφθω δὴ εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον τὸ ΑΒΓΔ· τὸ ΑΒΓΔ ἄρα τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ ΑΒΓΔ κύκλου. καὶ ἀνεστάτω ἀπὸ τοῦ ΑΒΓΔ τετραγώνου πυραμὶς, τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ· ἡ ἄρα ἀναστᾶσα πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ μέρος τοῦ κώνου, ἐπιπερ ὡς ἔμπροσθεν ἐδείκνυμεν, ὅτι ἐὰν διὰ τῶν κύκλων στερεὸν παραλληλεπίπεδον ἀναστήσωμεν ἰσοῦψῆ τῷ κώνῳ, ἃ καλεῖται πρίσματα, ἔσται τὸ ἀναστὰν ἀπὸ τοῦ ΑΒΓΔ



ΘΑ jungantur. unumquodque igitur triangulorum ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ majus eſt dimidio ſegmenti circuli ΑΒΓΔ, in quo conſiſtit, ut ſuperius [ad 2. 12.] oſtendimus. erigantur ab unoquoque triangulorum ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ priſmata æqualta cylindro: ergo & unumquodque erectorum priſmatum majus eſt dimidio reſpectivi ſegmenti cylindri, quoniam ſi per puncta Ε, Ζ, Η, Θ parallelæ ipſis ΑΒ, ΒΓ, ΓΔ, ΔΑ ducantur, & compleantur ad ipſas ΑΒ, ΒΓ, ΓΔ, ΔΑ parallelogramma, à quibus ſolida parallelepipeda cylindro æqualta erigantur: erunt uniuſcujuſque erectorum dimidia priſmata ea quæ ſunt in triangulis ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ. & ſunt cylindri ſegmenta erectis ſolidis parallelepipedis minora; ergo & priſmata quæ in triangulis ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ majora ſunt dimidio reſpectivorum ſegmentorum cylindri. itaque reliquas circumferentias ſecantes bifariam, jungenteſque rectas lineas, & ab unoquoque triangulorum erigentes priſmata æqualta cylindro, & hoc ſemper facientes donec tandem [per 1. 10.] relinquantur quædam ſegmenta cylindri quæ ſint minora exceſſu, quo cylindrus ſuperat triplum ipſius coni. reliquantur jam, & ſint ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ: reliquum igitur priſma, cujus baſis quidem eſt polygonum ΑΕΒΖΓΗΔΘ altitudo autem eadem quæ cylindri, majus eſt quam triplum coni. ſed [per cor. 7. 12.] priſma, cujus baſis ΑΕΒΖΓΗΔΘ polygonum & altitudo eadem quæ cylindri, triplum eſt pyramidis, cujus baſis polygonum ΑΕΒΖΓΗΔΘ vertex autem idem qui coni: & igitur pyramis, cujus baſis polygonum ΑΕΒΖΓΗΔΘ vertex autem idem qui coni, major eſt cono qui baſim habet ΑΒΓΔ circulum, ſed & minor, ab ipſo enim comprehenditur, quod fieri non poteſt: non igitur cylindrus major erit quam triplus coni. Dico inſuper neque cylindrum minorem eſſe quam triplum coni. ſi enim fieri poteſt, ſit cylindrus minor quam triplus coni: erit igitur invertendo conus major quam tertia pars cylindri. deſcribatur in ΑΒΓΔ circulo quadratum ΑΒΓΔ; ergo quadratum ΑΒΓΔ majus eſt quam dimidium circuli ΑΒΓΔ. & à quadrato ΑΒΓΔ erigatur pyramis, verticem habens eundem quem conus: pyramis igitur erecta major eſt quam coni dimidium; quoniam, ut ante demonſtravimus, ſi circa circulum quadratum deſcribatur, erit quadratum ΑΒΓΔ dimidium ejus, quod circa circulum deſcriptum eſt. & ſi à quadratis erigantur ſolida parallelepipeda æqualta cono, quæ & priſmata appellantur; erit quod à quadrato ΑΒΓΔ

erigitur dimidium ejus quod erectum eſt à quadrato circa circulum deſcripto, etenim [per 32. 11.] inter ſe ſunt ut baſes: quare etiam tertiæ partes ipſarum; pyramis igitur, cujus baſis quadratum ΑΒΓΔ, dimidia eſt ejus pyramidis quæ à quadrato circa circulum deſcripto erigitur. ſed pyramis erecta à quadrato deſcripto circa circulum major eſt cono, ipſum namque comprehendit: ergo pyramis, cujus baſis ΑΒΓΔ quadratum vertex autem idem qui coni, major eſt quam coni dimidium. ſecentur circumferentiæ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ bifariam in punctis Ε, Ζ, Η, Θ, & jungantur ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ; & unumquodque igitur triangulorum ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ majus eſt quam dimidium reſpectivi ſegmenti circuli ΑΒΓΔ: erigantur ab unoquoque triangulorum ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ pyramides verticem habentes eundem quem conus; ergo & unaquæque pyramidum ſic erectarum major eſt quam dimidium reſpectivi ſegmenti coni. itaque reliquas circumferentias ſecantes bifariam, jungenteſque rectas lineas, & ab unoquoque triangulorum erigentes pyramidem verticem habentem eundem quem conus, & hoc ſemper facientes, relinquemus tandem [per 1.10.] quaſdam coni portiones quæ minores erunt exceſſu, quo conus tertiam cylindri partem ſuperat. relinquantur, & ſint quæ in ipſis ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ: reliqua igitur pyramis, cujus baſis polygonum ΑΕΒΖΓΗΔΘ & vertex idem qui coni, major eſt quam tertia cylindri pars. ſed [per cor. 7.12.] pyramis, cujus baſis polygonum ΑΕΒΖΓΗΔΘ vertex autem idem qui coni, tertia pars eſt priſmatis, cujus baſis polygonum ΑΕΒΖΓΗΔΘ altitudo autem eadem quæ cylindri: priſma igitur, cujus baſis ΑΕΒΖΓΗΔΘ polygonum & altitudo eadem quæ cylindri, majus eſt cylindro cujus baſis eſt circulus ΑΒΓΔ. ſed & minus; ab ipſo enim comprehenditur, quod fieri non poteſt: non igitur cylindrus minor eſt quam triplus coni. oſtenſum autem eſt neque majorem eſſe quam triplum: ergo cylindrus coni triplus eſt; ac propterea conus tertia pars cylindri.



Omnis igitur conus eſt tertia pars cylindri eandem quam ipſe baſim habentis & altitudinem æqualem. quod erat demonſtrandum.

Prop. XI. Theor.

Coni & cylindri, qui eandem habent altitudinem, inter ſe ſunt ut baſes.

Sint in eadem altitudine coni & cylindri, quorum baſes circuli ΑΒΓΔ, ΕΖΗΘ, axes

πτεραγώνε ἥμισυ τῦ ἀναγραφέντος ἀπὸ τῦ περὶ τὸ κύκλον περιγραφέντος τετραγώνε, πρὸς ἄλληλά εἰσιν ὡς αἱ βάσεις· ὥστε καὶ τὰ τέτε· καὶ πυραμὶς ἄρα, ἧς βάσις τὸ ΑΒΓΔ τετράγωνον, ἥμισύ ἐστι τῆ πυραμίδος τῆ ἀναγραφείσης ἀπὸ τῦ περὶ τὸ κύκλον περιγραφέντος τετραγώνε. καὶ ἔστι μείζων ἡ πυραμὶς ἡ ἀναγραφεῖσα ἀπὸ τῦ περὶ τὸ κύκλον τετραγώνε τῦ κώνε, ἐμπεριέχει γὰρ αὐτόν· ἡ ἄρα πυραμὶς, ἧς βάσις τὸ ΑΒΓΔ τετράγωνον, κορυφὴ δὲ ἡ αὐτὴ τῷ κώνῳ, μείζων ἐστὶν ἢ τὸ ἥμισυ τῦ κώνε. τετμήθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ περιφέρειαι δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ· ἕκαστον ἄρα τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ μέρος τῦ καθ' ἑαυτὸ τμήματος τῦ ΑΒΓΔ κύκλε. ἀνεστάτωσαν ἀφ' ἑκάστε τῶν ΑΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τριγώνων πυραμίδες, τὴν αὐτὴν κορυφὴν ἐχέσας τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀναγραφεισῶν πυραμίδων κατὰ τὸν αὐτὸν τρόπον μείζων ἐστὶν ἢ τὸ ἥμισυ τῦ καθ' ἑαυτὴν τμήματος τῦ κώνου. τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα, καὶ ἐπιζευγνύντες εὐθείας, καὶ ἀνιστάντες ἐφ' ἑκάστε τῶν τριγώνων πυραμίδα τὴν αὐτὴν κορυφὴν ἔχέσαν τῷ κώνῳ, καὶ τῦτο ἀεὶ ποιῦντες καταλείψομέν τινα τμήματα τῦ κώνε, ἃ ἔσται ἐλάττονα τῆ ὑπεροχῆς, ἣ ὑπερέχει ὁ κῶνος τῦ τρίτε μέρες τῦ κυλίνδρε. λελείφθω, καὶ ἔστω τὰ ἐπὶ τῶν ΑΕ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ· λοιπὴ ἄρα ἡ πυραμὶς, ἧς βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον κορυφὴ δὲ ἡ αὐτὴ τῷ κώνῳ, μείζων ἐστὶν ἢ τρίτον μέρος τῦ κυλίνδρε. ἀλλ' ἡ πυραμὶς, ἧς βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον κορυφὴ δὲ ἡ αὐτὴ τῷ κώνῳ, τρίτον μέρος ἐστὶ τῦ πρίσματος, ἧ βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ· τὸ ἄρα πρίσμα, ἧ βάσις μέν ἐστι τὸ ΑΕΒΖΓΗΔΘ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μεῖζόν ἐστι τῦ κυλίνδρε, ἧ βάσις ἐστὶν ὁ ΑΒΓΔ κύκλος· ἀλλὰ ἔλαττον, ἐμπεριέχεται γὰρ ὑπ' αὐτῦ, ὅπερ ἀδύνατον· οὐκ ἄρα ὁ κύλινδρος τῦ κώνε ἐλάττων ἐστὶν ἢ τριπλάσιος. δεδείχθη δὲ ὅτι οὐδὲ μείζων ἢ τριπλάσιος· τριπλάσιος ἄρα ὁ κύλινδρος τῦ κώνε· ὥστε ὁ κῶνος τρίτον μέρος ἐστὶ τῦ κυλίνδρε.

Πᾶς ἄρα κῶνος κυλίνδρε τρίτον μέρος ἐστὶ τῦ τὴν αὐτὴν βάσιν ἔχοντος αὐτῷ καὶ ὕψος ἴσον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ια'.

Οἱ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλυς εἰσὶν ὡς αἱ βάσεις.

Ἐστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος κῶνοι καὶ κύλινδροι, ὧν βάσεις μέν εἰσιν οἱ ΑΒΓΔ, ΕΖΗΘ κύκλοι, ἄξονες

ἄξονες δὲ οἱ ΚΛ, ΜΝ, διάμετροι δὲ τῶν βάσεων αἱ ΑΓ, ΕΗ· λέγω ὅτι ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸν ΕΝ.

Εἰ γὰρ μή, ἔστω ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως ὁ ΑΛ κῶνος ἢ πρὸς ἔλασσόν τι τοῦ ΕΝ κώνου στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλασσον τὸ Ξ, καὶ ᾧ ἔλασσόν ἐστι τὸ Ξ στερεὸν τοῦ ΕΝ κώνου ἴσον ἔστω τὸ Ψ στερεόν· ὁ ΕΝ κῶνος ἄρα ἴσος ἐστὶ τοῖς Ξ, Ψ στερεοῖς. ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ· τὸ ἄρα τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ κύκλου. ἀνεστάτω ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοῦψὴς τῷ κώνῳ· ἡ ἄρα ἀναστᾶσα πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ κώνου· ἐπεὶ διήχθω ἐὰν περιγράψωμεν περὶ τὸν κύκλον τετράγωνον, καὶ ἀπ' αὐτοῦ ἀναστήσωμεν πυραμίδα ἰσοῦψῆ τῷ κώνῳ, ἡ ἐγγραφεῖσα πυραμὶς ἥμισύ ἐστι τῆς περιγραφείσης, πρὸς ἀλλήλας γάρ εἰσιν ὡς αἱ βάσεις. ἐλάσσων δὲ ὁ κῶνος τῆς περιγραφείσης πυραμίδος· ἡ ἄρα πυραμὶς, ἧς βάσις τὸ ΕΖΗΘ τετράγωνον κορυφὴ δὲ ἡ αὐτὴ τῷ κώνῳ, μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήθωσαν αἱ ΕΖ, ΖΗ, ΗΘ, ΘΕ περιφέρειαι δίχα κατὰ τὰ Ο, Π, Ρ, Σ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΘΟ, ΟΕ, ΕΠ, ΠΖ, ΖΡ, ΡΗ, ΗΣ, ΣΘ· ἕκαστον ἄρα τῶν ΘΟΕ, ΕΠΖ, ΖΡΗ, ΗΣΘ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου. ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΘΟΕ, ΕΠΖ, ΖΡΗ, ΗΣΘ τριγώνων πυραμὶς ἰσοῦψὴς τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀναστάντων πυραμίδων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ μέρος τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κώνου· τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα, καὶ διὰ τῶν διαιρέσεων εὐθείας, καὶ ἀνιστάντες ἐπὶ ἑκάστου τῶν τριγώνων πυραμίδας ἰσοῦψεῖς τῷ κώνῳ, καὶ τοῦτο ἀεὶ ποιοῦντες, καταλείψομέν τινα ἀποτμήματα τοῦ κώνου, ἃ ἔσται ἐλάσσονα τοῦ Ψ στερεοῦ. λελείφθω, καὶ ἔστω τὰ ἐπὶ τῶν ΘΟ, ΟΕ, ΕΠ, ΠΖ, ΖΡ, ΡΗ, ΗΣ, ΣΘ· λοιπὴ ἄρα ἡ πυραμὶς, ἧς βάσις τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μείζων ἐστὶ τοῦ Ξ στερεοῦ. ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΘΟΕΠΖΡΗΣ πολυγώνῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον πολύγωνον τὸ ΔΤΑΥΒΦΓΧ, καὶ ἀνεστάτω ἐπ' αὐτῷ πυραμὶς ἰσοῦψὴς τῷ ΑΛ κώνῳ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ἀπὸ τῆς ΕΗ οὕτως τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον, ὡς



autem ΚΛ, ΜΝ, & diametri baſium ΑΓ, ΕΗ: dico ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita eſſe conum ΑΛ ad ΕΝ conum.

Si enim non ita ſit; erit ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita conus ΑΛ vel ad aliquod ſolidum minus cono ΕΝ vel ad majus. ſit primo ad minus quod ſit Ξ, & quo minus eſt ſolidum Ξ cono ΕΝ ei æquale ſit Ψ ſolidum: conus igitur ΕΝ ipſis ſolidis Ξ, Ψ eſt æqualis. deſcribatur in ΕΖΗΘ circulo quadratum ΕΖΗΘ: ergo iſtud quadratum majus eſt quam dimidium circuli. erigatur à quadrato ΕΖΗΘ pyramis æquealta cono: pyramis igitur erecta major eſt quam coni dimidium: nam ſi circa circulum quadratum deſcribamus, & ab ipſo erigamus pyramidem æquealtam cono; erit inſcripta pyramis circumſcriptæ pyramidis dimidia; etenim [per 6. 12.] inter ſe ſunt ut baſes. conus autem circumſcripta pyramide eſt minor: ergo pyramis, cujus baſis quadratum ΕΖΗΘ vertex autem idem qui coni, major eſt quam coni dimidium. ſecentur circumferentiæ ΕΖ, ΖΗ, ΗΘ, ΘΕ bifariam in punctis Ο, Π, Ρ, Σ; & ΘΟ, ΟΕ, ΕΠ, ΠΖ, ΖΡ, ΡΗ, ΗΣ, ΣΘ jungantur: unumquodque igitur triangulorum ΘΟΕ, ΕΠΖ, ΖΡΗ, ΗΣΘ majus eſt quam dimidium reſpectivi ſegmenti circuli. erigatur ab unoquoque triangulorum ΘΟΕ, ΕΠΖ, ΖΡΗ, ΗΣΘ pyramis æquealta cono: ergo & unaquæque erectarum pyramidum major eſt quam dimidium reſpectivi ſegmenti coni: itaque reliquas circumferentias ſecantes bifariam, & jungentes rectas lineas, & ab unoquoque triangulorum erigentes pyramides æquealtas cono, atque hoc ſemper facientes, relinquemus tandem [per 1. 10.] aliqua ſegmenta coni quæ ſolido Ψ minora erunt. relinquantur, & ſint quæ in ipſis ΘΟ, ΟΕ, ΕΠ, ΠΖ, ΖΡ, ΡΗ, ΗΣ, ΣΘ: reliqua igitur pyramis, cujus baſis polygonum ΘΟΕΠΖΡΗΣ altitudo autem eadem quæ coni, major eſt ſolido Ξ. deſcribatur in circulo ΑΒΓΔ polygono ΘΟΕΠΖΡΗΣ ſimile & ſimiliter poſitum polygonum ΔΤΑΥΒΦΓΧ, & ab ipſo erigatur pyramis æquealta cono ΑΛ. quoniam igitur eſt [per 20. 6. & 1. 12.] ut quadratum ex ΑΓ ad quadratum ex ΕΗ ita ΔΤΑΥΒΦΓΧ polygonum ad polygonum ΘΟΕΠΖΡΗΣ; ut

autem quadratum ex ΑΓ ad quadratum ex ΕΗ ita [per 2. 12.] ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ: erit [per 11. 5.] ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita polygonum ΔΤΑΥΒΦΓΧ ad polygonum ΘΟΕΠΖΡΗΣ. ſed [per conſtr.] ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita conus ΑΛ ad Ξ ſolidum; & [per 6. 12.] ut polygonum ΔΤΑΥΒΦΓΧ ad polygonum ΘΟΕΠΖΡΗΣ ita pyramis, cujus baſis ΔΤΑΥΒΦΓΧ polygonum vertex autem punctum Λ, ad pyramidem, cujus baſis polygonum ΘΟΕΠΖΡΗΣ & vertex punctum Ν: ut igitur conus ΑΛ ad Ξ ſolidum ita pyramis, cujus baſis polygonum ΔΤΑΥΒΦΓΧ & vertex punctum Λ, ad pyramidem, cujus baſis polygonum ΘΟΕΠΖΡΗΣ & vertex Ν punctum: quare permutando, ut conus ΑΛ ad pyramidem quæ in ipſo eſt ita ſolidum Ξ ad pyramidem quæ eſt in cono ΕΝ. conus autem ΑΛ major eſt pyramide quæ eſt in ipſo: majus igitur eſt ſolidum Ξ pyramide quæ in cono ΕΝ. ſed & minus, quod eſt abſurdum: non igitur ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita eſt ΑΛ conus ad ſolidum aliquod minus cono ΕΝ. ſimiliter demonſtrabitur, neque ut ΕΖΗΘ circulus ad circulum ΑΒΓΔ ita eſſe conum ΕΝ ad aliquod ſolidum minus cono ΑΛ. Dico præterea neque eſſe ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita ΑΛ conum ad aliquod ſolidum majus cono ΕΝ. ſi enim fieri poteſt, ſit ad ſolidum majus, quod ſit Ξ: ergo invertendo, ut ΕΖΗΘ circulus ad circulum ΑΒΓΔ ita erit ſolidum Ξ ad ΑΛ conum. ſed ut ſolidum Ξ ad ΑΛ conum ita conus ΕΝ ad aliquod ſolidum minus cono ΑΛ; & igitur ut ΕΖΗΘ circulus ad circulum ΑΒΓΔ ita conus ΕΝ ad aliquod ſolidum minus cono ΑΛ, quod fieri non poſſe oſtenſum eſt: non igitur ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita conus ΑΛ ad aliquod ſolidum majus cono ΕΝ. oſtenſum autem eſt neque eſſe ad minus: ergo ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita eſt conus ΑΛ ad ΕΝ conum. Sed ut conus ad conum ita eſt cylindrus ad cylindrum, eſt enim [per 10. 12.] alter alterius triplus: & igitur ut ΑΒΓΔ circulus ad circulum ΕΖΗΘ ita in ipſis cylindri æqualti conis.



Ergo coni & cylindri, qui eandem habent

ἢ τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ἀπὸ τῆς ΕΗ οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως τὸ ΔΤΑΥΒΦΓΘ πολύγωνον πρὸς τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον. ὡς δὲ ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ στερεόν, ὡς δὲ τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον οὕτως ἡ πυραμὶς, ἧς βάσις μὲν τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον, πρὸς τὴν πυραμίδα, ἧς βάσις μὲν τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον κορυφὴ δὲ τὸ Ν σημεῖον· καὶ ὡς ἄρα ἡ ΑΛ κῶνος πρὸς τὸ Ξ στερεὸν οὕτως ἡ πυραμὶς, ἧς βάσις μὲν τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τινὰ πυραμίδα, ἧς βάσις μὲν τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον κορυφὴ δὲ τὸ Ν σημεῖον· ἀναλλὰξ ἄρα ἐστὶν ὡς ὁ ΑΛ κῶνος πρὸς τινὰ ἐν αὐτῇ πυραμίδα οὕτως τὸ Ξ στερεὸν πρὸς τὸν ἐν τῷ ΕΝ κώνῳ πυραμίδα. μείζων δὲ ὁ ΑΛ κῶνος τοῦ ἐν αὐτῇ πυραμίδος· μεῖζον ἄρα καὶ τὸ Ξ στερεὸν τοῦ ἐν τῷ ΕΝ κώνῳ πυραμίδος. ἀλλὰ καὶ ἔλαττον, ὅπερ ἄτοπον· οὐκ ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως ὁ ΑΛ κῶνος πρός τινα ἔλαττόν τι τοῦ ΕΝ κώνου στερεόν. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον οὕτως ὁ ΕΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΛ κώνου στερεόν. λέγω δὴ ὅτι οὐδέ ἐστιν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως ὁ ΑΛ κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΝ κώνου στερεόν. εἰ γὰρ δυνατὸν, ἔστω πρὸς μεῖζον τὸ Ξ· ἀνάπαλιν ἄρα ἐστὶν ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον οὕτως τὸ Ξ στερεὸν πρὸς τὸν ΑΛ κῶνον. ἀλλ' ὡς τὸ Ξ στερεὸν πρὸς τὸν ΑΛ κῶνον οὕτως ὁ ΕΝ κῶνος πρός ἔλαττόν τι τοῦ ΑΛ κώνου στερεόν· καὶ ὡς ἄρα ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον οὕτως ὁ ΕΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΛ κώνου στερεόν, ὅπερ ἐδείχθη ἀδύνατον· οὐκ ἄρα ἐστὶν ὡς ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως ὁ ΑΛ κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΝ κώνου στερεόν. ἐδείχθη δὲ ὅτι οὐδὲ πρὸς ἔλασσον· ἔστιν ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸν ΕΝ κῶνον. Αλλ' ὡς ὁ κῶνος πρὸς τὸν κῶνον οὕτως ὁ κύλινδρος πρὸς τὸν κύλινδρον, τριπλασίων γὰρ ἑκάτερος ἑκατέρου· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον οὕτως οἱ ἐπ' αὐτῶν ἰσοϋψεῖς τοῖς κώνοις κύλινδροι.

Οἱ ἄρα ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδρο

δροι πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ὅπερ ἔδει δεῖξαι.

altitudinem, inter se sunt ut bases. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Οἱ ὅμοιοι κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ἐν ταῖς βάσεσι διαμέτρων.

PROP. XII. THEOR.

Similes coni & cylindri inter se sunt in triplicata ratione diametrorum basium.

Ἐστωσαν ὅμοιοι κῶνοι καὶ κύλινδροι, ὧν βάσεις μὲν οἱ ΑΒΓΔ, ΕΖΗΘ κύκλοι, διάμετροι δὲ τῶν βάσεων αἱ ΒΔ, ΖΘ, ἄξονες δὲ τῶν κώνων ἢ κυλίνδρων οἱ ΚΛ, ΜΝ· λέγω ὅτι ὁ κῶνος, οὗ βάσις μὲν ὁ ΑΒΓΔ κύκλος κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὸν κῶνον, οὗ βάσις μὲν ὁ ΕΖΗΘ κύκλος κορυφὴ δὲ τὸ Ν σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ.

Sint similes coni & cylindri, quorum bases quidem circuli ΑΒΓΔ, ΕΖΗΘ, diametri vero basium ΒΔ, ΖΘ, & axes conorum vel cylindrorum ΚΛ, ΜΝ: dico conum, cujus basis ΑΒΓΔ circulus vertex autem punctum Λ, ad conum, cujus basis circulus ΕΖΗΘ vertex autem Λ punctum, triplicatam habere rationem ejus quam habet ΒΔ ad ΖΘ.





Εἰ γὰρ μὴ ἔχει ὁ ΑΒΓΔΛ κῶνος πρὸς τὸν ΕΖΗΘΝ κῶνον τριπλασίονα λόγον ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ, ἕξει ὁ ΑΒΓΔΛ κῶνος ἢ πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘΝ κώνου στερεὸν τριπλασίονα λόγον, ἢ πρὸς μεῖζον. ἐχέτω πρὸς ἔλαττον πρότερον τὸ Ξ, καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ· τὸ ἄρα ΕΖΗΘ τετράγωνον μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ ΕΖΗΘ κύκλου. καὶ ἀνεσταθω ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοῦψὴς τῷ κώνῳ· ἡ ἄρα ἀναστᾶσα πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ μέρος τοῦ κώνου. τετμήθωσαν δὴ αἱ ΕΖ, ΖΗ, ΗΘ, ΘΕ περιφέρειαι δίχα κατὰ τὰ Ο, Π, Ρ, Σ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΟ, ΟΖ, ΖΠ, ΠΗ, ΗΡ, ΡΘ, ΘΣ, ΣΕ· καὶ ἑκάτερον ἄρα τῶν ΕΟΖ, ΖΠΗ, ΗΡΘ, ΘΣΕ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ μέρος τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ ΕΖΗΘ κύκλου. καὶ ἀνεσταθω ἐφ' ἑκάστου τῶν ΕΟΖ, ΖΠΗ, ΗΡΘ, ΘΣΕ τριγώνων πυραμὶς τὴν αὐτὴν κορυφὴν ἔχουσα τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀναστα θεισῶν πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ καθ' ἑαυτὴν τμήματος τοῦ κώνου. τέμνοντες δὴ τὰς ὑπολειπομένας περιφερείας δίχα, καὶ διὰ τῶν διαιρέσεων εὐθείας, καὶ ἀνιστάντες ἐφ' ἑκάστου τῶν τριγώνων πυραμίδας, τὴν αὐτὴν κορυφὴν ἐχούσας τῷ κώνῳ, καὶ τοῦτο ἀεὶ ποιοῦντες, καταλείψομέν τινα ἀποτμήματα τοῦ κώνου, ἃ ἔσται ἐλάττονα τῆς ὑπεροχῆς, ἣ ὑπερέχει ὁ ΕΖΗΘΝ κῶνος τοῦ Ξ στερεοῦ. λελείφθω, καὶ ἔστω τὰ ἐπὶ

ra ad ſolidum polyedrum quod eſt in ſphæra ΔΕΖ. major autem eſt ſphæra ΑΒΓ ſolido polyedro quod eſt in ipſa: ergo & ΗΘΚ ſphæra major eſt polyedro quod in ſphæra ΔΕΖ. ſed & minor, ab ipſo enim comprehenditur; quod fieri non poteſt: non igitur ΑΒΓ ſphæra ad ſphæram minorem ipſa ΔΕΖ triplicatam rationem habet ejus quam ΒΓ habet ad ΕΖ. ſimiliter oſtendemus neque ΔΕΖ ſphæram ad ſphæram minorem ipſa ΑΒΓ triplicatam habere rationem ejus quam habet ΕΖ ad ΒΓ. Dico inſuper ſphæram ΑΒΗ neque ad majorem ſphæram ipſa ΔΕΖ triplicatam rationem habere ejus quam ΒΓ habet ad ΕΖ. ſi enim fieri poteſt, habeat ad majorem ΛΜΝ: invertendo igitur ſphæra ΛΜΝ ad ΑΒΓ ſphæram triplicatam rationem habet ejus quam diameter ΕΖ habet ad ΒΓ diametrum. ut autem ſphæra ΛΜΝ ad ΑΒΓ ſphæram ita ſphæra ΔΕΖ ad ſphæram quandam minorem ipſa ΑΒΓ, ut ante demonſtravimus, quoniam ſphæra ΛΜΝ major eſt ipſa ΔΕΖ: ergo & ΔΕΖ ſphæra ad ſphæram minorem ipſa ΑΒΓ triplicatam rationem habet ejus quam ΕΖ habet ad ΒΓ, quod fieri non poſſe oſtenſum eſt; non igitur ΑΒΓ ſphæra ad ſphæram majorem ipſa ΔΕΖ triplicatam rationem habet ejus quam ΒΓ habet ad ΕΖ. oſtenſum autem eſt neque ad minorem: ergo ΑΒΓ ſphæra ad ſphæram ΔΕΖ triplicatam rationem habebit ejus quam ΒΓ habet ad ΕΖ. quod erat demonſtrandum.

ΕΥΚΛΕΙΔΟΥ
ΣΤΟΙΧΕΙΩΝ
ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ,
Καὶ Στερεῶν τρίτον.

EUCLIDIS
ELEMENTORUM
LIBER DECIMUS TERTIUS,
Et Solidorum tertius.

PROP. I. THEOR.

Si recta linea extrema ac media ratione secta fuerit, major portio assumens dimidiam totius quintuplum potest ejus quod à dimidia totius fit quadrati.

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, τὸ μεῖζον τμῆμα τετραπλάσιον τοῦ ἡμίσεως τῆς ὅλης πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τῆς ὅλης.

RECTA enim linea AB extrema ac media ratione secetur in puncto Γ; & sit AΓ major portio; atque producatur in directum ipsi AΓ recta linea AΔ, & ponatur AΔ ipsius AB dimidia: dico quadratum ex ΓΔ quadrati ΔA quintuplum esse.

Describantur enim ex AB, ΔΓ quadrata AE, ΔZ, deinde in ΔZ describatur figura, & ZΓ ad H producatur. itaque quoniam AB extrema ac media ratione secatur in Γ; [per 3. def. & 17. 6.] quod sub AB, BΓ continetur æquale erit quadrato ex AΓ. verum rectangulum quidem ΓE est quod continetur sub AB, BΓ; quadratum vero ex AΓ est ZΘ: ergo rectangulum ΓE quadrato ZΘ est æquale. quoniam vero BA dupla est ipsius AΔ, æqualis autem BA ipsi KA, & AΔ ipsi AΘ; erit & KA ipsius AΘ dupla. ut autem KA ad AΘ ita est [per 1. 6.] rectangulum KΓ ad ipsum ΓΘ: duplum igitur est KΓ rectangulum rectanguli ΓΘ. sunt autem [per 43. 1.] rectangula ΛΘ, ΘΓ ipsius ΓΘ dupla: ergo rectangulum KΓ rectangulis ΛΘ, ΘΓ est æquale. ostensum autem est & rectangulum ΓΛ æquale quadrato ZΘ: totum igitur AE quadrato-



Ἔστω γὰρ εὐθεῖα γραμμὴ ἡ AB ἄκρον καὶ μέσον λόγον τετμημένη κατὰ τὸ Γ σημεῖον, καὶ ἔστω μεῖζον τμῆμα τὸ AΓ, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας τῇ AΓ εὐθεῖα ἡ AΔ, καὶ κείσθω τῇ AB ἡμίσεια ἡ AΔ· λέγω ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔA.

Ἀναγεγράφθωσαν γὰρ ἀπὸ τῶν AB, ΔΓ τετράγωνα τὰ AE, ΔZ, καὶ καταγεγράφθω ἐν τῷ ΔZ τὸ σχῆμα, καὶ διήχθω ἡ ZΓ ἐπὶ τὸ H. ἐπεὶ οὖν ἡ AB ἄκρον καὶ μέσον λόγον τετμημένη κατὰ τὸ Γ· τὸ ἄρα ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ. καί ἐστι τὸ μὲν ὑπὸ τῶν AB, BΓ τὸ ΓE, τὸ δὲ ἀπὸ τῆς AΓ τὸ ZΘ· ἴσον ἄρα τὸ ΓE τῷ ZΘ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ BA τῆς AΔ, ἴση δὲ ἡ μὲν BA τῇ KA, ἡ δὲ AΔ τῇ AΘ· διπλῆ ἄρα καὶ ἡ KA τῆς AΘ. ὡς δὲ ἡ KA πρὸς τὴν AΘ οὕτως τὸ KΓ πρὸς τὸ ΓΘ· διπλάσιον ἄρα τὸ KΓ. ἴσοι δὲ καὶ οἱ ΛΘ, ΘΓ διπλάσιοι ἑκατέρου τοῦ ΓΘ· ἴσον ἄρα τὸ KΓ τοῖς ΛΘ, ΘΓ. ἐδείχθη δὲ καὶ τὸ ΓE τῷ ZΘ ἴσον· ὅλον ἄρα τὸ AE

τετρά-

τετράγωνον ἴσον ἐστὶ τῷ ΜΝΞ γνώμονι. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΒΑ τῆς ΑΔ, τετραπλάσιον ἐστι τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς ΑΔ, τουτέστι τὸ ΑΕ τοῦ ΔΘ. ἴσον δὲ τὸ ΑΕ τῷ ΜΝΞ γνώμονι, καὶ ὁ ΜΝΞ ἄρα γνώμων τετραπλάσιός ἐστι τοῦ ΔΘ· ὅλον ἄρα τὸ ΔΖ πενταπλάσιόν ἐστι τοῦ ΔΘ. καὶ ἔστι τὸ μὲν ΔΖ τὸ ἀπὸ τῆς ΓΔ, τὸ δὲ ΔΘ τὸ ἀπὸ τῆς ΔΑ· τὸ ἄρα ἀπὸ τῆς ΓΔ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΑ.

Ἐὰν ἄρα εὐθεῖα ἄκρον καὶ μέσον λόγον τμηθῇ, τὸ μεῖζον τμῆμα προσλαβὸν τὴν ἡμίσειαν τῆς ὅλης πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τετραγώνου. ὅπερ ἔδει δεῖξαι.

*ΣΧΟΛΙΟΝ.

Ἀνάλυσίς ἐστι λῆψις τοῦ ζητουμένου ὡς ὁμολογουμένου διὰ τῶν ἀκολούθων ἐπί τι ἀληθὲς ὁμολογούμενον.

Συνθέσις ἐστὶ λῆψις τοῦ ὁμολογουμένου διὰ τῶν ἀκολούθων ἐπὶ τὸ τοῦ ζητουμένου κατάληξιν ἢ κατάληψιν.

† Τοῦ εἰρημένου θεωρήματος ἡ ἀνάλυσις ἄνευ ἀναγραφῆς.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τῇ ἡμισείᾳ τῆς ΑΒ ἴση κείσθω ἡ ΑΔ· λέγω ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ.

Ἐπεὶ γὰρ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ, τὸ δὲ ἀπὸ τῆς ΓΔ ἐστι καὶ ἀπὸ τῶν ΓΑ, ΑΔ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ· τὰ ἄρα ἀπὸ τῶν ΓΑ, ΑΔ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ πενταπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΔ· διελόντι ἄρα τὸ ἀπὸ τῆς ΓΑ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ. ἀλλὰ τῷ μὲν δὶς ὑπὸ τῶν ΓΑ, ΑΔ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ, διπλῆ γὰρ ἡ ΒΑ τῆς ΑΔ, τῷ δὲ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ. ἀλλὰ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ἀπὸ τῆς ΑΒ ἐστι· τὸ ἄρα ἀπὸ τῆς ΑΒ τετραπλάσιον τοῦ ἀπὸ τῆς ΑΔ. ἔστι δὲ, διπλῆ γὰρ ἐστιν ἡ ΒΑ τῆς ΑΔ.



Σύνθεσις τοῦ αὐτοῦ.

Ἐπεὶ οὖν τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς ΑΔ, ἀλλὰ τὸ ἀπὸ τῆς ΑΒ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ ἐστι μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ. ἀλλὰ τὸ μὲν ὑπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν

dratum est æquale gnomoni ΜΝΞ. rursus, quoniam ΒΑ dupla est ipsius ΑΔ; erit [per cor.20.6.] quadratum ex ΒΑ quadrati ex ΑΔ quadruplum, hoc est quadratum ΑΕ quadrati ΔΘ. æquale autem quadratum ΑΕ gnomoni ΜΝΞ; ergo & ΜΝΞ gnomon quadruplus est quadrati ΔΘ; quare totum ΔΖ ipsius ΔΘ est quintuplum. atque est ΔΖ quidem quadratum ex ΓΔ; ΔΘ vero quadratum ex ΔΑ: quadratum igitur ex ΓΔ quadrati ex ΔΑ est quintuplum.

Ergo si recta linea extrema ac media ratione secta fuerit, major portio assumens dimidiam totius quintuplum potest ejus quod à dimidia totius fit quadrati. quod erat demonstrandum.

*SCHOLIUM.

Resolutio est sumptio quæsiti tanquam concessi per ea quæ consequuntur in aliquod verum concessum.

Compositio est sumptio concessi per ea quæ consequuntur in quæsiti conclusionem seu deprehensionem.

† *Antecedentis theorematis resolutio absque figurarum descriptione.*

Recta enim linea quædam ΑΒ extrema ac media ratione secetur in Γ, sitque major portio ΑΓ, & ponatur ΑΔ ipsius ΑΒ dimidiæ æqualis: dico quadratum ex ΓΔ quadrati ex ΔΑ quintuplum esse.

Quoniam enim quintuplum est [ex hyp.] quadratum ex ΓΔ quadrati ex ΔΑ, quadrato autem ex ΓΔ æqualia sunt [per 4. 2.] quadrata ex ΓΑ, ΑΔ una cum eo quod bis sub ΓΑ, ΑΔ continetur; erunt quadrata ex ΓΑ, ΑΔ una cum eo quod bis sub ΓΑ, ΑΔ continetur quadrati ex ΑΔ quintupla: ergo dividendo quadratum ex ΓΑ cum eo quod bis continetur sub ΓΑ, ΑΔ quadruplum est quadrati ex ΑΔ. sed ei quidem quod bis sub ΓΑ, ΑΔ continetur æquale est rectangulum sub ΒΑ, ΑΓ, est enim ΒΑ ipsius ΑΔ dupla; quadrato autem ex ΑΓ [per 17. 6.] est æquale rectangulum sub ΑΒ, ΒΓ, namque [ex hyp.] ΑΒ extrema ac media ratione secta est: rectangulum igitur sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ quadruplum est quadrati ex ΑΔ. sed [per 2. 2.] rectangulum sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ est quadratum ex ΑΒ: ergo quadratum ex ΑΒ quadruplum est quadrati ex ΑΔ. quod quidem [per cor.20.6.] ita se habet; est enim ΒΑ ipsius ΑΔ dupla.

Compositio ejusdem.

Quoniam igitur quadruplum est quadratum ΒΑ quadrati ex ΑΔ; quadratum autem ex ΑΒ est [per 2. 2.] rectangulum sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ: erit rectangulum sub ΒΑ, ΑΓ una cum rectangulo sub ΑΒ, ΒΓ quadrati ex ΑΔ quadruplum. sed rectangulum quidem sub ΒΑ, ΑΓ est æquale ei quod bis sub

* Deest in *Codd. MS.* † Pariter & resolutio & compositio hujus theorematis, ut & cujusvis ex quatuor sequentibus, desideratur in *Codd. MSS.*

ΔA, AΓ continetur; rectangulum autem ſub AB, BΓ eſt æquale quadrato ex AΓ: ergo quadratum ex AΓ una cum eo quod bis continetur ſub ΔA, AΓ quadruplum eſt quadrati ex ΔA; quare quadrata ipſarum ΔA, AΓ una cum eo quod bis ſub ΔA, AΓ continetur quintuplum eſt quadrati ex ΔA. ſed [per 4. 2.] quadrata ex ΔA, AΓ una cum eo quod bis continetur ſub ΔA, AΓ eſt quadratum ex ΔΓ: quadratum igitur ex ΔΓ quadrati ex ΔA quintuplum eſt. quod erat demonſtrandum.

Prop. II. Theor.

Si recta linea partis ſui ipſius quintuplum poſſit, atque duplum dictæ partis extrema ac media ratione ſecetur; major portio eſt pars reliqua ejus quæ à principio rectæ lineæ.

Recta enim linea AB partis ipſius AΓ quintuplum poſſit, & ipſius AΓ dupla ſit ΓΔ: dico ſi ΓΔ extrema ac media ratione ſecetur, ΓB eſſe majorem ejus portionem.

Deſcribantur enim ex utraque ipſarum AB, ΓΔ quadrata AZ, ΓH; & in AZ figura deſcribatur, & producatur ZB in E. quoniam igitur quadratum ipſius AB quintuplum eſt quadrati ipſius AΓ, hoc eſt quadratum AZ quintuplum ipſius AΘ, erit MNΞ gnomon ipſius AΘ quadruplus. & quoniam ΔΓ dupla eſt ΓA, quadratum ex ΔΓ [per 20.6.] quadrati ex ΓA quadruplum eſt, videlicet quadratum ΓH quadruplum quadrati AΘ. oſtenſus eſt autem MNΞ gnomon quadruplus ipſius AΘ quadrati; ergo gnomon MNΞ quadrato ΓH eſt æqualis. & quoniam ΔΓ dupla eſt ΓA, æqualis autem eſt ΔΓ ipſi ΓK, & AΓ ipſi ΓΘ; erit & KΓ ipſius ΓΘ dupla: parallelogrammum igitur KB duplum eſt parallelogrammi BΘ. & [per 43.1.] ſunt parallelogramma AΘ, ΘB ſimul ipſius ΘB dupla: ergo KB æquale eſt ipſis AΘ, ΘB. ſed & totus MNΞ gnomon toti ΓH oſtenſus eſt æqualis: & reliquum igitur ΘZ æquale eſt reliquo BH. atque eſt BH quidem quod ſub ΓΔ, ΔB continetur, etenim ΓΔ eſt æqualis ΔH; ipſum vero ΘZ eſt quadratum ipſius BΓ: ergo quod continetur ſub ΓΔ, ΔB quadrato ex ΓB eſt æquale: & igitur [per 17.6.] ut ΔΓ ad ΓB ita eſt ΓB ad BΔ. major autem eſt ΔΓ quam ΓB: ergo & ΓB quam BΔ eſt major. itaque recta linea ΓΔ extrema ac media ratione ſecta eſt, & major ejus portio eſt ΓB.

Si igitur recta linea partis ſui ipſius quintuplum poſſit, atque duplum dictæ partis extrema ac media ratione ſecetur; major portio eſt pars reliqua ejus quæ à principio rectæ lineæ. quod erat demonſtrandum.



ΔA, AΓ, τὸ δὲ ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ· τὸ ἄρα ἀπὸ τῆς AΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔA, AΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔA· ὥστε τὰ ἀπὸ τῶν ΔA, AΓ μετὰ δὶς ὑπὸ τῶν ΔA, AΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔA. τὰ δὲ ἀπὸ τῶν ΔA, AΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔA, AΓ τὸ ἀπὸ τῆς ΔΓ ἐστι· τὸ ἄρα ἀπὸ τῆς ΔΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔA. ὅπερ ἔδει δεῖξαι.

Προτασις β'.

Ἐὰν εὐθεῖα γραμμὴ τμήματος ἑαυτῆς πενταπλάσιον δύνηται, τοῦ διπλασίας δὲ εἰρημένου τμήματος ἄκρον καὶ μέσον λόγον τεμνομένης· τὸ μεῖζον τμῆμα τὸ λοιπόν μέρος ἐστὶ τῆς ἐξ ἀρχῆς εὐθείας.

Εὐθεῖα γὰρ γραμμὴ ἡ AB τμήματος ἑαυτῆς τοῦ AΓ πενταπλάσιον δυνάσθω, τοῦ δὲ AΓ διπλῆ ἔστω ἡ ΓΔ· λέγω ὅτι τοῦ ΓΔ ἄκρον καὶ μέσον λόγον τεμνομένης, τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΓB.

Ἀναγεγράφθω γὰρ ἀπὸ ἑκατέρας τῶν AB, ΓΔ τετράγωνα τὰ AZ, ΓH, καὶ καταγεγράφθω ἐν τῷ AZ τὸ σχῆμα, καὶ διήχθω ἡ ZB ἐπὶ τὸ E. Ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς AB τοῦ ἀπὸ τῆς AΓ, τουτέστι τὸ AZ τοῦ AΘ, τετραπλάσιος ἄρα ὁ MNΞ γνώμων τοῦ AΘ. Ἐπεὶ διπλῆ ἐστιν ἡ ΔΓ τῆς ΓA, τετράπλασιον ἄρα τὸ ἀπὸ τῆς ΔΓ τοῦ ἀπὸ τῆς ΓA, τουτέστι τὸ ΓH τοῦ AΘ. ἐδείχθη δὲ καὶ ὁ MNΞ γνώμων τετραπλάσιος τοῦ AΘ, ἴσος ἄρα ὁ MNΞ γνώμων τῷ ΓH. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΔΓ τῆς ΓA, ἴση δὲ ἡ μὲν ΔΓ τῇ ΓK, ἡ δὲ AΓ τῇ ΓΘ· διπλῆ ἄρα καὶ ἡ KΓ τῆς ΓΘ· διπλάσιον ἄρα καὶ τὸ KB τοῦ BΘ. εἰσὶ δὲ καὶ τὰ Λ Θ, ΘB διπλάσια τοῦ ΘB· ἴσον ἄρα τὸ KB τοῖς Λ Θ, ΘB. ἐδείχθη δὲ καὶ ὅλος ὁ MNΞ γνώμων ὅλῳ τῷ ΓH ἴσος· καὶ λοιπὸν ἄρα τὸ ΘZ τῷ BH ἐστιν ἴσον. καὶ ἔστι τὸ μὲν BH τὸ ὑπὸ τῶν ΓΔ, ΔB, ἴση γὰρ ἡ ΓΔ τῇ ΔH, τὸ δὲ ΘZ τὸ ἀπὸ τῆς BΓ· τὸ ἄρα ὑπὸ τῶν ΓΔ, ΔB ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓB· ἔστιν ἄρα ὡς ἡ ΔΓ πρὸς τὴν ΓB οὕτως ἡ ΓB πρὸς τὴν BΔ. μεῖζων δὲ ἡ ΔΓ τῆς ΓB· μεῖζων ἄρα καὶ ἡ ΓB τῆς BΔ. τῆς ΓΔ ἄρα εὐθείας ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΓB.

Ἐὰν ἄρα εὐθεῖα γραμμὴ τμήματος ἑαυτῆς πενταπλάσιον δύνηται, τοῦ διπλασίας τοῦ εἰρημένου τμήματος ἄκρον καὶ μέσον λόγον τεμνομένης· τὸ μεῖζον τμῆμα τὸ λοιπὸν μέρος ἐστὶ τῆς ἐξ ἀρχῆς εὐθείας. ὅπερ ἔδει δεῖξαι.

Or

ΛΗΜΜΑ.

Οτι δὲ ἡ διπλῆ τ̃ ΑΓ μείζων ἐστὶ τ̃ ΒΓ, ὕτως δειχτέον.

Εἰ γὰρ μὴ, ἔστω, εἰ δυνατὸν, ἡ ΒΓ τ̃ ΓΑ διπλῆ· πετραγωλάσιον ἄρα τὸ ἀπὸ τ̃ ΒΓ τοῦ ἀπὸ τ̃ ΓΑ· πεντεγωλάσιον ἄρα ἑκάτερον τ̃ ἀπὸ τ̃ ΒΓ, ΓΑ τοῦ ἀπὸ τ̃ ΓΑ. ὑπόκειται δὲ καὶ τὸ ἀπὸ τ̃ ΒΑ πεντεγωλάσιον τοῦ ἀπὸ τ̃ ΓΑ· τὸ ἄρα ἀπὸ τ̃ ΒΑ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΓ, ΓΑ, ὅπερ ἀδυνάτον· οὐκ ἄρα ἡ ΒΓ διπλασία τ̃ ΓΑ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἐλάττων τ̃ ΒΓ διπλασίων ἐστὶ τ̃ ΓΑ, πολλῷ γὰρ μεῖζον τὸ ἄτοπον· ἡ ἄρα τ̃ ΑΓ διπλῆ μείζων ἐστὶ τ̃ ΒΓ. ὅπερ ἔδει δεῖξαι.

ΣΧΟΛΙΟΝ.

Τοῦ εἰρημένου θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γάρ τις ἡ ΓΔ τμήματος ἑαυτῆς τοῦ ΔΑ πεντεγωλάσιον δυνάσθω, τ̃ δὲ ΔΑ διπλῆ κείσθω ἡ ΑΒ· λέγω ὅτι ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ σημεῖον, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ, ἥτις ἐστὶ τὸ λοιπὸν μέρος τ̃ ἐξ ἀρχῆς εὐθείας.

Επεὶ γὰρ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ· τὸ ἄρα ὑπὸ τ̃ ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τ̃ ΑΓ. ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ ἴσον, διπλῆ γάρ ἐστιν ἡ ΒΑ τ̃ ΑΔ· τὸ ἄρα ὑπὸ τ̃ ΑΒ, ΒΓ μετὰ τοῦ ὑπὸ τ̃ ΒΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΒΑ, ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΑ, ΑΓ, μετὰ τοῦ ἀπὸ τ̃ ΑΓ. πετραγωλάσιον δὲ τὸ ἀπὸ τ̃ ΑΒ τοῦ ἀπὸ τ̃ ΔΑ· πετραπλάσιον ἄρα καὶ τὸ δὶς ὑπὸ τῶν ΔΑ ΑΓ μετὰ τοῦ ἀπὸ τ̃ ΑΓ τοῦ ἀπὸ τ̃ ΑΔ· ὥστε καὶ τὰ ἀπὸ τ̃ ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τ̃ ΓΔ, πεντεγωλάσιά ἐστι τοῦ ἀπὸ τ̃ ΔΑ. ἔστι δὲ καὶ τὸ ἀπὸ τ̃ ΑΒ πετραγωλάσιον τοῦ ἀπὸ τ̃ ΑΔ· τὸ ἄρα δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἅπαξ ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τῷ ἀπὸ τ̃ ΑΒ. ἀλλὰ τὸ ἀπὸ τ̃ ΑΒ ἐστὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΓ· τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΔΓ μετὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ἀπὸ τ̃ ΑΓ· καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ὑπὸ τῶν ΒΑ, ΑΓ, λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ ὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. μείζων

LEMMA.

At vero duplam ipſius ΑΓ majorem eſſe quam ΓΒ, [ut in præc. aſſumptum eſt,] ſic demonſtrabitur.

Si enim non, ſit, ſi fieri poteſt, ΒΓ ipſius ΓΑ dupla: quadratum igitur ex ΒΓ quadruplum eſt quadrati ex ΓΑ; quare ſimul utraque quadrata ipſarum ΒΓ, ΓΑ quadrati ex ΓΑ quintuplum eſt. ſed quadratum ex ΒΑ quadrati ex ΓΑ quintuplum ponitur: ergo quadratum ex ΒΑ æquale eſt quadratis ex ΒΓ, ΓΑ, quod [per 4.2.] fieri non poteſt: non igitur ΒΓ dupla eſt ipſius ΓΑ. ſimiliter demonſtrabimus quod neque minor quam ΒΓ dupla eſt ipſius ΓΑ; multo enim majus abſurdum ſequeretur: ergo dupla ipſius ΑΓ major eſt quam ΒΓ. quod erat demonſtrandum.

SCHOLIUM.

Antecedentis theorematis reſolutio.

Recta enim linea quædam ΓΔ partis ipſius ΔΑ quintuplum poſſit, & ipſius ΔΑ dupla ponatur ΑΒ: dico ΑΒ extrema ac media ratione ſectam eſſe in puncto Γ, & majorem ejus portionem eſſe ΑΓ, quæ quidem eſt reliqua pars ejus quæ à principio rectæ lineæ.

Quoniam enim ΑΒ extrema ac media ratione ſecta eſt in Γ, & ΑΓ eſt major portio; erit [per 17.6.] rectangulum ſub ΑΒ, ΒΓ quadrato ex ΑΓ æquale. eſt autem & rectangulum ſub ΒΑ, ΑΓ æquale ei quod bis ſub ΔΑ, ΑΓ continetur; etenim ΒΑ ipſius ΑΔ eſt dupla: ergo rectangulum ſub ΑΒ, ΒΓ una cum rectangulo ſub ΒΑ, ΑΓ, quod quidem [per 2.2.] eſt ipſius ΒΑ quadratum, æquale eſt ei quod bis ſub ΔΑ, ΑΓ continetur una cum quadrato ex ΑΓ. quadratum autem ex ΑΒ [per 20.6.] quadruplum eſt quadrati ex ΔΑ: ergo quod bis ſub ΔΑ, ΑΓ continetur una cum quadrato ex ΑΓ quadruplum eſt quadrati ex ΑΔ: ergo & quadrata ex ΔΑ, ΑΓ una cum eo quod bis continetur ſub ΔΑ, ΑΓ, hoc eſt [per 4.2] quadratum ex ΓΔ, quintupla ſunt quadrati ex ΑΔ. & hoc eſt ſecundum hypotheſin.



Compoſitio ejuſdem.

Quoniam igitur quadratum ex ΓΔ quintuplum eſt quadrati ex ΔΑ; quadrato autem ex ΓΔ æqualia ſunt [per 4.2.] quadrata ex ΔΑ, ΑΓ una cum eo quod bis ſub ΔΑ, ΑΓ continetur; erunt quadrata ex ΔΑ, ΑΓ una cum eo quod bis continetur ſub ΔΑ, ΑΓ quintupla quadrati ex ΔΑ: dividendo ergo, quod bis ſub ΔΑ, ΑΓ continetur una cum quadrato ex ΑΓ quadrupla ſunt quadrati ex ΑΔ. eſt autem [per 20.6.] & quadratum ex ΑΒ quadrati ex ΑΔ quadruplum: ergo quod bis continetur ſub ΔΑ, ΑΓ hoc eſt quod ſemel continetur ſub ΒΑ, ΑΓ una cum quadrato ex ΑΓ, eſt æquale quadrato ex ΑΒ. ſed [per 2.2.] quadratum ex ΑΒ eſt rectangulum ſub ΑΒ, ΒΓ una cum rectangulo ſub ΒΑ, ΑΓ: rectangulum igitur ſub ΒΑ, ΑΓ una cum rectangulo ſub ΑΒ, ΒΓ eſt æquale rectangulo ſub ΒΑ, ΑΓ una cum quadrato ex ΑΓ: & ablato communi rectangulo ſub ΒΑ, ΑΓ, erit reliquum rectangulum ſub ΑΒ, ΒΓ quadrato ex ΑΓ æquale: eſt igitur [per 17.6.] ut ΒΑ ad ΑΓ ita ΑΓ ad ΓΒ. major autem

autem est BA quam AΓ: ergo & AΓ quam ΓB est major: quare [per 3. def. 6.] AB extrema ac media ratione secta est in Γ, & AΓ est major ejus portio. quod erat demonstrandum.

ζων δὲ ἡ ΒΑ τῆς ΑΓ· μείζων ἄρα ἐστὶν ἡ ΑΓ τῆς ΓΒ· ἡ ΑΒ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ. ὅπερ ἔδει δεῖξαι.

PROP. III. THEOR.

Si recta linea extrema ac media ratione secta fuerit; portio minor, assumens dimidiam majoris portionis, quintuplum potest ejus quod à dimidia majoris portionis fit quadrati.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ· τὸ ἔλασσον τμῆμα, τετραπλάσιον τοῦ ἡμίσεια τοῦ μείζονος τμήματος, πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τοῦ μείζονος τμήματος τετραγώνου.

RECta enim linea quævis AB extrema ac media ratione secetur in Γ, sitque AΓ major portio, & secetur AΓ bifariam in Δ: dico quadratum ex BΔ quadrati ex ΔΓ quintuplum esse.

Describatur enim ex AB quadratum AE, & figura compleatur. quoniam igitur AΓ dupla est ΓΔ, erit quadratum ex AΓ quadrati ex ΓΔ quadruplum, hoc est quadratum PΣ ipsius ZH. & quoniam [per 17. 6.] rectangulum quod sub AB, BΓ continetur est æquale quadrato ex AΓ, atque est rectangulum quidem sub AB, BΓ ipsum ΓE; quadratum vero ex AΓ est PΣ; erit rectangulum ΓE quadrato PΣ æquale. quadruplum autem est quadratum PΣ quadrati ZH: ergo & ΓE rectangulum quadrati ZH quadruplum erit. rursus quoniam AΔ æqualis est ΔΓ, erit [per 34. 1.] & ΘK ipsi KZ æqualis: ideoque quadratum HZ est æquale quadrato ΘΛ: æqualis igitur est HK ipsi KΛ, hoc est MN ipsi NE: ergo [per 36. 1.] & parallelogrammum MZ parallelogrammo ZE est æquale. sed [per 43. 1.] MZ est æquale ΓH: quare & ΓH ipsi EZ æquale erit. commune apponatur ΓN: gnomon igitur ΞOΠ est æqualis parallelogrammo ΓE. ostensum autem est ΓE esse quadruplum HZ quadrati: & gnomon igitur ΞOΠ ipsius HZ quadruplus est: quare quadratum ΔN quintuplum est ipsius HZ. est autem ΔN quadratum ipsius ΔB; HZ vero quadratum ipsius ΔΓ: quadratum igitur ex ΔB quadrati ex ΔΓ est quintuplum. quod erat demonstrandum.



Ἐυθεῖα γὰρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ σημεῖον, ἔστω δὲ μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Δ· λέγω ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΔΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΕ, καὶ κατεσκευάσθω τὸ σχῆμα. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΓΔ, τετραπλάσιον ἐστι τὸ ἀπὸ τῆς ΑΓ τοῦ ἀπὸ τῆς ΓΔ, τουτέστι τὸ ΡΣ τοῦ ΖΗ. ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ, καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ΓΕ, τὸ δὲ ἀπὸ τῆς ΑΓ τὸ ΡΣ· τὸ ἄρα ΓΕ ἴσον ἐστὶ τῷ ΡΣ. τετραπλάσιον δὲ τὸ ΡΣ τοῦ ΖΗ· τετραπλάσιον ἄρα καὶ τὸ ΓΕ τοῦ ΖΗ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, ἴση ἐστὶ καὶ ἡ ΘΚ τῇ ΚΖ· ὥστε καὶ τὸ ΗΖ τετράγωνον ἴσον ἐστὶ τῷ ΘΛ τετραγώνῳ· ἴση ἄρα ἡ ΗΚ τῇ ΚΛ, τουτέστιν ἡ ΜΝ τῇ ΝΕ· ὥστε καὶ τὸ ΜΖ τῷ ΖΕ ἐστιν ἴσον. ἀλλὰ τὸ ΜΖ τῷ ΓΗ ἐστιν ἴσον· καὶ τὸ ΓΗ ἄρα τῷ ΖΕ ἐστιν ἴσον. κοινὸν προσκείσθω τὸ ΓΝ· ὁ ἄρα ΞΟΠ γνώμων ἴσος ἐστὶ τῷ ΓΕ. ἀλλὰ τὸ ΓΕ τετραπλάσιον ἐδείχθη τοῦ ΗΖ· καὶ ὁ ΞΟΠ ἄρα γνώμων τετραπλάσιός ἐστι τοῦ ΗΖ· τὸ ἄρα ΔΝ πενταπλάσιόν ἐστι τοῦ ΗΖ τετραγώνου. καὶ ἔστι τὸ μὲν ΔΝ τὸ ἀπὸ τῆς ΔΒ, τὸ δὲ ΗΖ τὸ ἀπὸ τῆς ΔΓ· τὸ ἄρα ἀπὸ τῆς ΔΒ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ. ὅπερ ἔδει δεῖξαι.

SCHOLIUM.

Antecedentis theorematis resolutio.

Recta enim linea AB extrema ac media ratione secetur in Γ; & sit AΓ major portio, cujus dimidia ΓΔ: dico quadratum ex BΔ quadrati ex ΓΔ quintuplum esse.



Quoniam enim [ex hyp.] quadratum ex BΔ quintuplum est quadrati ex ΔΓ; quadratum autem ex BΔ est [per 6. 2.] quod continetur sub AB, BΓ

ΣΧΟΛΙΟΝ.

Τοῦ εἰρημένου θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ σημεῖον, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ, καὶ τῆς ΑΓ ἡμίσεια ἡ ΓΔ· λέγω ὅτι πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ.

Ἐπεὶ γὰρ πενταπλάσιόν ἐστι τὸ ὑπὸ τῶν ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ, τὸ δὲ ἀπὸ τῆς ΒΔ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ ἐστὶ

μετὰ

μετὰ τοῦ ἀπὸ τῆς ΔΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ τῆς ΔΓ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ· διελόντι ἄρα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ. τῷ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ, ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΔ. ἔστι δὲ, διπλῆ γὰρ ἡ ΑΓ τῆς ΓΔ.

una cum quadrato ex ΔΓ: ergo quod ſub ΑΒ, ΒΓ continetur una cum quadrato ex ΔΓ quintuplum eſt quadrati ex ΔΓ: dividendo igitur quod ſub ΑΒ, ΒΓ continetur quadrati ex ΔΓ quadruplum eſt. ei vero quod continetur ſub ΑΒ, ΒΓ æquale eſt [per 17.6.] quadratum ex ΑΓ, etenim [ex hyp.] ΑΒ extrema ac media ratione ſecta eſt in Γ: ergo quadratum ex ΑΓ quadrati ex ΓΔ quadruplum eſt. quod quidem ita ſe habet; eſt enim ΑΓ ipſius ΓΔ dupla.

Σύνθεσις τοῦ αὐτοῦ.

Ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΔΓ, τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΑΓ τοῦ ἀπὸ τῆς ΔΓ. ἀλλὰ τὸ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ· συνθέντι ἄρα τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ἀπὸ τῆς ΔΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς ΑΒ, πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΓ. ὅπερ ἔδει δεῖξαι.

Compoſitio ejuſdem.

Quoniam dupla eſt ΑΓ ipſius ΔΓ, erit quadratum ex ΑΓ quadrati ex ΓΔ quadruplum. ſed [per 17.6.] quadratum ex ΑΓ eſt æquale ei quod bis ſub ΑΒ, ΒΓ continetur: quod igitur ſub ΑΒ, ΒΓ continetur quadruplum eſt quadrati ex ΔΓ: ideoque componendo, quod continetur ſub ΑΒ, ΒΓ una cum quadrato ex ΔΓ, quod quidem [per 6.2.] eſt quadratum ex ΔΒ, quintuplum eſt quadrati ipſius ΔΓ. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ· τὸ ἀπὸ τῆς ὅλης καὶ τοῦ ἐλάσσονος τμήματος, τὰ συναμφότερα τετράγωνα, τριπλάσιά ἐστι τοῦ ἀπὸ τοῦ μείζονος τμήματος τετραγώνου.

Prop. IV. Theor.

Si recta linea extrema ac media ratione ſecta fuerit; totius & minoris portionis utraque ſimul quadrata tripla ſunt quadrati ejus quod à majori fit portione.

Ἔστω εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ· λέγω ὅτι τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΓ.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς ΑΒ τετράγωνον τὸ ΑΔΕΒ, καὶ κατεγεγράφθω τὸ σχῆμα. ἐπεὶ οὖν ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ΑΚ, τὸ δὲ ἀπὸ τῆς ΑΓ τὸ ΘΗ· ἴσον ἄρα ἐστὶ τὸ ΑΚ τῷ ΘΗ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΑΖ τῷ ΖΕ, κοινὸν προσκείσθω τὸ ΓΚ· ὅλον ἄρα τὸ ΑΚ ὅλῳ τῷ ΓΕ ἐστὶν ἴσον· τὰ ἄρα ΓΕ, ΑΚ τοῦ ΑΚ ἐστὶ διπλάσια. ἀλλὰ τὰ ΑΚ, ΓΕ ὁ ΛΜΝ γνώμων ἐστὶ καὶ τὸ ΓΚ τετράγωνον· ὁ ἄρα ΛΜΝ γνώμων καὶ τὸ ΓΚ τετράγωνον διπλάσιά ἐστι τοῦ ΑΚ. ἀλλὰ μὴν καὶ τὸ ΑΚ τῷ ΘΗ ἐδείχθη ἴσον· ὁ ἄρα ΛΜΝ γνώμων, καὶ τὸ ΓΚ τετράγωνον διπλάσιά ἐστι τοῦ ΘΗ· ὥστε καὶ ὁ ΛΜΝ γνώμων καὶ τὰ ΓΚ, ΘΗ τετράγωνα τριπλάσιά ἐστι τοῦ ΘΗ τετραγώνου. καὶ ἔστιν ὁ μὲν ΛΜΝ γνώμων καὶ τὰ ΓΚ, ΘΗ τετράγωνα ὅλον τὸ ΑΕ καὶ τὸ ΓΚ, ἅπερ ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα, τὸ δὲ ΗΘ τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΓ τετράγωνα τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΑΓ τετραγώνου. ὅπερ ἔδει δεῖξαι.



SIT recta linea ΑΒ, quæ extrema ac media ratione ſecetur in Γ, & ſit ΑΓ major portio: dico quadrata ex ΑΒ, ΒΓ quadrati ex ΑΓ tripla eſſe.

Deſcribatur enim ex ΑΒ quadratum ΛΔΕΒ, & figura compleatur. itaque quoniam ΑΒ extrema ac media ratione ſecta eſt in Γ, & major portio eſt ΑΓ: erit [per 17.6.] rectangulum contentum ſub ΑΒ, ΒΓ quadrato ex ΑΓ æquale. atque eſt rectangulum quidem ΑΚ quod ſub ΑΒ, ΒΓ continetur, quadratum vero ΘΗ eſt quadratum ipſius ΑΓ; æquale igitur eſt ΑΚ ipſi ΘΗ. & quoniam [per 43. 1.] rectangulum ΑΖ eſt æquale ΖΕ, commune apponatur ΓΚ, erit totum ΑΚ toti ΓΕ æquale: ergo rectangula ΓΒ, ΑΚ ipſius ΑΚ ſunt dupla. ſed rectangula ΑΚ, ΓΕ ſunt gnomon ΛΜΝ & quadratum ΓΚ; gnomon igitur ΛΜΝ & quadratum ΓΚ dupla ſunt ipſius ΑΚ. rectangulum autem ΑΚ oſtenſum eſt æquale quadrato ΘΗ: ergo gnomon ΛΜΝ & quadratum ΓΚ ipſius ΘΗ ſunt dupla: ac propterea gnomon ΛΜΝ & quadrata ΓΚ, ΘΗ tripla ſunt quadrati ΘΗ. & gnomon quidem ΛΜΝ & quadrata ΓΚ, ΘΗ ſunt totum ΑΕ quadratum & quadratum ΓΚ, quæ quidem ſunt quadrata ipſarum ΑΒ, ΒΓ; quadratum autem ΗΘ eſt quod fit ex ΑΓ: quadrata igitur ex ΑΒ, ΒΓ quadrati ex ΑΓ ſunt tripla. quod erat demonſtrandum.

SCHOLIUM.

Antecedentis theorematis reſolutio.

Recta enim linea AB extrema ac media ratione ſecetur in Γ, & ſit AΓ major portio: dico quadrata ex AB, BΓ tripla eſſe quadrati ex AΓ.

Quoniam enim quadrata ex AB, BΓ tripla ſunt quadrati ex AΓ; ſuntque [per 7. 2.] quadrata ex AB, BΓ æqualia rectangulo quod bis ſub AB, BΓ continetur una cum quadrato ex AΓ: erit rectangulum quod bis continetur ſub AB, BΓ una cum quadrato ex AΓ triplum quadrati ex AΓ: dividendo igitur, quod bis continetur ſub AB, BΓ duplum eſt quadrati ex AΓ; ergo quod ſemel ſub AB, BΓ continetur quadrato ex AΓ eſt æquale. quod quidem ita ſe habet; recta enim linea AB [ex hyp.] extrema ac media ratione ſecta eſt in puncto Γ.



Compoſitio ejuſdem.

Itaque quoniam AB extrema ac media ratione ſecta eſt in Γ, atque eſt AΓ major portio; erit [per 17. 6.] rectangulum quod ſub AB, BΓ continetur quadrato ex AΓ æquale: ergo quod bis continetur ſub AB, BΓ duplum eſt quadrati ex AΓ: & componendo, quod bis continetur ſub AB, BΓ una cum quadrato ex AΓ triplum eſt quadrati ex AΓ: ſed [per 7. 2.] quod bis ſub AB, BΓ continetur una cum quadrato ex AΓ eſt æquale quadratis ipſarum AB, BΓ: quadrata igitur ex AB, BΓ quadrati ex AΓ ſunt tripla.

ΣΧΟΛΙΟΝ.

Τῆ εἰρημένῃ θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γὰρ γραμμὴ ἡ AB ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα τὸ AΓ· λέγω ὅτι τὰ ἀπὸ τῶν AB, BΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ.

Ἐπεὶ γὰρ τὰ ἀπὸ τῶν AB, BΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ, ἀλλὰ τὰ ἀπὸ τῶν AB, BΓ τὸ δὶς ὑπὸ τῶν AB, BΓ ἐστι μετὰ τοῦ ἀπὸ τῆς AΓ· τὸ ἄρα δὶς ὑπὸ τῶν AB, BΓ μετὰ τοῦ ἀπὸ τῆς AΓ τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς AΓ· διλόιπὸ ἄρα τὸ δὶς ὑπὸ τῶν AB, BΓ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς AΓ· ὥστε τὸ ἅπαξ ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ. ἔστι δὲ, ἡ γὰρ AB ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ.

Συνθεσις τοῦ αὐτοῦ.

Ἐπεὶ οὖν ἡ AB ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ ἔστι μεῖζον τμῆμα ἡ AΓ, τὸ ἄρα ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ· τὸ ἄρα δὶς ὑπὸ τῶν AB, BΓ διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς AΓ· συνθέντι ἄρα τὸ δὶς ὑπὸ τῶν AB, BΓ μετὰ τοῦ ἀπὸ τῆς AΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ· ἀλλὰ τὸ δὶς ὑπὸ τῶν AB, BΓ μετὰ τοῦ ἀπὸ τῆς AΓ τὰ ἀπὸ τῶν AB, BΓ ἐστι τετράγωνα· τὰ ἄρα ἀπὸ τῶν AB, BΓ τετράγωνα τριπλάσιά ἐστι τοῦ ἀπὸ τῆς AΓ.

PROP. V. THEOR.

Si recta linea extrema ac media ratione ſecetur, adjiciaturque ipſi æqualis majori portioni; erit tota linea extrema ac media ratione ſecta, & major portio erit ea quæ à principio poſita eſt recta linea.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, καὶ προστεθῇ ἴση τῷ μείζονι τμημάτι· ὅλη ἡ εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ἐξ ἀρχῆς εὐθεῖα.

Recta enim linea AB extrema ac media ratione ſecetur in Γ, & ſit AΓ major portio, ponaturque ipſi AΓ æqualis AΔ: dico rectam lineam ΔB extrema ac media ratione ſecari in puncto A, & majorem portionem eſſe AB, quæ à principio poſita eſt.

Deſcribatur enim ex AB quadratum AE, & figura compleatur. quoniam igitur AB extrema ac media ratione ſecta eſt in Γ, erit [per 17. 6.] rectangulum quod continetur ſub AB, BΓ quadrato ex AΓ æquale. ſed rectangulum quidem quod continetur ſub AB, BΓ eſt ΓE: quadratum vero ex AΔ eſt ΓΘ: ergo ΓE ipſi ΓΘ eſt æquale. ſed ΓE eſt [per 43. 1.] æquale ΘE, & ΓΘ ipſi ΔΘ: quare & ΔΘ ipſi ΘE æquale erit. commune apponatur ΘB. totum igitur ΔK toti



Γ

Εὐθεῖα γὰρ γραμμὴ ἡ AB ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ AΓ, καὶ τῇ AΓ ἴση κείσθω ἡ AΔ· λέγω ὅτι ἡ ΔB εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ A, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ἐξ ἀρχῆς εὐθεῖα ἡ AB.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῆς AB τετράγωνον τὸ AE, καὶ κατεγεγράφθω τὸ σχῆμα. ἐπεὶ οὖν ἡ AB ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, τὸ ἄρα ὑπὸ τῶν AB, BΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς AΓ. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν AB, BΓ τὸ ΓE, τὸ δὲ ἀπὸ τῆς AΓ τὸ ΓΘ· ἴσον ἄρα τὸ ΓE τῷ ΓΘ. ἀλλὰ τὸ μὲν ΓE ἴσον ἐστὶ τῷ ΘE, τὸ δὲ ΓΘ ἴσον τῷ ΔΘ· καὶ τὸ ΔΘ ἄρα ἴσον ἐστὶ τῷ ΘE. κοινὸν προσκείσθω τὸ ΘB. ὅλον ἄρα τὸ ΔK ἴσον

ἐστὶν

ἐστὶν ὅλῳ τῷ ΑΕ. καὶ ἔστι τὸ μὲν ΔΚ τὸ ὑπὸ τῶν ΒΔ, ΔΑ, ἴση γὰρ ἡ ΑΔ τῇ ΔΛ, τὸ δὲ ΑΕ τῷ ἀπὸ τῆς ΑΒ· τὸ ἄρα ὑπὸ τῶν ΒΔ, ΔΑ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ. μείζων δὲ ἡ ΒΔ τῆς ΒΑ· μείζων ἄρα καὶ ἡ ΒΑ τῆς ΑΔ· ἡ ἄρα ΒΔ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ. ὅπερ ἔδει δεῖξαι.

AE eſt æquale. atque eſt ΔK quidem quod ſub BΔ, ΔA continetur, eſt enim AΔ æqualis ΔΛ; quadratum autem AE eſt æquale quadrato ex AB: ergo quod ſub BΔ, ΔA continetur eſt æquale quadrato ex AB: quare [per 17. 6.] ut BΔ ad BA ita eſt BA ad AΔ. ſed BΔ eſt major quam BA: major igitur eſt BA quam AΔ: ergo ΔB extrema ac media ratione ſecta eſt in A, & AB eſt major ejus portio. quod erat demonſtrandum.

ΣΧΟΛΙΟΝ.

Τῆς εἰρημένης θεωρήματος ἡ ἀνάλυσις.

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τετμήσθω κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ, καὶ τῇ ΑΓ ἴση κείσθω ἡ ΑΔ· λέγω ὅτι ἡ ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΒΑ.

Ἐπεὶ γὰρ ἡ ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΒΑ· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ. ἴση δὲ ἡ ΑΔ τῇ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ· ἀναστρέψαντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ· διελόντι ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΔ τῇ ΑΓ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἔστι δὲ, ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ.



SCHOLIUM.

Antecedentis theorematis reſolutio.

Recta enim linea AB extrema ac media ratione ſecetur in Γ, & ſit major portio AΓ, ponaturque AΔ ipſi AΓ æqualis: dico ΔB extrema ac media ratione ſecari in puncto A, & majorem eſſe portionem BA.

Quoniam enim ΔB extrema ac media ratione ſecta eſt in A, & major portio eſt BA; erit [per 30. 6.] ut ΔB ad BA ita BA ad AΔ. æqualis autem eſt AΔ ipſi AΓ: ut igitur ΔB ad BA ita BA ad AΓ; ergo per converſionem rationis [per cor. 19. 5.] ut BΔ ad ΔA ita AB ad BΓ: quare dividendo [per 17. 5.] ut BA ad AΔ ita AΓ ad ΓB. æqualis autem [per conſtr.] eſt AΔ ipſi AΓ: eſt igitur ut BA ad AΓ ita AΓ ad ΓB. quod quidem ita ſe habet; etenim [ex hyp.] AB extrema ac media ratione ſecatur in Γ puncto.

Συνθεσις τῶν αὐτῶν.

Ἐπεὶ οὖν ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἴση δὲ ἡ ΑΓ τῇ ΑΔ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ· συνθέντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΒΓ· ἀναστρέψαντι ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΓ. ἴση δὲ ἡ ΑΓ τῇ ΑΔ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΒΑ οὕτως ἡ ΒΑ πρὸς τὴν ΑΔ· ἡ ἄρα ΔΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Α, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΒ. ὅπερ ἔδει δεῖξαι.

Compoſitio ejuſdem.

Itaque quoniam AB extrema ac media ratione ſecatur in Γ, erit ut BA ad AΓ ita AΓ ad ΓB. æqualis autem eſt AΓ ipſi AΔ: ergo ut BA ad AΔ ita AΓ ad ΓB: ergo componendo [per 18. 5.] ut BΔ ad ΔA ita BA ad BΓ; & convertendo [per coroll. 19. 5.] ut ΔB ad BA ita BA ad AΓ. ſed eſt AΓ æqualis AΔ: eſt igitur ut ΔB ad BA ita BA ad AΔ: quare [per 3. def. 6.] ΔB extrema ac media ratione ſecatur in puncto A, & AB eſt portio major. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν εὐθεῖα ῥητὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

PROP. VI. THEOR.

Si recta linea rationalis extrema ac media ratione ſecta fuerit; utraque portio irrationalis eſt quæ apotome appellatur.

Ἔστω εὐθεῖα ῥητὴ ἡ ΑΒ, καὶ τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ ἔστω μεῖζον τμῆμα ἡ ΑΓ· λέγω ὅτι ἑκατέρα τῶν ΑΓ, ΓΒ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐκβεβλήσθω γὰρ ἡ ΒΑ ἐπὶ τὸ Δ, καὶ κείσθω τῇ ΒΑ ἡμίσεια ἡ ΑΔ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΒ τέτμηται ἄκρον καὶ μέσον λόγον κατὰ τὸ Γ, καὶ τῷ μείζονι τμήματι τῷ ΑΓ προσκεῖται ἡ ΑΔ, ἡμίσεια οὖσα τῆς ΑΒ· τὸ ἄρα ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΑ πενταπλάσιόν ἐστι.

SIT recta linea rationalis AB, & ſecetur extrema ac media ratione in Γ, ſitque AΓ major portio: dico utramque portionem AΓ, ΓB irrationalem eſſe quæ apotome appellatur.

Producatur enim BA in Δ, & ſit ipſius BA dimidia AΔ. itaque quoniam recta linea AB extrema ac media ratione ſecatur in in Γ, & majori portioni AΓ adjicitur AΔ, quæ eſt ipſius AB dimidia: erit [per 1. 13.] quadratum ex ΓΔ quadrati ex ΔA quintuplum-

quadratum igitur ex ΓΔ ad quadratum ex ΔΑ rationem habet quam numerus ad numerum; ideoque [per 6.10.] quadratum ex ΓΔ commensurabile est quadrato ex ΔΑ. rationale autem est quadratum ex ΔΑ; etenim ΔΑ est rationalis, cum sit ipsius ΑΒ rationalis dimidia: ergo [per 6. def.10.] & quadratum ex ΓΔ est rationale; ac propterea [per 8. def.10.] ipsa ΓΔ rationalis. quoniam vero quadratum ex ΓΔ ad quadratum ex ΔΑ rationem non habet quam quadratus numerus ad quadratum numerum, recta linea ΓΔ [per 9. 10.] ipsi ΔΑ incommensurabilis est longitudine: quare ΓΔ, ΔΑ rationales sunt potentia solum commensurabiles; & idcirco [per 74. 10.] ΑΓ apotome est. rursus, quoniam ΑΒ extrema ac media ratione secta est, & major portio est ΑΓ; erit rectangulum sub ΑΒ, ΒΓ æquale quadrato ex ΑΓ: quadratum igitur apotomæ ΑΓ ad rationalem ΑΒ applicatum latitudinem facit ΒΓ. sed [per 98. 10.] quadratum apotomæ ad rationalem applicatum latitudinem facit apotomen primam; ergo ΒΓ est apotome prima. ostensa est autem & ΑΓ apotome.



Si igitur recta linea rationalis extrema ac media ratione secta fuerit; utraque portio irrationalis est quæ apotome appellatur. quod erat demonstrandum.

τὸ ἄρα ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΔΑ λόγον ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμόν· σύμμετρον ἄρα τὸ ἀπὸ τῆς ΓΔ τῷ ἀπὸ τῆς ΔΑ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΔΑ, ῥητὴ γάρ ἐστιν ἡ ΔΑ ἡμίσεια οὖσα τῆς ΑΒ ῥητῆς οὔσης· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΓΔ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΓΔ. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΔΑ λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἀσύμμετρος ἄρα μήκει ἡ ΓΔ τῇ ΔΑ· αἱ ΓΔ, ΔΑ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΑΓ. πάλιν, ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ, τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ ἀποτομῆς πρὸς ῥητὴν τὴν ΑΒ ῥητὸν παραβληθὲν πλάτος ποιεῖ τὴν ΒΓ. τὸ δὲ ἀπὸ ἀποτομῆς πρὸς ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην· ἀποτομὴ ἄρα πρώτη ἡ ΒΓ. ἐδείχθη δὲ καὶ ἡ ΑΓ ἀποτομή.

Ἐὰν ἄρα εὐθεῖα ῥητὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή. ὅπερ ἔδει δεῖξαι.

Prop. VII. Theor.

Si pentagoni æquilateri tres anguli, sive deinceps sive non deinceps, inter se fuerint æquales; æquiangulum erit pentagonum.

PEntagoni enim æquilateri ΑΒΓΔΕ tres anguli primum deinceps, qui ad puncta Α, Β, Γ, æquales inter se sint: dico pentagonum ΑΒΓΔΕ æquiangulum esse.

Jungantur enim ΑΓ, ΒΕ, Ζ Δ. quoniam autem duæ ΓΒ, ΒΑ duabus ΒΑ, ΑΕ, æquales sunt, altera alteri, & angulus ΓΒΑ æqualis angulo ΒΑΕ, erit [per 4. 1.] basis ΑΓ æqualis basi ΒΕ, & triangulum ΑΒΓ triangulo ΑΒΕ æquale, & reliqui anguli reliquis angulis æquales quibus æqualia latera subtenduntur, angulus quidem ΒΓΑ angulo ΒΕΑ, angulus vero ΑΒΕ angulo ΓΑΒ: quare [per 6. 1.] & latus ΑΖ est æquale lateri ΒΖ. ostensa autem est & tota ΑΓ toti ΒΕ æqualis: ergo & reliqua ΖΓ est æqualis reliquæ ΖΕ. atque est ΓΔ æqualis ΔΕ; duæ igitur ΖΓ, ΓΔ duabus ΖΕ, ΕΔ æquales sunt, & basis ipsorum ΖΔ est communis: quare [per 8. 1.] angulus ΖΓΔ angulo ΖΕΔ est æqualis. ostensus autem est & angulus ΒΓΑ æqualis angulo ΑΕΒ: totus igitur ΒΓΔ æqualis est toti ΑΕΔ. sed [ex hyp.] angulus ΒΓΔ positus est æqualis angulis, qui sunt ad puncta Α, Β: ergo & ΑΕΔ angulus angulis qui sunt ad Α, Β æqualis erit. simili-



ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν πενταγώνου ἰσόπλευρου αἱ τρεῖς γωνίαι, ἤτοι αἱ κατὰ τὸ ἑξῆς ἢ αἱ μὴ κατὰ τὸ ἑξῆς, ἴσαι ὦσιν· ἰσογώνιον ἔσται τὸ πεντάγωνον.

ΠΕντάγωνον δὴ ἰσόπλευρον τὸ ΑΒΓΔΕ αἱ τρεῖς γωνίαι πρότερον αἱ κατὰ τὸ ἑξῆς αἱ πρὸς τοῖς Α, Β, Γ ἴσαι ἀλλήλαις ἔστωσαν· λέγω ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓΔΕ πεντάγωνον.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΓ, ΒΕ, Ζ Δ. καὶ ἐπεὶ δύο αἱ ΓΒ, ΒΑ δυσὶ ταῖς ΒΑ, ΑΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΓΒΑ γωνίᾳ τῇ ὑπὸ ΒΑΕ ἐστιν ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΕ ἐστιν ἴση, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΕ τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν, ἡ μὲν ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΒΕΑ, ἡ δὲ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΓΑΒ· ὥστε καὶ πλευρὰ ἡ ΑΖ πλευρᾷ τῇ ΒΖ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ὅλη ἡ ΑΓ ὅλῃ τῇ ΒΕ ἴση· καὶ λοιπὴ ἄρα ἡ ΖΓ λοιπῇ τῇ ΖΕ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΓΔ τῇ ΔΕ ἴση· δύο δὴ αἱ ΖΓ, ΓΔ δυσὶ ταῖς ΖΕ, ΕΔ ἴσαι εἰσί, καὶ βάσις αὐτῶν κοινὴ ἡ ΖΔ· γωνία ἄρα ἡ ὑπὸ ΖΓΔ γωνίᾳ τῇ ὑπὸ ΖΕΔ ἐστιν ἴση. ἐδείχθη δὲ ἡ ὑπὸ ΒΓΑ γωνία τῇ ὑπὸ ΑΕΒ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΒΓΔ ὅλῃ τῇ ὑπὸ ΑΕΔ ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ ΒΓΔ ἴση ὑπόκειται καὶ πρὸς τοῖς Α, Β· καὶ ἡ ὑπὸ ΑΕΔ ἄρα ταῖς πρὸς τοῖς Α, Β γωνίαις ἴση ἐστίν. ὁμοίως

δὴ

δὴ δείξομεν ὅτι καὶ ἡ ὑπὸ ΓΔΕ γωνία ἴση ἐστὶ τῇ πρὸς τοῖς Α, Β γωνίαις· ἰσογώνιον ἄρα τὸ ΑΒΓΔΕ πεντάγωνον.

ΑΛΛΑ δὴ μὴ ἔστωσαν ἴσαι αἱ κατὰ τὸ ἑξῆς γωνίαι, ἀλλ' ἔστωσαν ἴσαι αἱ πρὸς τοῖς Α, Γ, Δ σημείοις· λέγω ὅτι καὶ οὕτως ἰσογώνιόν ἐστι τὸ ΑΒΓΔΕ πεντάγωνον.

Επεζεύχθω γὰρ ἡ ΒΔ. καὶ ἐπεὶ δύο αἱ ΒΑ, ΑΕ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΒΕ βάσει τῇ ΒΔ ἴση ἐστὶ, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΕΒ γωνία τῇ ὑπὸ ΓΔΒ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΕΔ γωνία τῇ ὑπὸ ΒΔΕ ἴση, ἐπεὶ πλευρὰ ἡ ΒΕ πλευρᾷ τῇ ΒΔ ἐστιν ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΕΔ γωνία ὅλῃ τῇ ὑπὸ ΓΔΕ ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ ΓΔΕ ταῖς πρὸς τοῖς Α, Γ γωνίαις ὑπόκειται ἴση, καὶ ἡ ὑπὸ ΑΕΔ ἄρα γωνία ταῖς πρὸς τοῖς Α, Γ ἴση ἐστί. Διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΒΓ ἴση ἐστὶ ταῖς πρὸς τοῖς Α, Γ, Δ γωνίαις· ἰσογώνιον ἄρα τὸ ΑΒΓΔΕ πεντάγωνον. ὅπερ ἔδει δεῖξαι.

ter demonſtrabimus & angulum ΓΔΕ angulis qui ſunt ad Α, Β eſſe æqualem: æquiangulum igitur eſt ΑΒΓΔΕ pentagonum.

SED non ſint anguli deinceps ſibi ipſis æquales, ſed qui ſunt ad Α, Γ, Δ: dico & ſic æquiangulum eſſe ΑΒΓΔΕ pentagonum.

Jungatur enim ΒΔ. & quoniam duæ ΒΑ, ΑΕ duabus ΒΓ, ΓΔ æquales ſunt, & angulos æquales continent; erit [per 4. 1.] baſis ΒΕ æqualis baſi ΒΔ, & ΑΒΕ triangulum triangulo ΒΓΔ, & reliqui anguli reliquis angulis æquales erunt quibus æqualia latera ſubtenduntur: æqualis igitur eſt angulus ΑΕΒ angulo ΓΔΒ. eſt autem [per 6. 1.] & ΒΕΔ angulus ipſi ΒΔΕ æqualis, quoniam latus ΒΕ eſt æquale lateri ΒΔ: totus igitur angulus ΑΕΔ toti ΓΔΒ eſt æqualis. ſed [ex hyp.] angulus ΓΔΕ angulis qui ſunt ad puncta Α, Γ æqualis ponitur: ergo & ΑΕΔ angulus angulis qui ſunt ad Α, Γ eſt æqualis. eadem ratione & angulus ΑΒΓ æqualis eſt angulis qui ſunt ad Α, Γ, Δ puncta: æquiangulum igitur eſt ΑΒΓΔΕ pentagonum. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ η'.

Εὰν πενταγώνου ἰσοπλεύρου καὶ ἰσογωνίου τὰς κατὰ τὸ ἑξῆς δύο γωνίας ὑποτείνωσιν εὐθεῖαι, ἄκρον καὶ μέσον λόγον τέμνουσιν ἀλλήλας, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ.

PROP. VIII. THEOR.

Si pentagoni æquilateri & æquianguli duos qui deinceps ſunt angulos ſubtendant rectæ lineæ, extrema ac media ratione ſe mutuo ſecant; & majores ipſarum portiones pentagoni lateri ſunt æquales.

ΠΕνταγώνου γὰρ ἰσοπλεύρου καὶ ἰσογωνίου τοῦ ΑΒΓΔΕ δύο γωνίας, τὰς κατὰ τὸ ἑξῆς τὰς πρὸς τοῖς Α, Β, ὑποτεινέτωσαν εὐθεῖαι αἱ ΑΓ, ΒΕ, τέμνουσαι ἀλλήλας κατὰ τὸ Θ σημεῖον· λέγω ὅτι ἑκατέρα αὐτῶν ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα εἰσὶ τῇ τοῦ πενταγώνου πλευρᾷ.

PEntagoni enim æquilateri & æquianguli ΑΒΓΔΕ duos qui ſunt deinceps angulos ad puncta Α, Β ſubtendant rectæ lineæ ΑΓ, ΒΕ, quæ ſeſe in puncto Θ ſecent: dico utramque ipſarum extrema ac media ratione ſecari in puncto Θ; & majores earum portiones pentagoni lateri æquales eſſe.



Περιγεγράφθω γὰρ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλος ὁ ΑΒΓΔΕ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΑ, ΑΒ δυσὶ ταῖς ΑΒ, ΒΓ ἴσαι εἰσὶ, καὶ γωνίας ἴσας περιέχουσι, βάσις ἄρα ἡ ΒΕ βάσει τῇ ΑΓ ἴση ἐστὶ, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΑΒΓ τριγώνῳ ἴσον ἐστὶ, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΑΒΕ· διπλῆ ἄρα ἡ ὑπὸ ΑΘΕ τῆς ὑπὸ ΒΑΘ γωνίας, ἐκτὸς γάρ ἐστι τοῦ ΑΒΘ τριγώνου. ἔστι δὲ καὶ ἡ ὑπὸ ΕΑΓ τῆς ὑπὸ ΒΑΓ διπλῆ, ἐπειδὴ καὶ περιφέρεια ἡ ΕΔΓ περιφερείας τῆς ΓΒ ἐστὶ διπλῆ· ἴση ἄρα ἡ ὑπὸ ΘΑΕ γωνία τῇ ὑπὸ ΑΘΕ· ὥστε καὶ ἡ ΘΕ εὐθεῖα τῇ ΕΑ, τουτέστι

Deſcribatur enim [per 14. 4.] circa ΑΒΓΔΕ pentagonum circulus ΑΒΓΔΕ. & quoniam duæ rectæ lineæ ΕΑ, ΑΒ duabus ΑΒ, ΒΓ æquales ſunt & angulos æquales continent; erit [per 4. 1.] baſis ΒΕ baſi ΑΓ æqualis, & ΑΒΕ triangulum æquale triangulo ΑΒΓ, & reliqui anguli reliquis angulis æquales, alter alteri, quibus æqualia latera ſubtenduntur: æqualis igitur eſt ΒΑΓ angulus angulo ΑΒΕ: ergo [per 6 & 32. 1.] ΑΘΕ angulus anguli ΒΑΘ eſt duplus; eſt etenim extra triangulum ΑΒΘ. eſt autem [per 33. 6.] & angulus ΕΑΓ duplus anguli ΒΑΓ, quoniam circumferentia ΕΔΓ circumferentiæ ΓΒ eſt dupla: ergo ΘΑΕ angulus æqualis eſt angulo ΑΘΕ; quare [per 6. 1.] recta ΘΕ eſt æqualis ipſi ΕΑ, hoc

eſt, ipſi AB. & quoniam BA eſt æqualis AE; erit & angulus ABE [per 5. 1.] angulo AEB æqualis. ſed angulus ABE oſtenſus eſt æqualis angulo BAΘ: ergo & BEA angulus æqualis eſt angulo BAΘ. verum angulus ABE eſt communis duobus triangulis, videlicet triangulo ABE & triangulo ABΘ; reliquus igitur BAE [per 32. 1.] reliquo AΘB eſt æqualis: ergo triangulum ABE æquiangulum eſt triangulo ABΘ; ideoque [per 4. 6.] ut EB ad BA ita eſt AB ad BΘ. æqualis autem eſt BA ipſi EΘ: & igitur ut BE ad EΘ ita EΘ ad ΘB. ſed BE major eſt quam EΘ: ergo & EΘ quam ΘB eſt major: recta igitur linea BE [per 30. 6.] extrema ac media ratione ſecta eſt in Θ, & major ejus portio ΘE pentagoni lateri eſt æqualis. ſimiliter demonſtrabimus & AΓ extrema ac media ratione ſecari in Θ, & majorem ejus portionem ΓΘ pentagoni lateri æqualem eſſe. quod erat demonſtrandum.



τῇ AB ἐστιν ἴση. Ὁ ἐπεὶ ἴση ἐστὶν ἡ BA εὐθεῖα τῇ AE, ἴση ἐστὶ Ὁ γωνία ἡ ὑπὸ ABE τῇ ὑπὸ AEB. ἀλλὰ ἡ ὑπὸ ABE τῇ ὑπὸ BAΘ ἐδείχθη ἴση· καὶ ἡ ὑπὸ BEA ἄρα γωνία τῇ ὑπὸ BAΘ ἐστιν ἴση. καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ τε ABE καὶ τοῦ ABΘ ἐστιν ἡ ὑπὸ ABE· λοιπὴ ἄρα ἡ ὑπὸ BAE γωνία λοιπῇ τῇ ὑπὸ AΘB ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ ABE τριγωνον τῷ ABΘ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ EB πρὸς τὴν BA οὕτως ἡ AB πρὸς τὴν BΘ. ἴση δὲ ἡ BA τῇ EΘ· ὡς ἄρα ἡ BE πρὸς τὴν EΘ οὕτως ἡ EΘ πρὸς τὴν ΘB. μείζων δὲ ἡ BE τῆς EΘ· μείζων ἄρα καὶ ἡ EΘ τῆς ΘB· ἡ BE ἄρα ἄκρον Ὁ μέσον λόγον τέτμηται κατὰ Θ, καὶ τὸ μεῖζον τμῆμα τὸ ΘE ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ AΓ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμα τὸ ΓΘ ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ. ὅπερ ἔδει δεῖξαι.

PROP. IX. THEOR.

Si latera hexagoni & decagoni in eodem circulo deſcriptorum componantur; erit tota recta extrema ac media ratione ſecta, & major ipſius portio erit hexagoni latus.

SIT circulus ABΓ, &, deſcriptarum in ABΓ circulo figurarum, ſit decagoni quidem latus BΓ, hexagoni vero ΓΔ, & in directum ſibi ipſis conſtituantur: dico totam rectam lineam BΔ extrema ac media ratione ſecari in Γ, & majorem ejus portionem eſſe ΓΔ.

Sumatur enim centrum circuli, quod ſit E; jungunturque EB, EΓ, EΔ, & BE ad A producatur. quoniam igitur BΓ eſt decagoni æquilateri latus, erit AΓB circumferentia circumferentiæ BΓ quintupla; quare circumferentia AΓ quadrupla eſt circumferentiæ ΓB. ut autem circumferentia AΓ ad ipſam ΓB ita [per 33. 6.] AEΓ angulus ad angulum ΓEB: angulus igitur AEΓ anguli ΓEB quadruplus eſt. & quoniam [per 5. 1.] EBΓ angulus eſt æqualis angulo EΓB, erit [per 32. 1.] angulus AEΓ anguli EΓB duplus. & quoniam recta linea EΓ æqualis ipſi ΓΔ; utraque enim [per hyp. & 15. 4.] eſt æqualis



ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν ἡ τοῦ ἑξαγώνου πλευρὰ καὶ ἡ τοῦ δεκαγώνου τῶν εἰς αὐτὸν ἐγγραφομένων συντεθῶσιν· ἡ ὅλη εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ τοῦ ἑξαγώνου πλευρά.

Ἔστω κύκλος ὁ ABΓ, καὶ τοῦ εἰς τὸν ABΓ κύκλον ἐγγραφομένων σχημάτων δεκαγώνου μὲν ἔστω πλευρὰ ἡ BΓ, ἑξαγώνου δὲ ἡ ΓΔ, καὶ ἐπ' εὐθείας· λέγω ὅτι ἡ ὅλη εὐθεῖα ἡ BΔ ἄκρον Ὁ μέσον λόγον τέτμηται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ ΓΔ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου, καὶ ἔστω τὸ E σημεῖον, Ὁ ἐπεζεύχθωσαν αἱ EB, EΓ, EΔ, καὶ διήχθω ἡ BE ἐπὶ τὸ A. καὶ ἐπεὶ δεκαγώνου ἰσοπλεύρου πλευρά ἐστιν ἡ BΓ, πενταπλασίων ἄρα ἡ AΓB περιφέρεια τῆς BΓ περιφερείας· πενταπλασίων ἄρα ἡ AΓ περιφέρεια τῆς ΓB. ὡς δὲ ἡ AΓ περιφέρεια πρὸς τὴν ΓB οὕτως ἡ ὑπὸ AEΓ γωνία πρὸς τὴν ὑπὸ ΓEB· πενταπλασίων ἄρα ἡ ὑπὸ AEΓ τῆς ὑπὸ ΓEB. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ EBΓ γωνία τῇ ὑπὸ EΓB, ἡ ἄρα ὑπὸ AEΓ γωνία διπλασία ἐστὶ τῆς ὑπὸ EΓB. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ EΓ εὐθεῖα τῇ ΓΔ, ἑκατέρα ἄρα αὐτῶν ἴση

ἴση ἐστὶ τῇ τοῦ ἑξαγώνου πλευρᾷ, τοῦ εἰς τὸν ΑΒΓ κύκλον ἐγγραφομένου, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΓΕΔ γωνίᾳ τῇ ὑπὸ ΓΔΕ· διπλασία ἄρα ἡ ὑπὸ ΕΓΒ τῆς ὑπὸ ΕΔΓ. ἀλλὰ τῆς ὑπὸ ΕΓΒ διπλασία ἐδείχθη ἡ ὑπὸ ΑΕΓ· τετραπλασία ἄρα ἡ ὑπὸ ΑΕΓ τῆς ὑπὸ ΕΔΓ. ἐδείχθη δὲ καὶ τῆς ὑπὸ ΒΕΓ τετραπλασία ἡ ὑπὸ ΑΕΓ· ἴση ἄρα ἡ ὑπὸ ΕΔΓ τῇ ὑπὸ ΒΕΓ. κοινὴ δὲ τῶν δύο τριγώνων, τοῦ τε ΒΕΓ καὶ τοῦ ΒΕΔ, ἡ ὑπὸ ΕΒΔ γωνία· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΔ λοιπῇ τῇ ὑπὸ ΕΓΒ ἐστιν ἴση· ἰσογώνιον ἄρα τὸ ΕΒΔ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ οὕτως ἡ ΕΒ πρὸς τὴν ΒΓ. ἴση δὲ ἡ ΕΒ τῇ ΓΔ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΒ. μείζων δὲ ἡ ΒΔ τῆς ΔΓ· μείζων ἄρα καὶ ἡ ΔΓ τῆς ΓΒ· ἡ ΒΔ ἄρα τέμνεται κατὰ τὸ Γ, καὶ τὸ μεῖζον τμῆμα αὐτῆς ἐστιν ἡ ΔΓ. ὅπερ ἔδει δεῖξαι.

lateri hexagoni quod in circulo ABΓ describitur: quare [per 5. 1.] & angulus ΓΕΔ æqualis est angulo ΓΔΕ: est igitur [per 32. 1.] angulus ΕΓΒ anguli ΕΔΓ duplus. sed angulus ΑΕΓ duplus ostensus est anguli ΕΓΒ: angulus igitur ΑΕΓ anguli ΕΔΓ est quadruplus. ostensus autem est & angulus ΑΕΓ quadruplus anguli ΒΕΓ: ergo ΕΔΓ angulus angulo ΒΕΓ æqualis erit. at vero angulus ΕΒΔ communis est duobus triangulis ΒΕΓ, ΒΕΔ: & reliquus igitur ΒΕΔ [per 32. 1.] reliquo ΕΓΒ est æqualis: ideoque triangulum ΕΒΔ triangulo ΕΒΓ æquiangulum est: ergo [per 4. 6.] ut ΔΒ ad ΒΕ ita ΕΒ ad ΒΓ. æqualis autem est [per 15. 4.] ΕΒ ipsi ΓΔ: ut igitur ΒΔ ad ΔΓ ita ΔΓ ad ΓΒ atque est ΒΔ major quam ΔΓ: ergo & ΔΓ quam ΓΒ est major: quare [per 3. def. 6.] recta linea ΒΔ extrema ac media ratione secta est in Γ, & ΔΓ est major ipsius portio. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν εἰς κύκλον πενταγώνου ἰσοπλεύρου ἐγγεγραφῇ· ἡ τοῦ πενταγώνου πλευρὰ δυνατή ἐστι τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου, τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων.

Prop. X. Theor.

Si in circulo pentagonum æquilaterum describatur; latus pentagoni potest & hexagoni & decagoni latus in eodem circulo descriptorum.

Ἔστω κύκλος ὁ ΑΒΓΔΕ, καὶ εἰς τὸν αὐτὸν πενταγώνου ἐγγεγράφθω ἰσόπλευρον τὸ ΑΒΓΔΕ· λέγω ὅτι ἡ τοῦ ΑΒΓΔΕ πενταγώνου πλευρὰ δυνατή ἐστι τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου πλευράν, τῶν εἰς τὸν ΑΒΓΔΕ κύκλον ἐγγραφομένων.

SIT circulus ΑΒΓΔΕ, & in ipso pentagonum æquilaterum ΑΒΓΔΕ describatur: dico pentagoni ΑΒΓΔΕ latus posse & latus hexagoni & latus decagoni in eodem circulo descriptorum.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΒ, καὶ διήχθωσαν ἐπὶ τὸ Η σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΖΒ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΑΒ κάθετος ἤχθω ἡ ΖΘ, καὶ διήχθω ἐπὶ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΚΒ, καὶ πάλιν ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΑΚ κάθετος ἤχθω ἡ ΖΛ, καὶ διήχθω ἐπὶ τὸ Μ, καὶ ἐπεζεύχθω ἡ ΚΝ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒΓΗ περιφέρεια τῇ ΑΕΔΗ περιφερείᾳ, ὧν ἡ ΑΒΓ τῇ ΑΕΔ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ΓΗ περιφέρεια λοιπῇ τῇ ΔΗ ἐστιν ἴση. πενταγώνου γάρ ἡ ΓΔ· δεκαγώνου ἄρα ἡ ΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, καὶ κάθετος ἡ ΖΘ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΑΖΚ γωνία τῇ ὑπὸ ΚΖΒ· ὥστε καὶ περιφέρεια ἡ ΑΚ τῇ ΚΒ ἐστιν ἴση· διπλῆ ἄρα ἡ ΑΒ περιφέρεια τῆς ΒΚ περιφερείας· δεκαγώνου ἄρα πλευρά ἐστιν ἡ ΑΚ εὐθεῖα. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΑΚ τῇ ΚΜ ἐστι διπλῆ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΒ περιφέρεια τῆς ΒΚ περιφερείας, ἴση δὲ ἡ ΓΔ περιφέρεια τῇ ΑΒ περιφερείᾳ· διπλῆ ἄρα καὶ ἡ ΓΔ περιφέρεια τῆς ΒΚ περιφερείας. ἔστι δὲ ἡ ΓΔ περιφέρεια καὶ τῆς ΓΗ διπλῆ



Sumatur enim centrum circuli Z, junctaque ΑΖ ad Η producatur, & jungatur ΖΒ; deinde à puncto Ζ ad ΑΒ perpendicularis agatur ΖΘ, & ad Κ producatur; junganturque ΑΚ, ΚΒ: & rursus à puncto Ζ ad ΑΚ perpendicularis agatur ΖΛ, & producatur ad Μ, & ΚΝ jungatur. quoniam igitur circumferentia ΑΒΓΗ est æqualis circumferentiæ ΑΕΔΗ, ex quibus ΑΒΓ æqualis est ipsi ΑΕΔ; erit reliqua ΓΗ reliquæ ΗΔ æqualis. sed ΓΔ est latus pentagoni: ergo ΓΗ decagoni latus erit. & quoniam ΑΖ est æqualis ΖΒ, & ΖΘ perpendicularis; erit & angulus ΑΖΚ æqualis angulo ΚΖΒ: quare & circumferentia ΑΚ circumferentiæ ΚΒ est æqualis: dupla igitur est circumferentia ΑΒ circumferentiæ ΒΚ; & ob id recta linea ΑΚ est decagoni latus. eadem ratione & ΑΚ est dupla ΚΜ. & quoniam circumferentia ΑΒ dupla est circumferentiæ ΒΚ, æqualis autem est ΓΔ circumferentia circumferentiæ ΑΒ; erit circumferentia ΓΔ circumferentiæ ΒΚ dupla. est autem ΓΔ dupla

ipsius

que punctorum A, E: positione igitur [per 26. dat.] data est A B. est autem & B Γ positione data: ergo * angulus A E Δ datus est. est autem [ex hyp.] angulus A Δ E datus: quare & [per 32. 1. & 4. dat.] reliquus E A Δ datus est. quoniam itaque ad positione datam rectam A E, & datum in ea punctum A, recta linea A Δ acta est, quæ facit angulum E A Δ datum: igitur [per 29. dat.] recta A Δ positione data est.



A, E σημείων· θέσει ἄρα ἐστὶν ἡ A E. θέσει δὲ καὶ ἡ B Γ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ A E Δ γωνία. δοθεῖσα δὲ ἡ ὑπὸ A Δ E· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ τ E A Δ δοθεῖσά ἐστιν. ἐπεὶ οὖν πρὸς θέσει δεδομένην εὐθεῖαν τὴν A E, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A, εὐθεῖα γραμμὴ ἦκται ἡ A Δ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ E A Δ· θέσει ἄρα ἐστὶν ἡ A Δ.

Prop. XXXI.

Si à dato puncto, in datam positione rectam, data magnitudine recta producatur; ea etiam positione data est.

A Dato enim puncto A agatur in positione datam rectam B Γ data magnitudine recta A Δ: dico eam etiam positione datam esse.

Centro enim A, intervallo autem A Δ, circulus E Δ Z describatur. itaque [per 6. def. dat.] positione datus est circulus E Δ Z: nam ejus centrum positione datum est, & quæ ex centro, ipsa A Δ, magnitudine. sed & recta B Γ est etiam positione data. at vero si duæ lineæ positione datæ se invicem secent; punctum intersectionis [per 25. dat.] datum est: ergo datum est punctum Δ. est autem punctum A datum: quare [per 26. dat.] A Δ positione data est.



Πρότασις λά.

Ἐὰν ἀπὸ δεδομένου σημείου ὁπὶ θέσει δεδομένῃ εὐθεῖαν εὐθεῖα γραμμὴ προσβληθῇ δεδομένην τῷ μεγέθει, δέδοται καὶ τῇ θέσει.

Ἀπὸ γὰρ δεδομένου σημείου τοῦ A ὁπὶ θέσει δεδομένην εὐθεῖαν τὴν B Γ εὐθεῖα γραμμὴ ἦχθω ἡ A Δ, δεδομένη τῷ μεγέθει· λέγω ὅτι καὶ τῇ θέσει δέδοται.

Κέντρῳ γὰρ τῷ A, διαστήματι δὲ τῷ A Δ, κύκλος γεγράφθω ὁ E Δ Z. θέσει ἄρα ἐστὶν ὁ E Δ Z κύκλος, δέδοται γὰρ αὐτοῦ τὸ A κέντρον τῇ θέσει, καὶ ἡ ἐκ τοῦ κέντρου ἡ A Δ τῷ μεγέθει. θέσει δὲ καὶ ἡ B Γ εὐθεῖα. ἐὰν δὲ δύο γραμμαὶ τῇ θέσει δεδομένην τέμνωσιν ἀλλήλας, δέδοται τὸ σημεῖον, καθ' ὃ τέμνουσιν ἀλλήλας· δοθὲν ἄρα ἐστὶ τὸ Δ. ἔστι δὲ καὶ τὸ A δοθέν· θέσει ἄρα ἐστὶν ἡ A Δ.

Prop. XXXII.

Si in positione datas parallelas rectas agatur recta linea, quæ faciat angulos datos; acta recta magnitudine data est.

IN datas enim positione parallelas rectas A B, Γ Δ agatur recta linea E Z, faciens angulos B E Z, E Z Δ datos: dico magnitudine datam esse rectam E Z.

Sumatur enim in Γ Δ datum punctum H, & [per 31. 1.] per H agatur ipsi E Z parallela H Θ. & quoniam parallela est H Θ ipsi E Z, & in illas incidit Γ Δ; erit [per 29. 1.] angulus E Z Δ angulo Θ H Δ æqualis. angulus autem E Z Δ [ex hyp.] datus est: quare & angulus Θ H Δ datus est. quoniam itaque ad positione da-



Πρότασις λβ'.

Ἐὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, δεδομένας ποιοῦσα γωνίας, δέδοται ἡ ἀχθεῖσα τῷ μεγέθει.

Εἰς γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς A B, Γ Δ, εὐθεῖα γραμμὴ ἦχθω ἡ E Z, δεδομένας ποιοῦσα γωνίας τὰς ὑπὸ B E Z, E Z Δ· λέγω ὅτι δέδοται ἡ E Z τῷ μεγέθει.

Εἰλήφθω γὰρ ὁπὶ τῇ Γ Δ δοθὲν σημεῖον τὸ H, καὶ διὰ τοῦ H τῇ E Z παράλληλος ἦχθω ἡ H Θ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ H Θ τῇ E Z, καὶ εἰς αὐτὰς εὐθεῖα ἐμπέπτωκεν ἡ Γ Δ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ E Z Δ τῇ ὑπὸ Θ H Δ. δοθεῖσα δὲ ἡ ὑπὸ E Z Δ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ Θ H Δ. ἐπεὶ οὖν πρὸς θέσει δεδο-

* Nam rectarum positione datarum datur inclinatio ad invicem; hoc est, angulus ab illis comprehensus.

μένην

μένη εὐθείᾳ τῇ ΓΔ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ δεδομένῳ τῷ Η, εὐθεῖα γραμμὴ ἤκται ἡ ΗΘ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΘΗΖ· θέσει ἄρα ἐστὶν ἡ ΗΘ. θέσει δὲ καὶ ἡ ΑΒ· δοθὲν ἄρα καὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Η δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΗΘ τῷ μεγέθει. καὶ ἔστιν ἴση τῇ ΕΖ· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ΕΖ τῷ μεγέθει.

tam rectam ΓΔ, & datum in ea punctum Η, acta eſt recta ΗΘ, quæ facit angulum ΘΗΖ datum: poſitione data erit [per 29. dat.] recta ΗΘ. eſt autem [ex hyp.] ΑΒ poſitione data: itaque [per 25. dat.] punctum Θ datum eſt. eſt autem [per conſtr.] punctum Η datum; quare [per 26. dat.] ΗΘ magnitudine data eſt. atque [per 34.1.] eſt æqualis ipſi ΕΖ: ergo etiam [per 1. def. dat.] ΕΖ magnitudine data eſt.

ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, δεδομένην τῷ μεγέθει· δεδομένας ποιήσει γωνίας.

PROP. XXXIII.

Si in datas poſitione rectas parallelas agatur recta magnitudine data; faciet ea angulos datos.

Εἰς γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΕΖ, δεδομένη τῷ μεγέθει· λέγω ὅτι δεδομένας ποιήσει γωνίας τὰς ὑπὸ ΑΕΖ, ΕΖΓ.

IN datas enim poſitione parallelas rectas ΑΒ, ΓΔ agatur recta ΕΖ magnitudine data: dico quod ipſa faciet angulos ΑΕΖ, ΕΖΓ datos.



Εἰλήφθω γὰρ ὅπου τῆς ΑΒ δοθὲν σημεῖον τὸ Η, καὶ διὰ τοῦ Η τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΗΘ· ἴση ἄρα ἐστὶν ἡ ΖΕ τῇ ΗΘ. δοθεῖσα δὲ ΕΖ τῷ μεγέθει· δοθεῖσα ἄρα καὶ ἡ ΗΘ τῷ μεγέθει. καὶ ἔστι τὸ Η δοθέν· ὁ ἄρα κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΗΘ, κύκλος γραφόμενος ἔσται τῇ θέσει. γεγράφθω, καὶ ἔστω ὁ ΚΘΛ· θέσει ἄρα ἐστὶν ὁ ΚΘΛ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθὲν ἄρα ἐστὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Η δοθέν· θέσει ἄρα ἐστὶν ἡ ΗΘ. θέσει δὲ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΗΘΓ γωνία. καὶ ἔστι τῇ ὑπὸ ΕΖΓ ἴση· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΕΖΓ· ἡ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΕΖ δοθεῖσά ἐστι.

Accipiatur enim in recta ΑΒ datum punctum Η, & per punctum Η agatur [per 31. 1.] ipſi ΕΖ parallela ΗΘ: æqualis igitur [per 34.1.] eſt ΖΕ ipſi ΗΘ. eſt autem [ex hyp.] ΕΖ magnitudine data: ergo ΗΘ magnitudine data eſt. & datum eſt punctum Η: quare [per 6. def. dat.] centro Η, intervallo ΗΘ, deſcriptus circulus poſitione datus erit. deſcribatur, & ſit ΚΘΛ: poſitione igitur datus eſt circulus ΚΘΛ. eſt autem [ex hyp.] ΓΔ poſitione data: ergo [per 25. dat.] datum eſt punctum Θ. ſed & [per conſtr.] punctum Η datum eſt: quare [per 26.dat.] recta ΗΘ poſitione data eſt. poſitione autem data eſt [ex hyp.] recta ΓΔ: itaque angulus ΗΘΓ datus eſt. & eſt ΗΘΓ [per 29. 1.] ipſi ΕΖΓ æqualis: igitur angulus ΕΖΓ datus eſt: igitur [per 32. 1. & 4. dat.] & reliquus ΑΕΖ datus eſt.

ΑΛΛΩΣ.

Εἰλήφθω ὅπου τῆς ΓΔ δοθὲν σημεῖον τὸ Η, καὶ κείσθω τῇ ΕΖ ἴση ἡ ΗΔ, καὶ κέντρῳ μὲν τῷ Η, διαστήματι δὲ τῷ ΗΔ κύκλος γεγράφθω ὁ ΔΒ· θέσει ἄρα ὁ ΔΒ κύκλος, δέδοται γὰρ αὐτοῦ τὸ κέντρον τῇ θέσει, καὶ ἡ ἐκ κέντρου τῷ μεγέθει. θέσει δὲ καὶ ἡ ΑΒ· δοθὲν ἄρα ἐστὶ τὸ Β σημεῖον. ἔστι δὲ καὶ τὸ Η δοθέν· θέσει ἄρα ἐστὶν ἡ ΗΒ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΗΔ γωνία. καὶ εἰ μὲν παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΗΒ, ἔσται καὶ ἡ ὑπὸ ΕΖΗ γωνία δοθεῖσα· ὥστε καὶ λοιπὴ ἡ ὑπὸ ΖΕΒ γωνία δοθεῖσα ἐστίν· εἰ δὲ μή, ἐκβαλλομένη ἡ ΕΖ συμπεσεῖται τῇ ΗΒ· ἐκβεβλήσθω καὶ συμπιπτέτω κατὰ τὸ Κ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΚΗΔ γωνία· καὶ ἡ ὑπὸ ΚΖΓ ἄρα δοθεῖσα ἐστίν· καὶ ἡ ὑπὸ ΑΕΖ ἄρα δοθεῖσά ἐστιν.

ALITER.

Sumatur in recta ΓΔ datum punctum Η, & ponatur ipſi ΕΖ æqualis ΗΔ, dein centro quidem Η, intervallo autem ΗΔ, circulus ΔΒ deſcribatur: poſitione igitur datus eſt [per 6. def. dat.] circulus ΔΒ; ipſius enim centrum poſitione datum eſt, & ea quæ ex centro magnitudine. eſt autem [ex hyp.] recta ΑΒ poſitione data: quare [per 25. dat.] punctum Β datum eſt. verum [per conſtr.] & punctum Η datum eſt: itaque poſitione data eſt recta ΗΒ. ſed [ex hyp.] poſitione data eſt etiam recta ΓΔ: ergo angulus ΒΗΔ datus eſt. unde, ſi parallela ſit ΕΖ ipſi ΗΒ, angulus ΕΖΗ [per 29.1. & 1.def.dat.] datus erit: necnon & reliquus angulus ΖΕΒ [per



32. 1. & 4. dat.] datus erit. si vero parallelæ non sint; rectæ EZ, BH concurrant in puncto Θ. quoniam itaque [per constr.] æqualis est EZ ipsi ΔH, hoc est ipsi HB; atque [ex hyp.] parallela est EB ipsi ZH: erit [per 2. 6.] ZΘ ipsi ΘH æqualis: quare [per 6. 1.] & angulus ΘHZ angulo ΘZH æqualis est. datus autem [per 15. 1.] est angulus ΘHZ: ergo angulus HZΘ datus est: quare [per 32. 1. & 4. dat.] & qui deinceps est angulus HZE datus est: angulus igitur ZEB datus est.



θεῖαί εἰσι. εἰ δὲ οὔ, συμπιπτέτωσαν αἱ EZ, BH κατὰ τὸ Θ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ EZ τῇ ΔH, τοῦτ' ἔστι τῇ HB, καὶ ἔστι παράλληλος ἡ EB τῇ ZH· ἴση ἄρα ἐστὶ καὶ ἡ ZΘ τῇ ΘH· ὥστε καὶ γωνία ἡ ὑπὸ ΘHZ γωνίᾳ τῇ ὑπὸ ΘZH ἐστιν ἴση. δοθεῖσα δὲ ἡ ὑπὸ ΘHZ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ HZΘ· ὥστε καὶ ἡ ἐφεξῆς ἡ ὑπὸ HZE δοθεῖσά ἐστι· καὶ ἡ ὑπὸ ZEB ἄρα δοθεῖσά ἐστι.

PROP. XXXIV.

Si in datas positione parallelas rectas à dato puncto recta linea agatur; secabitur illa in data ratione.

IN parallelas enim positione datas rectas AB, ΓΔ, à dato puncto E, agatur linea EZH: dico ipsius EZ ad ZH rationem datam esse.

Agatur enim [per 12. 1.] à puncto E in rectam ΓΔ perpendicularis EKΘ. & quoniam à dato puncto E ad positione datam rectam ΓΔ recta EΘ acta est, quæ facit angulum EΘH datum: [per 30. dat.] positione data erit EΘ. est autem [ex hyp.] utraque rectarum AB, ΓΔ positione data: itaque [per 25. dat.] utrumque punctorum K, Θ datum est. sed & punctum E datum est: quare [per 26. dat.] utraque rectarum EK, KΘ data est: igitur [per 1. dat.] ratio ipsius EK ad KΘ data est. sed [per 2. 6.] est EK ad KΘ ut EZ ad ZH: ergo [per 2. def. dat.] ratio ipsius EZ ad ZH data est.



ΠΡΟΤΑΣΙΣ λδ'.

Ἐὰν εἰς παραλλήλους τῇ θέσει δεδομένας εὐθείας ἀπὸ δεδομένου σημείου εὐθεῖα γραμμὴ ἀχθῇ, εἰς δεδομένον λόγον τμηθήσεται.

ΕΙΣ γὰρ παραλλήλους τῇ θέσει δεδομένας εὐθείας τὰς AB, ΓΔ, ἀπὸ δεδομένου σημείου τοῦ E, εὐθεῖα γραμμὴ ἤχθω ἡ EZH· λέγω ὅτι λόγος ἐστὶ τοῦ EZ πρὸς τὸ ZH δοθείς.

Ηχθω γὰρ ἀπὸ τοῦ E σημείου ἐπὶ τὴν ΓΔ κάθετος ἡ EKΘ. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ E ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ εὐθεῖα γραμμὴ ἦκται ἡ EΘ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ EΘH· θέσει ἄρα ἐστὶν ἡ EΘ. θέσει δὲ καὶ ἑκατέρα τῶν AB, ΓΔ· δοθὲν ἄρα ἐστὶν ἑκάτερον τῶν K, Θ σημείων. ἔστι δὲ καὶ τὸ E δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν EK, KΘ· λόγος ἄρα τῆς EK πρὸς τὴν KΘ δοθείς. καὶ ἔστιν ὡς ἡ EK πρὸς τὴν KΘ οὕτως ἡ EZ πρὸς τὴν ZH· λόγος ἄρα καὶ τοῦ EZ πρὸς τὴν ZH δοθείς.

* ALITER.

In parallelas enim positione datas rectas AB, ΓΔ, per datum punctum E, agatur recta linea ZEH: dico ipsius HE ad EZ rationem datam esse.

Agatur enim [per 12. 1.] à puncto E in rectam ΓΔ perpendicularis EΘ, & producatur ad punctum K. quoniam igitur à puncto dato E ad positione datam rectam ΓΔ acta est EΘ, quæ facit angulum



* ΑΛΛΩΣ.

Εἰς γὰρ παραλλήλους τῇ θέσει δεδομένας τὰς AB, ΓΔ, ἀπὸ δεδομένου σημείου τοῦ E, εὐθεῖα γραμμὴ ἤχθω ἡ ZEH· λέγω ὅτι λόγος ἐστὶ τοῦ HE πρὸς τὴν EZ δοθείς.

Ηχθω γὰρ ἀπὸ τοῦ E σημείου ἐπὶ τὴν ΓΔ κάθετος ἡ EΘ, ἐκβεβλήσθω ἐπὶ τὸ K. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ E ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ ἦκται ἡ EΘ, δεδομένην ποιοῦσα γωνίαν

* Est verius casus alter quam alia demonstratio.

τὴν

τῷ ὑπὸ ΕΘΗ· θέσει ἄρα ἐστὶν ἡ ΕΘ. θέσει δὲ καὶ ἑκατέρα τῶν ΑΒ, ΓΔ· ἑκάτερον ἄρα τῶν Κ, Θ σημείων δοθέν ἐστιν. ἔστι καὶ τὸ Ε δοθέν· δοθεῖσα ἄρα ἑκατέρα τῶν ΘΕ, ΕΚ· λόγος ἄρα τοῦ ΘΕ πρὸς τὴν ΕΚ δοθείς. ὡς δὲ ἡ ΘΕ πρὸς τὴν ΕΚ ὅλη ἡ ΗΕ πρὸς τὴν ΕΖ· λόγος ἄρα καὶ τοῦ ΗΕ πρὸς τὴν ΕΖ δοθείς.

ΕΘΗ datum; data erit positione [per 30. dat.] ipsa ΕΘ. est autem [ex hyp.] utraque rectarum ΑΒ, ΓΔ positione data: quare [per 25. dat.] utrumque punctorum Κ, Θ datum est. datum autem est [ex hyp.] punctum Ε: ergo [per 26. dat.] utraque rectarum ΘΕ, ΕΚ data est: ideoque [per 1. dat.] ipsius ΘΕ ad ΕΚ ratio est data. verum ut ΘΕ ad ΕΚ ita [per 4. 6.] ΗΕ ad ΕΖ: itaque [per 2. def. dat.] ratio ipsius ΗΕ ad ΕΖ data est.

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ἀπὸ δεδομένου σημείου ὅπῃ θέσει δεδομένην εὐθεῖαν εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ τμηθῇ εἰς δεδομένον λόγον, ἁψὴ δὲ τομῆς παρὰ τὸ θέσει δεδομένῳ εὐθεῖαν εὐθεῖα γραμμὴ ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

PROP. XXXV.

Si à dato puncto in datam positione rectam ducatur recta linea, secetur-que in data ratione, per punctum vero sectionis contra datam positione rectam agatur recta linea; acta recta positione data est.

Ἀπὸ γὰρ δεδομένου σημείου τοῦ Α ὅπῃ θέσει δεδομένην εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΑΔ, καὶ τετμήσθω εἰς δεδομένον λόγον, τὸν τῆς ΔΕ πρὸς ΕΑ, καὶ ἤχθω διὰ τοῦ Ε τῇ ΒΓ παράλληλος ἡ ΖΕΗ· λέγω ὅτι θέσει ἐστὶν ἡ ΖΕΗ.

A Dato enim puncto Α in positione datam rectam ΒΓ agatur recta linea ΑΔ, & secetur in data ratione, scilicet ipsius ΔΕ ad ΕΑ, & agatur per punctum Ε ipsi ΒΓ parallela ΖΕΗ: dico positione datam esse ΖΕΗ.



Ἤχθω γὰρ ἀπὸ τοῦ Α ὅπῃ τῇ ΒΓ κάθετος ἡ ΑΘ. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ Α ὅπῃ τῇ θέσει δεδομένῃ εὐθείᾳ τῇ ΒΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ΑΘ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΑΘΔ· θέσει ἄρα ἐστὶν ἡ ΑΘ. θέσει δὲ καὶ ἡ ΒΓ· δοθὲν ἄρα τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ Α δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΑΘ τῇ θέσει καὶ τῷ μεγέθει· καὶ ἐπεὶ ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΑΚ πρὸς τὴν ΚΘ, καὶ ἔστι λόγος τῆς ΑΕ πρὸς τὴν ΕΔ δοθείς· λόγος ἄρα τῆς ΑΚ πρὸς τὴν ΚΘ δοθείς· συνθέντι ἄρα λόγος τῆς ΑΘ πρὸς τὴν ΑΚ δοθείς. δοθεῖσα δὲ ἡ ΑΘ τῷ μεγέθει· δοθεῖσα ἄρα καὶ ἡ ΑΚ τῷ μεγέθει. ἀλλὰ καὶ τῇ θέσει, καὶ δοθὲν τὸ Α· δοθὲν ἄρα καὶ τὸ Κ. ἐπεὶ οὖν διὰ δεδομένου σημείου τοῦ Κ, ὅπῃ θέσει δεδομένῃ εὐθεῖαν τὴν ΒΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΗ· θέσει ἄρα ἐστὶν ὁ ΖΗ·

Ducatur enim à puncto Α ad rectam ΒΓ perpendicularis ΑΘ. quoniam, ergo à dato puncto Α in datam positione rectam ΒΓ acta est recta linea ΑΘ, quæ facit angulum ΑΘΔ datum: [per 30. dat.] positione data erit ipsa ΑΘ. est autem [ex hyp.] ΒΓ positione data: itaque [per 25. dat.] datum est punctum Θ. at vero [ex hyp.] punctum Α datum est: ergo [per 26. dat.] recta ΑΘ positione & magnitudine data est. quoniam vero est [per 2. 6.] ut ΑΕ ad ΕΔ ita ΑΚ ad ΚΘ; atq; data est [ex hyp.] ratio ipsius ΑΕ ad ΕΔ: igitur [per 2. def. dat.] ratio ipsius ΑΚ ad ΚΘ data est: ideoq; componendo [per 6. dat.] ipsius ΑΘ ad ΑΚ data est ratio. data autem est Α magnitudine: quare [per 2. dat.] ΑΚ magnitudine data est. sed positione quoque data est ΑΚ; atque datum est [ex hyp.] punctum Α: itaque [per 27. dat.] datum est punctum Κ. quoniam igitur per datum punctum Κ, contra datam positione rectam ΒΓ, recta linea ΖΗ acta est: igitur [per 28. dat.] recta ΖΗ positione data erit.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν ἀπὸ δεδομένου σημείου ὅπῃ θέσει δεδομένῃ εὐθεῖαν εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ προσκεῖται αὐτῇ εὐθεῖα, λόγον ἔχουσα πρὸς αὐτὴν δεδομένον, ἁψὴ δὲ τὸ πέρατος ἡ προσκειμένη παρὰ τὴν θέσει δεδομένῃ εὐθεῖαν εὐ-

PROP. XXXVI.

Si à dato puncto in datam positione rectam lineam ducatur recta linea, atque adjiciatur ipsi aliqua recta, quæ ad illam habeat rationem datam; per extremum vero adjectæ lineæ contra datam positione rectam linea re-

cta agatur: acta recta positione data est.

ΔΘεῖα γραμμὴ ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

A Dato enim puncto A ad positione datam rectam BΓ ducatur recta AΔ: atque adjiciatur ipsi AΔ recta AE, quæ ad AΔ rationem datam habeat; per punctum vero E ipsi BΓ agatur parallela ZK: dico ZK esse positione datam.

Agatur enim à puncto A ad BΓ perpendicularis AΘ, & producatur ad punctum H. quoniam igitur à dato puncto A ad datam positione rectam BΓ acta est recta linea AΘ, quæ facit angulum AΘΓ datum; ΘAH [per 30.dat.] positione data est. est autem [ex hyp.] BΓ positione data: quare [per 25. dat.] datum est punctum Θ. sed & [ex hyp.] punctum A datum est: itaque [per 26. dat.] data est recta AΘ. & quoniam [ex hyp.] ratio ipsius AE ad AΔ data est, & est per 4. 6.] ut AH ad AΘ ita EA ad ΔA. ratio ipsius AH ad AΘ [per 2.def. dat.] data erit. data autem est ΘA: quare [per 2.dat.] & AH magnitudine data est. sed & etiam positione data est AH; atque datum est punctum A: ergo [per 27. dat.] punctum H datum est. quoniam itaque per datum punctum H, contra datam positione rectam BΓ acta est recta linea ZHK: ipsa ZHK [per 28. dat.] positione data est.



Απο γὰρ δεδομένου σημείου τοῦ A ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν BΓ εὐθεῖα γραμμὴ ἦκται ἡ AΔ, καὶ προσκείσθω τῇ AΔ ἡ AE λόγον ἔχουσα πρὸς τὴν AΔ δεδομένον, διὰ δὲ τοῦ E τῇ BΓ παράλληλος ἦκται ἡ ZK· λέγω ὅτι θέσει ἐστὶν ἡ ZK.

Ηκθω γὰρ ἀπὸ τοῦ A ἐπὶ τὴν BΓ κάθετος ἡ AΘ, καὶ διήχθω ἐπὶ τὸ H. καὶ ἐπεὶ ἀπὸ δεδομένου σημείου τοῦ A ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν BΓ εὐθεῖα γραμμὴ ἦκται ἡ AΘ δεδομένην, ποιοῦσα γωνίαν τὴν ὑπὸ AΘΓ· θέσει ἄρα ἐστὶν ἡ ΘAH. θέσει δὲ καὶ ἡ BΓ· δοθὲν ἄρα ἐστὶ τὸ Θ σημεῖον. ἔστι δὲ καὶ τὸ A δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ AΘ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς AE πρὸς τὴν AΔ δοθείς, ὡς δὲ ἡ AH πρὸς τὴν AΘ ἴσως ἡ EA πρὸς τὴν ΔA· λόγος ἄρα καὶ τῆς AH πρὸς τὴν AΘ δοθείς. δοθεῖσα δὲ ἡ ΘA· δοθεῖσα ἄρα καὶ ἡ AH. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ A· δοθὲν ἄρα καὶ τὸ H. ἐπεὶ οὖν διὰ δεδομένου σημείου τοῦ H παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν BΓ εὐθεῖα γραμμὴ ἦκται ἡ ZHK· θέσει ἄρα ἐστὶν ἡ ZHK.

Prop. XXXVII.

Si in parallelas rectas positione datas ducatur recta linea, seceturque in ratione data; per sectionis autem punctum contra datas positione rectas agatur linea recta acta recta positione data est.

ΠΡΟΤΑΣΙΣ λζ'.

Εὰν εἰς ὁποιασοῦν τῶν θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, καὶ τμηθῇ εἰς δεδομένον λόγον, διὰ δὲ τομῆς ὁποιᾶς τῶν ἐν τῇ θέσει δεδομένας εὐθείας εὐθεῖα ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

IN parallelas enim positione datas rectas AB, ΓΔ agatur recta linea EZ, & secetur in data ratione ipsius ZH ad HE; & ducatur per punctum H utriliber rectarum AB, ΓΔ parallela ΘK: dico positione datam esse ΘK.

Sumatur enim in recta AB datum punctum Λ, & deducatur à puncto Λ in rectam ΓΔ perpendicularis ΛN. quoniam itaque à dato puncto Λ, ad datam positione rectam ΓΔ, acta est recta linea ΛN, quæ facit angulum datum ΛNΔ: ipsa ΛN [per 30. dat.] positione data est. est autem [ex hyp.] ΓΔ positione data: ergo [per 25. dat.] datum est punctum N. sed & datum est punctum Λ: quare [per 26.dat.] data est recta ΛN. quoniam vero [ex hyp.] ratio ipsius ZH ad HE data est, atque est [per 2.6.] ut ZH ad HE ita NM ad



Εἰς γὰρ ὁποιανοῦν τῶν θέσει δεδομένας εὐθείας τὰς AB, ΓΔ εὐθεῖα γραμμὴ ἦκται ἡ EZ, καὶ τετμήσθω εἰς δεδομένον λόγον τὸν ὃν ἔχει ZH πρὸς τὴν HE, καὶ διήχθω διὰ τοῦ H ὁποτέρᾳ τῶν AB, ΓΔ παράλληλος ἡ ΘK· λέγω ὅτι θέσει ἐστὶν ἡ ΘK. Ειλήφθω γὰρ ἐπὶ τῆς AB δοθὲν σημεῖον τὸ Λ, καὶ κατήχθω ἀπὸ τοῦ Λ ἐπὶ τὴν ΓΔ κάθετος ἡ ΛN. ἐπεὶ οὖν ἀπὸ δεδομένου σημείου τοῦ Λ ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΛN, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΛNΔ· θέσει ἄρα ἐστὶν ἡ ΛN. θέσει δὲ καὶ ἡ ΓΔ· δοθὲν ἄρα τὸ N σημεῖον. ἔστι δὲ καὶ τὸ Λ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΛN. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ZH πρὸς τὴν HE δοθείς, ὡς δὲ ἡ ZH πρὸς τὴν HE οὕτως ἡ NM πρὸς τὴν

MΛ·

ΜΛ· λόγος ἄρα καὶ τῆς ΝΜ πρὸς τὸ ΜΛ δοθείς. ὥστε καὶ τῆς ΝΛ πρὸς τὸ ΛΜ λόγος ἐστὶ δοθείς. δοθεῖσα δὲ ἡ ΝΛ· δοθεῖσα ἄρα καὶ ἡ ΛΜ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ Λ· δοθὲν ἄρα καὶ τὸ Μ. ἐπὶ ἄν ἄρα δεδομένα σημεῖα τὸ Μ παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ εὐθεῖα γραμμὴ ἦκται ἡ ΘΚ· θέσει ἄρα ἐστὶν ἡ ΘΚ.

ΜΛ: ratio quoque ipſius ΝΜ ad ΜΛ [per 2. def. dat.] data eſt. ideoque [per 6. dat.] ratio ipſius ΝΛ ad ΛΜ eſt data. eſt autem ΝΛ data: quare [per 2. dat.] data eſt ΛΜ. ſed & etiam poſitione data eſt; & datum eſt punctum Λ: quare [per 26. dat.] & punctum Μ datum eſt. quoniam itaque per datum punctum Μ contra poſitione datam rectam ΓΔ acta eſt recta linea ΘΚ; ipſa ΘΚ [per 28. dat.] poſitione data eſt.

ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν εἰς ἑκατέρα τῶν θέσει δεδομένας εὐθείας εὐθεῖα γραμμὴ ἀχθῇ, ἣ περιτεθῇ τις αὐτῇ εὐθεῖα λόγον ἔχουσα πρὸς αὐτὴν δεδομένον, διὰ δὲ τοῦ πέρατος ἡ προσκειμένης παρὰ τὰς θέσει δεδομένας παράλληλος εὐθεῖα γραμμὴ ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει.

Prop. XXXVIII.

Si in datas poſitione parallelas rectas ducatur recta linea, adjiciaturque ei quædam recta habens ad ipſam rationem datam; per extremum vero adjectæ contra datas poſitione parallelas recta linea agatur: acta recta poſitione data eſt.

Εἰς γὰρ ἑκατέρα τῶν θέσει δεδομένας εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΕΖ, καὶ προσκείσθω τις αὐτῇ εὐθεῖα ἡ ΕΗ λόγον ἔχουσα πρὸς τὴν ΕΖ δεδομένον, διὰ δὲ τοῦ Η ὁποτερασοῦν τῶν ΑΒ, ΓΔ εὐθειῶν εὐθεῖα γραμμὴ παράλληλος ἤχθω ἡ ΘΚ· λέγω ὅτι θέσει ἐστὶν ἡ ΘΚ.

IN parallelas enim poſitione datas rectas ΑΒ, ΓΔ agatur recta linea ΕΖ, & adjiciatur ipſi quæpiam recta ΕΗ, quæ ad ΕΖ habeat rationem datam; per punctum autem Η utrilibet rectarum ΑΒ, ΓΔ agatur parallela recta linea ΘΚ: dico quod ΘΚ poſitione data eſt.



Εἰλήφθω γὰρ ἐπὶ τῆς ΑΒ δοθὲν σημεῖον τὸ Μ, καὶ ἤχθω ἀπὸ τοῦ Μ ἐπὶ τὴν ΓΔ κάθετος εὐθεῖα γραμμὴ ἡ ΜΝ, καὶ διήχθω ἐπὶ τὸ Λ. ἐπεὶ οὖν ἀπὸ δεδομένου τοῦ Μ, ἐπὶ θέσει δεδομένην εὐθεῖαν τὴν ΓΔ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΜΝ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΜΝΔ· θέσει ἄρα ἐστὶν ἡ ΜΝ. θέσει δὲ καὶ ἡ ΓΔ· δοθὲν ἄρα ἐστὶ τὸ Ν σημεῖον. ἔστι δὲ καὶ τὸ Μ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΜΝ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΖΕ πρὸς τὴν ΕΗ δοθείς, ὡς δὲ ἡ ΖΕ πρὸς τὴν ΕΗ ὕτως ἡ ΝΜ πρὸς τὴν ΜΛ· λόγος ἄρα καὶ τῆς ΝΜ πρὸς τὴν ΜΛ δοθείς. δοθεῖσα δὲ ἡ ΜΝ· δοθεῖσα ἄρα καὶ ἡ ΜΛ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι τὸ Μ δοθέν· δοθὲν ἄρα καὶ τὸ Λ. ἐπεὶ οὖν ἀπὸ δεδομένου σημείου τοῦ Λ παρὰ θέσει δεδομένην εὐθεῖαν τὴν ΑΒ εὐθεῖα γραμμὴ ἦκται ἡ ΘΚ· θέσει ἄρα ἐστὶν ἡ ΘΚ.

Sumatur enim in recta ΑΒ datum punctum Μ, & [per 12. 1.] ducatur à puncto Μ in lineam ΓΔ perpendicularis recta ΜΝ, & producatur ad punctum Λ. quoniam igitur à dato puncto Μ, in poſitione datam rectam ΓΔ, acta eſt recta linea ΜΝ, quæ facit angulum ΜΝΔ datum: recta ΜΝ [per 28. dat.] poſitione data eſt. ſed & ΓΔ [ex hyp.] poſitione data eſt: ergo [per 25. dat.] datum eſt punctum Ν. eſt autem & punctum Μ datum: quare [per 26. dat.] data eſt ΜΝ. quoniam vero ratio ΖΕ ad ΕΗ [ex hyp.] data eſt; atque eſt [per 2. 6.] ut ΖΕ ad ΕΗ ita ΝΜ ad ΜΛ: ratio quoque ΝΜ ad ΜΛ [per 2. def. dat.] data eſt. data autem eſt ΜΝ: quare [per 2. dat.] ΜΛ data eſt. ſed & poſitione data eſt ΜΛ, atque etiam datum eſt punctum Μ: ergo [per 26. dat.] & punctum Λ datum eſt. quoniam igitur [ex hyp.] per datum punctum Λ contra datam poſitione rectam ΑΒ acta eſt recta linea ΘΚ: ipſa ΘΚ [per 28. dat.] poſitione data erit.

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν τριγώνου ἑκάστη τῶν πλευρῶν δεδομένη ᾖ τῷ μεγέθει, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

Prop. XXXIX.

Si trianguli ſingula latera magnitudine data ſint; triangulum ſpecie datum eſt.

Τριγώνου γὰρ τοῦ ΑΒΓ ἑκάστη τῶν πλευρῶν δεδομένη ἔστω τῷ μεγέθει· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

TRianguli enim ΑΒΓ ſingula latera magnitudine data ſint: dico triangulum ΑΒΓ ſpecie datum eſſe.

Ἐκκείσθω γάρ ἡ εὐθεῖα τῇ θέσει δεδομένη ἡ ΔΗ, πεπερατωμένη μὲν κατὰ τὸ Δ, ἄπειρος δὲ κατὰ

Exponatur enim recta poſitione data ΔΗ, finita quidem ad punctum Δ, infinita vero verſus alte-

alteram partem; in ea autem ponatur [per 3. 1.] ipſi AB æqualis ΔE. eſt autem AB data; ergo data eſt ΔE. ſed & ΔE [ex hyp.] poſitione data eſt; atque datum eſt punctum Δ: igitur [per 27. dat.] punctum E datum eſt. ponatur vero ipſi BΓ æqualis EZ. eſt autem BΓ data; ergo data eſt EZ. ſed & EZ poſitione data eſt; atque datum eſt punctum E: quare punctum Z datum eſt. rurſus, ponatur ipſi AΓ æqualis ZH. eſt autem AΓ data: ergo & ZH data eſt. ſed & poſitione eſt ZH; atque datum eſt punctum Z: quare & punctum H datum eſt. dein centro quidem E, intervallo autem EΔ, circulus deſcribatur ΔKΘ: itaque [per 6. def. dat.] poſitione datus eſt circulus ΔKΘ. rurſus, centro quidem Z, intervallo autem ZH, circulus deſcribatur HKΛ: itaque poſitione datus eſt circulus HKΛ: quare [per 25. dat.] punctum K datum eſt. eſt autem utrumque punctorum E, Z datum: ergo [per 26. dat.] unaquæque linearum KE, EZ, ZK poſitione & magnitudine data eſt: igitur [per 3. def. dat.] triangulum KEZ ſpecie datum eſt. atque [per 8. 1.] æquale eſt ac ſimile triangulo ABΓ: ergo triangulum ABΓ ſpecie datum eſt.



τὸ λοιπόν· καὶ κείσθω τῇ μὲν AB ἴση ἡ ΔE. δοθεῖσα δὲ ἡ AB· δοθεῖσα ἄρα ἡ ΔE. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ Δ· δοθὲν ἄρα καὶ τὸ E. τῇ δὲ BΓ κείσθω ἴση ἡ EZ. δοθεῖσα δὲ ἡ BΓ· δοθεῖσα ἄρα καὶ ἡ EZ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι δοθὲν τὸ E· δοθὲν ἄρα καὶ τὸ Z. πάλιν, κείσθω τῇ AΓ ἴση ἡ ZH. δοθεῖσα δὲ ἡ AΓ· δοθεῖσα ἄρα καὶ ἡ ZH. ἄλλα καὶ τῇ θέσει, καὶ δοθὲν ἐστὶ τὸ Z· δοθὲν ἄρα καὶ τὸ H. καὶ κέντρῳ μὲν τῷ E, διαστήματι δὲ τῷ EΔ, γεγράφθω κύκλος ὁ ΔKΘ· θέσει ἄρα ἐστὶ τὸ ΔKΘ κύκλος. πάλιν, τῷ μὲν κέντρῳ Z, διαστήματι δὲ τῷ ZH, γεγράφθω HKΛ κύκλος· θέσει ἄρα ἐστὶν ὁ HKΛ κύκλος· δοθὲν ἄρα ἐστὶ τὸ K σημεῖον. ἔστι δὲ καὶ ἑκάτερον τῶν E, Z δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν KE, EZ, ZK τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ KEZ τρίγωνον τῷ εἴδει. καὶ ἔστιν ἴσον τε καὶ ὅμοιον τῷ ABΓ· δέδοται ἄρα τὸ ABΓ τρίγωνον τῷ εἴδει.

PROP. XL.

Si trianguli ſinguli anguli magnitudine dati ſint; triangulum ipſum ſpecie datum eſt.

TRianguli enim ABΓ unuſquiſque angulorum magnitudine datus ſit: dico triangulum ABΓ ſpecie datum eſſe.

Exponatur enim poſitione & magnitudine data recta ΔE, & [per 23. 1.] ad rectam ΔE, & ad puncta Δ, E in ipſa, angulo quidem ABΓ æqualis conſtituatur angulus rectilineus ZΔE; angulo autem AΓB æqualis ZEΔ: itaque [per 32. 1.] reliquus angulus BAΓ reliquo ΔZE æqualis eſt. unuſquiſque autem eorum, qui ad A, B, Γ puncta ſunt, angulorum datus eſt: quare & unuſquiſque angulorum ad Z, Δ, E datus erit. quoniam itaque ad poſitione datam rectam lineam ΔE, & ad datum in ea punctum Δ acta eſt recta linea ΔZ, faciens angulum datum ad punctum Δ, ipſa ΔZ [per 29. dat.] poſitione data erit. ſimili-



ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν τριγώνου ἑκάστη τῶν γωνιῶν δεδομένη ᾖ τῷ μεγέθει, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

ΤΡιγώνου γὰρ ΑΒΓ ἑκάστη τῶν γωνιῶν δεδομένη ἔστω τῷ μεγέθει· λέγω ὅτι τὸ τρίγωνον ΑΒΓ δέδοται τῷ εἴδει.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τὸ μεγέθει δεδομένη εὐθεῖα ἡ ΔΕ, καὶ συνεστάτω πρὸς τῇ ΔΕ, καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, Ε, τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση γωνία εὐθύγραμμος ἡ ὑπὸ ΖΔΕ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ἡ ὑπὸ ΖΕΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ ὑπὸ ΔΖΕ ἴση ἐστί. δοθεῖσα δὲ ἑκάστη τῶν πρὸς τοῖς Α, Β, Γ, σημείοις γωνιῶν· δοθεῖσα ἄρα καὶ ἑκάστη τῶν πρὸς τοῖς Ζ, Δ, Ε. ἐπεὶ οὖν πρὸς θέσει δεδομένῃ εὐθείᾳ τῇ ΔΕ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ δεδομένῳ τῷ Δ, εὐθεῖα γραμμὴ ἥκται ἡ ΔΖ, δεδομένην περιέχουσα γωνίαν τὴν πρὸς τῷ Δ· θέσει ἄρα ἐστὶν ἡ ΔΖ. διὰ τὰ

τὰ αὐτὰ δὴ καὶ ἡ ΕΖ θέσει ἐστὶν· δοθὲν ἄρα ἐστὶ τὸ Ζ σημεῖον. ἐστὶ δὲ ἑκάτερον τῶν Δ, Ε δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΔΕ, ΔΖ, ΕΖ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΔΖΕ τρίγωνον τῷ εἴδει, καὶ ἔστιν ὅμοιον τῷ ΑΒΓ τριγώνῳ· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

ter quoque positione data est & ΕΖ: quare [per 25. dat.] punctum Ζ positione datum est. datum autem est utrumque punctorum Δ, Ε: unaquæque igitur linearum ΔΕ, ΔΖ, ΕΖ [per 26. dat.] positione & magnitudine data est: itaque [per 39. dat.] triangulum ΔΖΕ specie datum est; atque [per 4. 6.] simile est triangulo ΑΒΓ: triangulum igitur ΑΒΓ specie datum est.

ΠΡΟΤΑΣΙΣ μα'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, πρὸς δὲ τὴν δεδομένην γωνίαν δύο πλευραὶ τὰς ἀλλήλας λόγον ἔχωσιν δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

PROP. XLI.

Si triangulum unum angulum datum habeat, circa datum autem angulum duo latera ad invicem habeant rationem datam; triangulum ipsum specie datum est.

Ἐχέτω γὰρ τρίγωνον τὸ ΑΒΓ μίαν γωνίαν δεδομένην τὴν ὑπὸ ΒΑΓ, πρὸς δὲ τὴν ὑπὸ ΒΑΓ αἱ πλευραὶ αἱ ΒΑ, ΑΓ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

HAbeat enim triangulum ΑΒΓ unum angulum datum, nempe ΒΑΓ; circa datum autem angulum ΒΑΓ latera ΒΑ, ΑΓ ad invicem rationem datam habeant: dico triangulum ΑΒΓ specie datum esse.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τῷ μεγέθει δεδομένη εὐθεῖα ἡ ΔΖ, καὶ συνεστάτω πρὸς τῇ ΔΖ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ζ, τῇ ὑπὸ τῶν ΒΑΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΔΖΕ. δοθεῖσα δὲ ἡ ὑπὸ ΒΑΓ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ ΔΖΕ. ἐπεὶ οὖν πρὸς θέσει δεδομένῃ εὐθείᾳ τῇ ΔΖ, καὶ τῷ πρὸς αὐτῇ δεδομένῳ σημείῳ τῷ Ζ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΖΕ, δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΔΖΕ· θέσει ἄρα ἐστὶν ἡ ΖΕ. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ ΒΑ πρὸς τὴν ΑΓ δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς ΔΖ πρὸς τὴν ΖΕ· καὶ ἐπεζεύχθω ἡ ΔΕ· λόγος ἄρα καὶ τοῦ ΔΖ πρὸς τὴν ΖΕ δοθείς. δοθεῖσα δὲ ἡ ΔΖ· δοθεῖσα ἄρα καὶ ἡ ΖΕ. ἀλλὰ καὶ τῇ θέσει, καὶ ἔστι τὸ Ζ δοθέν· δοθὲν ἄρα τὸ Ε. ἔστι δὲ καὶ ἑκάτερον τῶν Δ, Ζ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΔΖ, ΖΕ, ΔΕ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΔΖΕ τρίγωνον τῷ εἴδει. καὶ ἐπεὶ δύο τρίγωνά ἐστι τὰ ΑΒΓ, ΔΕΖ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχει, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΔΖΕ, περὶ δὲ τὰς ὑπὸ τῶν ΒΑΓ, ΔΖΕ γωνίας τὰς πλευρὰς ἀνάλογον· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ. δέδοται δὲ τὸ ΔΕΖ τρίγωνον τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



Exponatur enim positione & magnitudine data recta ΔΖ, & constituatur [per 23. 1.] ad rectam ΔΖ, & datum in ea punctum Ζ, angulo ΒΑΓ æqualis angulus ΔΖΕ. est autem angulus ΒΑΓ datus: quare & angulus ΔΖΕ datus est. quoniam igitur ad positione datam rectam ΔΖ, & datum in ea punctum Ζ, acta est recta linea ΖΕ, faciens angulum ΔΖΕ datum: positione data erit [per 29. dat.] recta ΖΕ. quoniam ergo [ex hyp.] ratio ipsius ΒΑ ad ΑΓ data est; fiat huic eadem ratio ipsius ΔΖ ad ΖΕ, & connectatur ΔΕ: itaque [per 2. def. dat.] ratio ΔΖ ad ΖΕ data est. data autem est ΔΖ: igitur [per 2. dat.] data est ΖΕ. sed & ipsa etiam positione data est; & datum est punctum Ζ: itaque [per 27. dat.] datum est punctum Ε. est autem utrumque punctorum Δ, Ζ datum: quare [per 26. dat.] data est unaquæque linearum ΔΖ, ΖΕ, ΔΕ positione & magnitudine: itaque [per 39. dat.] triangulum ΔΖΕ specie datum est. quoniam vero duo triangula ΑΒΓ, ΔΕΖ unum angulum uni angulo æqualem habent, scilicet angulum ΒΑΓ angulo ΔΖΕ, circa æquales autem angulos ΒΑΓ, ΔΖΕ latera proportionalia; triangulum ΑΒΓ [per 6. 6.] triangulo ΔΕΖ simile erit. triangulum autem ΔΕΖ specie datum est: triangulum igitur ΑΒΓ specie etiam datum est.

ΠΡΟΤΑΣΙΣ μβ'.

Ἐὰν τριγώνου αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

PROP. XLII.

Si trianguli latera ad invicem habeant rationem datam, triangulum specie datum est.

Τριγώνου γὰρ τοῦ ΑΒΓ αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

TRianguli enim ΑΒΓ latera ad invicem habeant rationem datam: dico triangulum ΑΒΓ specie datum esse.

Exponatur enim data magnitudine recta Δ. quoniam vero ratio ipſius AB ad BΓ data eſt, fiat huic eadem ratio ipſius Δ ad E. data autem eſt Δ: quare [per 2. dat.] & data eſt E. rurſus quoniam ratio ipſius BΓ ad AΓ data eſt; fiat huic eadem ratio ipſius E ad Z. eſt autem E data: itaque Z data eſt. deinde [per 22. 1.] ex tribus rectis, quæ tribus datis rectis Δ, E, Z æquales ſunt, quarum duæ reliqua majores ſint utcunque ſumptæ, conſtituatur triangulum HΘK; ita ut æqualis ſit recta Δ ipſi HΘ, recta autem E ipſi ΘK, & Z ipſi HK. eſt autem unaquæque linearum Δ, E, Z data; quare data eſt unaquæque linearum HΘ, ΘK, KH magnitudine: triangulum igitur HΘK [per 39. dat.] ſpecie datum eſt. quoniam autem eſt ut AB ad BΓ ita Δ ad E, atque eſt Δ æqualis rectæ HΘ, ipſa vero E rectæ ΘK; erit quoque [per 11. 5.] ut AB ad BΓ ita HΘ ad ΘK. rurſus quoniam eſt ut BΓ ad ΓA ita E ad Z, atque eſt E æqualis ipſi ΘK & Z ipſi KH; erit etiam ut BΓ ad ΓA ita ΘK ad KH. oſtenſum autem eſt ut AB ad BΓ ita eſſe HΘ ad ΘK: eſt igitur ex æquo [per 22. 5.] ut AB ad AΓ ita HΘ ad HK. eſt autem ut AΓ ad BΓ ita HK ad KΘ: itaque [per 5. 6.] triangulum ABΓ triangulo HΘK ſimile eſt. verum triangulum HΘK ſpecie datum eſt: quare & triangulum ABΓ ſpecie datum eſt.

Ἐκκείσθω γὰρ δεδομένη τῷ μεγέθει εὐθεῖα ἡ Δ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς AB πρὸς τὴν BΓ δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς Δ πρὸς τινὰ E. δοθεῖσα δὲ ἡ Δ· δοθεῖσα ἄρα καὶ ἡ E. πάλιν ἐπεὶ λόγος ἐστὶ τῆς BΓ πρὸς τινὰ ΑΓ δοθείς, αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς E πρὸς τινὰ Z. δοθεῖσα δὲ ἡ E· δοθεῖσα ἄρα καὶ ἡ Z. καὶ ἐπεὶ τρισὶν εὐθείαις, αἵ εἰσιν ἴσαι τρισὶ τὰς θέσει δοθείσαις ταῖς Δ, E, Z, ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, τρίγωνον συνεστάτω τὸ HΘK, ὥστε ἴσην εἶναι τινὰ μὲν Δ τῇ HΘ, τὴν δὲ E τῇ ΘK, τινὰ δὲ Z τῇ HK. δοθεῖσαι δὲ εἰκάσῃ τὰ Δ, E, Z· δοθεῖσα ἄρα καὶ εἰκάσῃ τὰ HΘ, ΘK, KH τῷ μεγέθει· δέδοται ἄρα τὸ HΘK τρίγωνον τῷ εἴδει. καὶ ἐπεὶ ἐστιν ὡς ἡ AB πρὸς τινὰ BΓ οὕτως ἡ Δ πρὸς τινὰ E, ἴση δὲ ἡ μὲν Δ τῇ HΘ, ἡ δὲ E τῇ ΘK· ἔστιν ἄρα ὡς ἡ AB πρὸς τινὰ BΓ οὕτως ἡ HΘ πρὸς τινὰ ΘK. πάλιν ἐπεὶ ἐστιν ὡς ἡ BΓ πρὸς τινὰ ΓA οὕτως ἡ E πρὸς τὴν Z, ἴση δὲ ἡ E τῇ ΘK, ἡ δὲ Z τῇ HK· ἔστιν ἄρα ὡς ἡ BΓ πρὸς τὴν ΓA οὕτως ἡ ΘK πρὸς τινὰ KH. ἐδείχθη δὲ καὶ ὡς ἡ AB πρὸς τινὰ BΓ οὕτως ἡ HΘ πρὸς τὴν ΘK· δι᾽ ἴσου ἄρα ὡς ἡ AB πρὸς τὴν ΑΓ οὕτως ἡ HΘ πρὸς τὴν HK. ἔστι δὲ καὶ ὡς ἡ ΑΓ πρὸς τὴν BΓ οὕτως ἡ HK πρὸς τὴν KΘ· ὅμοιον ἄρα ἐστὶ τὸ ABΓ τρίγωνον τῷ HΘK τριγώνῳ. δέδοται δὲ τὸ HΘK τρίγωνον τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ABΓ τρίγωνον τῷ εἴδει.



Prop. XLIII.

Si trianguli rectanguli latera, circa unum acutorum angulorum, ad invicem habeant rationem datam; triangulum ipſum ſpecie datum eſt.

TRianguli enim rectanguli ABΓ rectum habentis angulum BAΓ, latera ΓB, BA, circa unum acutorum angulorum ΓBA, habeant rationem datam: dico triangulum ABΓ ſpecie datum eſſe.

Exponatur enim poſitione & magnitudine data recta ΔE; ſuper ΔE vero deſcribatur ſemicirculus ΔHE: itaque [per 6. def. dat.] poſitione datus eſt ſemicirculus ΔHE. & quoniam ratio ipſius ΓB ad BA data eſt; fiat huic eadem ratio ipſius ΔE ad Z: quare ratio ipſius ΔE ad Z data eſt. data autem eſt ΔE: ergo

ΠΡΟΤΑΣΙΣ μγ'.

Ἐὰν τριγώνου ὀρθογωνίου περὶ μίαν τῶν ὀξειῶν γωνιῶν αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον, δέδοται τὸ τρίγωνον τῷ εἴδει.

ΤΡιγώνου γὰρ ὀρθογωνίου τοῦ ABΓ ὀρθὴν ἔχοντος τὴν ὑπὸ BAΓ γωνίαν, περὶ μίαν τῶν ὀξειῶν αὐτοῦ γωνιῶν τὴν ὑπὸ ΓBA, αἱ περιέχουσαι αὐτὴν ΓB, BA πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι δέδοται τὸ ABΓ τρίγωνον τῷ εἴδει.

Ἐκκείσθω γὰρ τῇ θέσει καὶ τῷ μεγέθει δεδομένη εὐθεῖα ἡ ΔE, καὶ γεγράφθω ἐπὶ τῆς ΔE ἡμικύκλιον τὸ ΔHE· θέσει ἄρα ἐστὶ καὶ τὸ ΔHE ἡμικύκλιον. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΓB πρὸς τὴν BA δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς ΔE πρὸς τὴν Z· λόγος ἄρα καὶ τῆς ΔE πρὸς τὴν Z δοθείς. δοθεῖσα δὲ ἡ ΔE·

δοθεῖσα

δοθεῖσα ἄρα ἑκάτερα ἑκατέρα. καὶ ἔστι μείζων ἡ ΓΒ τῆς ΒΑ· μείζων ἄρα καὶ ἡ ΕΔ τῆς Ζ. ἐνηρμόσθω τῇ Ζ ἴση ἡ ΔΗ, καὶ ἐπεζεύχθω ἡ ΗΕ, καὶ κέντρῳ μὲν τῷ Δ, διαστήματι δὲ τῷ ΔΗ, κύκλος γεγράφθω ὁ ΘΗΚ· θέσει ἄρα ἐστὶν ὁ ΘΗΚ κύκλος, δέδοται γὰρ αὐτοῦ τὸ κέντρον τῇ θέσει, καὶ ἡ ὁπὸ τοῦ κέντρου τῷ μεγέθει. θέσει δὲ καὶ τὸ ΔΗΕ ἡμικύκλιον· δοθὲν ἄρα ἐστὶ τὸ Η σημεῖον. ἔστι δὲ καὶ ἑκάτερον τῶν Δ, Ε δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκάστη τῶν ΗΔ, ΕΗ, ΕΔ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΗΔΕ τρίγωνον τῷ εἴδει. ἐπεὶ οὖν δύο τρίγωνά ἐστι τὰ ΑΒΓ, ΔΕΗ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΔΗΕ, περὶ δὲ τὰς ἄλλας γωνίας τὰς ὑπὸ ΓΒΑ, ΕΔΗ τὰς πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν τῶν ὑπὸ ΒΓΑ, ΔΕΗ ἑκατέραν ἅμα ἐλάσσονα ὀρθῆς· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τῷ ΔΕΗ. δέδοται δὲ τὸ ΔΕΗ τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



[per 2. dat.] Z data est. & [per 19. 1.] major est ΓΒ ipsa ΒΑ: quare & major est ΕΔ ipsa Z accommodetur [per 1. 4.] ipsi Z æqualis ΔΗ, & connectatur ΗΕ, dein centro quidem Δ, intervallo autem ΔΗ, circulus describatur ΘΗΚ: itaque [per 6 def.dat.] positione datus est semicirculus ΘΗΚ; ipsius namque centrum datum est, & ea quæ ex centro est magnitudine. sed & semicirculus ΔΗΕ positione datus est: ergo [per 25. dat.] punctum Η datum est. datum est autem utrumq; punctorum Δ, Ε: igitur [per 26. dat.] unaquæque linearum ΗΔ, ΕΗ, ΕΔ positione. & magnitudine data est: quare [per 3. def. dat.] triangulum ΗΔΕ specie datum est. quoniam itaque triangula ΑΒΓ, ΔΕΗ unum angulum uni angulo æqualem habent, angulum scilicet ΒΑΓ angulo ΔΗΕ, circa alios autem angulos ΓΒΑ, ΕΔΗ latera proportionalia, reliquorum autem ΒΓΑ, ΔΕΗ simul utrumque [ex hyp.] recto minorem; ΑΒΓ quidem [per 7. 6.] ipsi ΔΕΗ simile erit. triangulum autem ΔΕΗ [ex ostensis] specie datum est: quare triangulum quoque ΑΒΓ specie datum est.

ΠΡΟΤΑΣΙΣ μδ'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, περὶ δὲ ἄλλην γωνίαν αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μίαν ἔχον γωνίαν δεδομένην τὴν ὑπὸ ΒΑΓ, περὶ δὲ ἄλλην γωνίαν τὴν ὑπὸ ΑΒΓ αἱ πλευραὶ ΑΒ, ΒΓ λόγον ἐχέτωσαν πρὸς ἀλλήλας δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Μὴ ἔστω δὴ ἡ ὑπὸ ΒΑΓ ὀρθή, ἀλλὰ ἔστω πρότερον ὀξεῖα· καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου ἐπὶ τὴν ΑΓ κάθετος ἡ ΒΔ. καὶ ἐπεὶ δοθεῖσί ἐσιν ἡ ὑπὸ ΒΔΑ γωνία, ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΔ δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ τῶν ΑΒΔ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΒΑΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα καὶ τοῦ ΒΑ πρὸς τὴν ΒΔ δοθείς. ἀλλὰ τοῦ ΑΒ πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΒΔ ἄρα πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς. καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΒΔΓ γωνία· δέδοται ἄρα τὸ ΒΔΓ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΓΔ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ τῶν ΑΒΓ ἐστὶ δο-

Prop. XLIV.

Si triangulum angulum unum habeat datum; latera autem circa alium angulum habeant ad invicem rationem datam: triangulum specie datum est.

SIT triangulum ΑΒΓ, quod unum angulum habeat datum qui sit ΒΑΓ; circa alium autem angulum ΑΒΓ latera ΑΒ, ΒΓ habeant rationem datam: dico triangulum ΑΒΓ specie datum esse.

Non sit autem angulus ΒΑΓ rectus; sed primum acutus: & agatur à puncto Β in lineam ΑΓ perpendicularis ΒΔ. quoniam vero datus est angulus ΒΔΑ, estque [ex hyp.] angulus ΒΑΔ datus; ergo & [per 32. 1. & 4. dat.] reliquus ΑΒΔ datus est: itaque [per 40. dat.] triangulum ΒΑΔ specie datum est: quare [per 3. def. dat.] ratio ipsius ΒΑ ad ΒΔ data est. sed [ex hyp.] rectæ ΑΒ ad ΒΓ data est ratio: ergo [per 8. dat.] & ratio ipsius ΒΔ ad ΒΓ data est. rectus autem est [per constr.] angulus ΒΔΓ: quare [per 43. dat.] triangulum ΒΔΓ specie datum est: datus igitur est angulus ΒΓΔ. est autem [ex hyp.] angulus ΒΑΓ datus: quare & [per 32. 1. & 4. dat.] reliquus angulus ΑΒΓ da-



tus eſt: triangulum igitur ABΓ [per 40. dat.] ſpecie datum eſt.

Sed ſit angulus BAΓ obtuſus, & producatur ΓA ad punctum E, atque agatur à puncto B ad rectam AE perpendicularis BE. & quoniam angulus BAΓ datus eſt; etiam [per 13. 1. & 4. dat.] & qui deinceps eſt angulus BAE datus erit. eſt autem & angulus BEA datus: reliquus igitur EBA [per 32. 1. & 4. dat.] datus eſt: quare [per 40. dat.] triangulum EBA ſpecie datum eſt: ergo [per 3. def. dat.] ratio ipſius EB ad BA data eſt. eſt autem [ex hyp.] ratio ipſius AB ad BΓ data: quare [per 8. dat.] & ratio ipſius EB ad BΓ data eſt. ſed rectus eſt [per conſtr.] angulus BEΓ: ergo [per 43. dat.] triangulum EBΓ ſpecie datum eſt: quare [per 3. def. dat.] datus eſt angulus BΓE. eſt autem [ex hyp.] angulus BAΓ datus: itaque reliquus angulus ABΓ datus eſt: triangulum igitur ABΓ [per 40. dat.] ſpecie datum eſt.



δεῖσα· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

Ἀλλὰ ἔστω ἡ ὑπὸ ΒΑΓ γωνία ἀμβλεῖα, καὶ ἐκβεβλήσθω ἡ ΓΑ ἐπὶ τὸ Ε, καὶ ἤχθω ἀπὸ τοῦ Β σημείου ἐπὶ τὴν ΑΕ κάθετος ἡ ΒΕ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ· καὶ ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ ΒΑΕ δοθεῖσά ἐστιν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΕΑ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΒΑ δοθεῖσά ἐστιν· δέδοται ἄρα τὸ ΕΒΑ τρίγωνον τῷ εἴδει· λόγος ἄρα τῆς ΕΒ πρὸς τὴν ΒΑ δοθείς. τῆς δὲ ΑΒ πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΕΒ ἄρα πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς. ᾧ, ἔστω ὀρθὴ ἡ ὑπὸ ΒΕΓ γωνία· δέδοται ἄρα καὶ τὸ ΕΒΓ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΓΕ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΓ γωνία δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

PROP. XLV.

Si triangulum angulum unum habeat datum; circa datum autem angulum latera ſimul utraque, tanquam unum, ad reliquum latus habeant rationem datam: triangulum ipſum ſpecie datum eſt.

SIT triangulum ABΓ quod unum angulum BAΓ habeat datum; circa angulum autem BAΓ latera, hoc eſt ſimul utraque BAΓ, tanquam unum, ad BΓ rationem habeant datam: dico triangulum ABΓ ſpecie datum eſſe.

Secetur enim [per 9. 1.] angulus BAΓ bifariam recta AΔ: itaque [per 2. dat.] datus eſt angulus BAΔ. quoniam vero [per 3. 6.] ut BA ad AΓ ita BΔ ad ΔΓ; erit quoque permutando ut AB ad BΔ ita AΓ ad ΓΔ: adeoque [per 12. 5.] ut ſimul utraque BAΓ ad BΓ ita erit AB ad BΔ. data autem eſt [ex hyp.] ratio utriuſque ſimul BAΓ ad BΓ: quare & ratio ipſius AB ad BΔ data eſt. & datus etiam eſt angulus BAΔ: quare [per 44. dat.], triangulum ABΔ ſpecie datum eſt: angulus igitur ABΔ datus eſt. datus autem eſt [ex hyp.] angulus BAΓ. itaque [per 32. 1. & 4. dat.] reliquus angulus AΓB datus eſt: ergo [per 40. dat.] triangulum ABΓ ſpecie datum eſt.



ΠΡΟΤΑΣΙΣ μέ.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, αἱ δὲ περὶ τὴν δεδομένην γωνίαν πλευραὶ συναμφότεραι, ὡς μία, πρὸς τὴν λοιπὴν λόγον ἔχουσι δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μίαν γωνίαν δεδομένην ἔχον τὴν ὑπὸ ΒΑΓ, περὶ δὲ τὴν ὑπὸ ΒΑΓ γωνίαν αἱ πλευραὶ, τουτέστι συναμφότερος ἡ ΒΑΓ, ὡς μία, πρὸς τὴν ΒΓ λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Τετμήσθω γὰρ ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τῇ ΑΔ εὐθείᾳ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΔ γωνία. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΓ· ἐναλλὰξ ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΔ· καὶ ὡς συναμφότερος ἄρα ἡ ΒΑΓ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ. λόγος δὲ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς· λόγος ἄρα καὶ τῆς ΑΒ πρὸς τὴν ΒΔ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΒΑΔ γωνία· δέδοται ἄρα τὸ ΑΒΔ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

* ΑΛΛΩΣ.

Ἐκβεβλήθω ἡ ΒΑ ἐπ' εὐθείας, καὶ τῇ ΑΓ κείσθω ἴση ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΓ. Καὶ ἐπεὶ λόγος ἐστὶ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς, ἴση δὲ ἡ ΓΑ τῇ ΔΑ· λόγος ἄρα τῆς ΒΑΔ πρὸς τὴν ΒΓ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΑΔΓ, ἡμίσεια γάρ ἐστι τῆς ὑπὸ ΒΑΓ· δέδοται ἄρα τὸ ΒΔΓ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΓ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



* ALITER.

Producatur BA in directum, & [per 2.1.] ipſi AΓ ponatur æqualis AΔ, & connectatur ΔΓ. Quoniam vero ratio ſimul utriuſque BAΓ ad BΓ data eſt, atque æqualis eſt ΓA ipſi ΔA: igitur ratio totius BAΔ ad BΓ data eſt. verum datus eſt angulus AΔΓ; dimidius namque eſt [per 5. & 32. 1.] ipſius BAΓ: igitur [per 44. dat.] triangulum BΔΓ ſpecie datum eſt: ergo [per 3.def.dat.] angulus ABΓ datus eſt. angulus autem BAΓ etiam [ex hyp.] datus eſt: quare [per 32. 1. & 4. dat.] reliquus AΓB datus eſt. triangulum igitur ABΓ [per 40. dat.] ſpecie datum eſt.

ΠΡΟΤΑΣΙΣ μς'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, περὶ δὲ ἄλλην γωνίαν αἱ πλευραὶ συναμφότεραι, ὡς μία, πρὸς τὴν λοιπὴν λόγον ἔχουσι δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

Ἔστω τρίγωνον τὸ ΑΒΓ μίαν ἔχον γωνίαν δεδομένην τὴν ὑπὸ ΑΒΓ, περὶ δὲ ἄλλην γωνίαν τὴν ὑπὸ ΒΑΓ πλευραὶ συναμφότεραι, ὡς μία, τυτέστιν ἡ ΒΑΓ, πρὸς τὴν ΒΓ λόγον ἐχέτωσαν δεδομένον· λέγω ὅτι τὸ ΑΒΓ τρίγωνον δέδοται τῷ εἴδει.

Τετμήσθω γὰρ ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τῇ ΑΔ εὐθείᾳ· ἔστιν ἄρα ὡς συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ ὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ. λόγος δὲ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς· λόγος ἄρα καὶ τῆς ΑΒ πρὸς τὴν ΒΔ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΑΒΔ γωνία· δέδοται ἄρα τὸ ΑΒΔ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΔ γωνία. καὶ ἔστιν αὐτῆς διπλασίων ἡ ὑπὸ ΒΑΓ· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΒΑΓ γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΒΓ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

PROP. XLVI.

Si triangulum unum angulum habeat datum; circa alium autem angulum ſimul utraque latera, tanquam unum, habeant ad reliquum rationem datam: triangulum ipſum ſpecie datum eſt.

SIT triangulum ABΓ, quod unum angulum ABΓ datum habeat, circa alium autem angulum BAΓ ſimul utraque latera, tanquam unum (hoc eſt BAΓ) ad BΓ datam rationem habeant: dico triangulum ABΓ ſpecie datum eſſe.



Secetur enim [per 9. 1.] angulus BAΓ bifariam recta AΔ: itaque [per oſtenſa in præc.] erit ut ſimul utraque BAΓ ad BΓ ita AB ad BΔ. eſt autem ratio ſimul utriuſque BAΓ ad BΓ [ex hyp.] data; ergo & ratio ipſius AB ad BΔ data eſt. datus autem [ex hyp.] eſt angulus ABΔ: ergo [per 41.dat.] triangulum ABΔ ſpecie datum eſt: quare [per 3.def.dat.] angulus BAΔ datus eſt. ipſius autem duplus eſt [per conſtr.] angulus BAΓ: igitur [per 2. dat.] angulus BAΓ datus eſt. eſt autem [ex hyp.] & angulus ABΓ datus: quare & [per 32. 1. & 4.dat.] angulus AΓB datus eſt: triangulum igitur ABΓ [per 40.dat.] ſpecie datum eſt.

ΑΛΛΩΣ.

Ἐκβεβλήθω ἡ ΒΑ, καὶ κείσθω τῇ ΓΑ ἴση ἡ ΔΑ, καὶ ἐπεζεύχθω ἡ ΔΓ. καὶ ἐπεὶ λόγος ἐστὶ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ δοθείς· ἴση δὲ ἡ ΓΑ τῇ ΑΔ· λόγος ἄρα τῆς ΔΒ πρὸς τὴν ΒΓ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΑΒΓ γωνία· δέδοται ἄρα τὸ ΔΒΓ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΔΓ γωνία. καὶ ἔστιν αὐτῆς διπλῆ ἡ ὑπὸ ΒΑΓ·



ALITER.

Producatur BA in directum, & ponatur ipſi ΓA æqualis ΔA, & connectatur recta ΔΓ. quoniam vero [ex hyp.] data eſt ratio ſimul utriuſque BAΓ ad BΓ; eſtque [ex conſtr.] ΓA æqualis ipſi AΔ: igitur ratio ipſius ΔB ad BΓ data eſt. datus autem eſt [ex hyp.] angulus ABΓ: quare [per 41. dat.] triangulum ΔBΓ ſpecie datum eſt; ergo datus eſt [per 3. def. dat.] angulus BΔΓ. eſtque hujus duplus [per 5. & 32. 1.] angulus BAΓ:

* Hæc demonſtratio non reperitur in Cod. MS. Saviliano.

BAΓ: angulus igitur BAΓ datus eſt: quare & reliquus AΓB datus eſt: & igitur [per 40.dat.] triangulum ABΓ ſpecie datum eſt.

ἡ ἄρα ὑπὸ BAΓ γωνία δοθεῖσά ἐστι· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ AΓB δοθεῖσά ἐστι· δέδο) ἄρα τὸ ABΓ τρίγωνον τῷ εἴδει.

PROP. XLVII.

Rectilinea ſpecie data in data ſpecie triangula dividuntur.

SIT datum ſpecie rectilineum ABΓΔE: dico rectilineum ABΓΔE in data ſpecie triangula dividi.

Connectantur enim rectæ BE, EΓ. quoniam vero rectilineum ABΓΔE ſpecie datum eſt; igitur [per 3. def.dat.] angulus BAE datus eſt, & etiam ratio lateris BA ad EA data. quoniam itaque angulus BAE datus eſt, atque ratio ipſius BA ad AE data: triangulum BAE [per 41. dat.] ſpecie datum eſt: quare [per 3. def. dat.] angulus ABE datus eſt. totus autem angulus ABΓ [per 3.def.dat.] datus eſt: ergo [per 4. dat.] & reliquus EBΓ datus eſt. ipſius autem AB ad BE, necnon ipſius AB ad BΓ data eſt ratio: ergo [per 8. dat.] ratio quoque lateris BΓ ad BE data eſt. ſed & datus eſt angulus ΓBE: triangulum igitur BΓE [per 41. dat.] ſpecie datum eſt. ſimili vero ratione & triangulum ΓΔE ſpecie datum eſt. rectilinea igitur ſpecie data in data ſpecie triangula dividuntur.



ΠΡΟΤΑΣΙΣ μζ.

Τὰ δεδομένα εὐθύγραμμα τῷ εἴδει εἰς δεδομένα τρίγωνα τῷ εἴδει διαιρεῖται.

ΕΣτω δεδομένον εὐθύγραμμον τῷ εἴδει τὸ ABΓΔE· λέγω ὅτι τὸ ABΓΔE εὐθύγραμμον εἰς δεδομένα τῷ εἴδει τρίγωνα διαιρεῖται.

Ἐπεζεύχθωσαν γὰρ αἱ BE, EΓ. καὶ ἐπεὶ δέδο) τὸ ABΓΔE εὐθύγραμμον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ BAE γωνία, καὶ ἔστι λόγος τῆς BA πρὸς τὴν EA δοθείς. ἐπεὶ ἂν δοθεῖσά ἐστιν ἡ ὑπὸ BAE γωνία, καὶ ἔστι λόγος τῆς BA πρὸς τὴν AE δοθείς· δέδοται ἄρα τὸ BAE τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ABE γωνία. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ ABΓ γωνία δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ EBΓ δοθεῖσά ἐστιν. καὶ ἔστι λόγος τῆς AB πρὸς τὴν BE δοθείς, τῆς δὲ AB πρὸς τὴν BΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς BΓ ἄρα πρὸς τὴν BE λόγος ἐστὶ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΓBE γωνία· δέδοται ἄρα τὸ BΓE τρίγωνον τῷ εἴδει. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΓΔE τρίγωνον τῷ εἴδει δέδο)· τὰ ἄρα δεδομένα εὐθύγραμμα τῷ εἴδει εἰς δεδομένα τῷ εἴδει τρίγωνα διαιρῆται.

PROP. XLVIII.

Si ab eadem recta triangula ſpecie data deſcribantur; habebunt ad invicem rationem datam.

AB eadem enim recta AB duo triangula ſpecie data deſcribantur ABΓ, ABΔ: dico rationem trianguli ABΓ ad triangulum ABΔ datam eſſe.

Agantur enim [per 11.1.] à punctis A, B ipſi AB ad rectos angulos rectæ AE, BH, & producantur ad puncta Z, Θ; per puncta autem Γ, Δ [per 31. 1.] ipſi AB parallelæ ducantur EΓH, ZΔΘ. quoniam autem triangulum ABΓ [ex hyp.] ſpecie datum eſt; ipſius ΓA ad BA [per 3. def. dat.] ratio data erit. quoniam itaque angulus ΓAB datus eſt, datuſque eſt angulus EAB; etiam [per 4.dat.] reliquus ΓAE da-



ΠΡΟΤΑΣΙΣ μη'.

Ἐὰν ἀπὸ τῆς αὐτῆς εὐθείας ἀναγραφῇ τρίγωνα δεδομένα τῷ εἴδει· λόγον ἕξει πρὸς ἄλληλα δεδομένον.

ΑΠὸ γὰρ τῆς αὐτῆς εὐθείας τῆς AB δύο τρίγωνα δεδομένα τῷ εἴδει ἀναγεγράφθω τὰ ABΓ, ABΔ· λέγω ὅτι λόγος ἐστὶ τοῦ ABΓ πρὸς τὸ ABΔ δοθείς.

Ηχθω γὰρ ἀπὸ τῶν A, B σημείων τῇ AB εὐθείᾳ πρὸς ὀρθὰς αἱ AE, BH, καὶ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Z, Θ, καὶ διὰ τῶν Γ, Δ σημείων τῇ AB εὐθείᾳ παράλληλοι ἤχθωσαν αἱ EΓH, ZΔΘ. καὶ ἐπεὶ δέδο) τὸ ABΓ τρίγωνον τῷ εἴδει, λόγος ἐστὶ τῆς ΓA πρὸς τὴν BA δοθείς. ἐπεὶ οὖν δοθεῖσα ἐστὶν ἡ ὑπὸ ΓAB γωνία, ἔστι δὲ καὶ ἡ ὑπὸ EAB δοθεῖσα· λοιπὴ ἄρα ἡ ὑπὸ ΓAE δοθεῖσά ἐστιν·

ἐστιν. ἔστι δὲ ἑκάτερα τῶν ΑΕΓ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΓΑ δοθεῖσά ἐστι· δίδοται ἄρα τὸ ΑΕΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα τῆς ΕΑ πρὸς τὴν ΑΓ δοθείς. τῆς δὲ ΓΑ πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΕΑ ἄρα πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς. διὰ τὰ αὐτὰ δὴ καὶ τῆς ΖΑ πρὸς τὴν ΑΒ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τῆς ΕΑ πρὸς τὴν ΑΖ λόγος ἐστὶ δοθείς. καί ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΑΖ οὕτως τὸ ΑΗ πρὸς τὸ ΘΑ· ὥστε καὶ τὸ ΑΗ πρὸς τὸ ΘΑ λόγος ἐστὶ δοθείς. καὶ ἔστι μὲν τὸ ΑΗ ἥμισυ τοῦ ΑΒΓ, τὸ δὲ ΑΘ ἥμισυ τοῦ ΑΔΒ· καὶ τὸ ΑΒΓ ἄρα πρὸς ΑΔΒ λόγος ἐστὶ δοθείς.

tus erit. angulus autem ΑΕΓ datus eſt: ideoque reliquus angulus ΕΓΑ datus eſt: quare [per 40.dat.] triangulum ΑΒΓ ſpecie datum eſt: igitur [per 3. def. dat.] ipſius ΕΑ ad ΑΓ ratio eſt data. ſed [ex hyp.] & ratio ΓΑ ad ΑΒ data eſt: quare [per 8.dat.] ipſius quoque ΕΑ ad ΑΒ ratio data erit. ſimiliter vero ipſius ΖΑ ad ΑΒ ratio eſt data: quare [per 8.dat.] & ipſius ΕΑ ad ΑΖ data eſt ratio. eſt autem [per 1. 6.] ut ΑΕ ad ΑΖ ita parallelogrammum ΑΗ ad parallelogrammum ΘΑ: ideoque ratio parallelogrammi ΑΗ ad parallelogrammum ΘΑ data eſt. ſed [per 41. 1.] parallelogrammi quidem ΑΗ dimidium eſt triangulum ΑΒΓ; parallelogrammi vero ΑΘ dimidium eſt ΑΔΒ: trianguli igitur ΑΒΓ ad triangulum ΑΔΒ data eſt ratio.

ΠΡΟΤΑΣΙΣ μθ'.

Ἐὰν ἀπὸ τῆς αὐτῆς εὐθείας δύο εὐθύγραμμα ἃ ἔτυχεν ἀναγραφῇ δεδομένα τῷ εἴδει, λόγον ἕξει πρὸς ἄλληλα δεδομένον.

ΑΠΟ γὰρ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο εὐθύγραμμα ἃ ἔτυχεν δεδομένα τῷ εἴδει ἀναγεγράφθω τὰ ΑΕΓΖΒ, ΑΔΒ· λέγω ὅτι λόγος ἐστὶ τοῦ ΑΕΓΖΒ πρὸς ΑΔΒ δοθείς.

ΑΓ, ὅπερ ἐστὶ τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ, ἴσον ἐστὶ τῷ τε ἀπὸ τῆς ΒΓ καὶ τῷ δὶς ὑπὸ τῶν ΒΑ, ΑΔ, καὶ ἔτι τῷ δὶς ὑπὸ τῶν ΒΑ, ΑΓ, τουτέστι τῷ δὶς ὑπὸ τῆς ΓΑΔ καὶ τῆς ΒΑ· ὥστε τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ μεῖζον εἶναι τοῦ ἀπὸ τῆς ΒΓ τῷ δὶς ὑπὸ συναμφοτέρου τῆς ΓΑΔ καὶ τῆς ΒΑ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία, ἐστὶ δὴ καὶ ἡ ὑπὸ ΑΔΓ δοθεῖσα· λοιπὴ ἄρα ἡ πρὸς ΑΓΔ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΔΓ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ΑΔ πρὸς τὴν ΑΓ δοθείς· ὥστε καὶ συναμφοτέρου τῆς ΔΑΓ πρὸς τὴν ΑΓ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ἀπὸ συναμφοτέρου ἄρα τῆς ΔΑΓ καὶ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ λόγος ἐστὶ δοθείς· καὶ τοῦ δὶς ἄρα ὑπὸ συναμφοτέρου τῆς ΔΑΓ καὶ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ τῶν ΒΑ, ΑΓ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς, διὰ δοθεῖσαν εἶναι τὴν ὑπὸ ΒΑΓ γωνίαν· καὶ τοῦ δὶς ἄρα ὑπὸ συναμφοτέρου τῆς ΔΑΓ καὶ τῆς ΑΒ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς.



ΑΓ, hoc eſt [per 4. 2.] quadratum utriuſque ſimul ΒΑΓ, æqualia ſunt quadrato rectæ ΒΓ & ei quod bis continetur ſub ΒΑ, ΑΔ, & inſuper ei quod bis continetur ſub ΒΑ, ΑΓ; hoc eſt [per 2. 2.] ei quod bis continetur ſub utraque ſimul ΓΑΔ & recta ΒΑ: ideoque quadratum utriuſque ſimul ΒΑΓ excedit quadratum rectæ ΒΓ eo quod bis ſub utraque ſimul ΓΑΔ & recta ΒΑ continetur. quoniam vero [ex hyp.] datus eſt angulus ΒΑΓ, atque etiam angulus ΑΔΓ datus eſt: reliquus igitur angulus ΑΓΔ [per 32. 1. & 4. dat.] eſt datus: quare [per 40. dat.] triangulum ΑΔΓ ſpecie datum eſt: ergo ratio ipſius ΑΔ ad ΑΓ data eſt: adeoque [per 6.dat.] ratio utriuſque ſimul ΔΑΓ ad ΑΓ data eſt: igitur [per 1. 6] rectanguli ſub utraque ſimul ΔΑΓ & ΑΒ ad rectangulum ſub ΒΑ, ΑΓ data eſt ratio: & ideo ratio ejus quod bis continetur ſub ΔΑΓ & ΑΒ ad id quod continetur ſub ΒΑ, ΑΓ etiam datur. ratio autem ejus quod continetur ſub ΒΑ, ΑΓ ad triangulum ΑΒΓ [per 66.dat.] data eſt, propter datum angulum ΒΑΓ: igitur [per 8.dat.] ratio ejus quod bis continetur ſub utraque ſimul ΔΑΓ & recta ΑΒ ad triangulum ΑΒΓ data eſt.

Αλλὰ δὴ ἔστω ἀμβλεῖα ἡ ὑπὸ ΒΑΓ, καὶ ἐκβεβλήσθω ἡ ΒΑ ἐπὶ τὸ Ε, ἤχθω ἐπ' αὐτὴν ἀπὸ τοῦ Γ κάθετος ἡ ΓΕ, καὶ κείσθω τῇ ΑΕ ἴση ἡ ΑΖ. ἐπεὶ οὖν ἀμβλεῖά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία, καὶ κάθετος ἦκται ἡ ΓΕ· τὰ ἄρα ἀπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΒΑ, ΑΕ, τουτέστι τοῦ δὶς ὑπὸ τῶν ΒΑ, ΑΖ, ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ΒΓ. κοινὸν προσκείσθω τὸ δὶς ὑπὸ τῶν ΒΑ, ΑΓ· τὰ ἄρα ἀπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΒΑ, ΑΓ, τουτέστι τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΒΑ, ΑΖ, ἴσα ἐστὶ τῷ ἀπὸ τῆς ΒΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΒΑ, ΑΓ. κοινὸν ἀφῃρήσθω τὸ δὶς ὑπὸ τῶν ΒΑ, ΑΖ· τὸ ἄρα συναμφοτέρου τῆς ΒΑΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΓ καὶ τῷ δὶς ὑπὸ τῶν ΒΑ, ΓΖ· ὥστε τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ τοῦ ἀπὸ τῆς ΒΓ ὑπερέχειν τῷ δὶς ὑπὸ τῶν ΒΑ, ΓΖ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία, καὶ ἡ ὑπὸ ΕΑΓ ἄρα δοθεῖσά ἐστιν. ἀλλὰ καὶ ἡ ὑπὸ ΓΕΑ δοθεῖσά ἐστι· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΕ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΓΕ τρίγωνον τὸ εἴδει· λόγος ἄρα τῆς ΓΑ πρὸς τὴν ΑΕ δοθείς, τουτέστι καὶ πρὸς τὴν ΑΖ· ὥστε καὶ τῆς ΑΓ πρὸς τὴν ΓΖ λόγος ἐστὶ δοθείς. τῆς δὲ ΑΓ πρὸς τὴν ΓΕ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΕΓ ἄρα πρὸς τὴν ΓΖ λόγος ἐστὶ δοθείς· ὥστε τοῦ ἀπὸ τῶν ΕΓ, ΑΒ πρὸς τὸ ὑπὸ τῶν



Sit denique angulus ΒΑΓ obtuſus; atque producta recta ΒΑ ad punctum Ε, in illam ex Γ agatur perpendicularis ΓΕ, ponaturque ipſi ΑΕ æqualis ΑΖ. quoniam igitur angulus ΒΑΓ eſt obtuſus, & perpendicularis acta eſt ΓΕ: quadrata igitur rectarum ΒΑ, ΑΓ cum eo quod bis continetur ſub ΒΑ, ΑΕ, hoc eſt quod bis continetur ſub ΒΑ, ΑΖ, æqualia ſunt [per 13. 2.] quadrato rectæ ΒΓ. addatur commune rectangulum, quod ſc. bis continetur ſub ΒΑ, ΑΓ: ergo quadrata rectarum ΒΑ, ΑΓ cum eo quod bis continetur ſub ΒΑ, ΑΓ, hoc eſt [per 4.2.] quadratum utriuſque ſimul ΒΑΓ cum eo quod bis continetur ſub ΒΑ, ΑΖ, æqualia ſunt quadrato rectæ ΒΓ & ei quod bis continetur ſub ΒΑ, ΑΓ. auferatur commune rectangulum quod bis continetur ſub ΒΑ, ΑΖ: ergo quod ab utraque ſimul ΒΑΓ quadratum æquale eſt quadrato rectæ ΒΓ & [per 3.2.] ei quod bis continetur ſub ΒΑ, ΓΖ: ideoque quadratum utriuſque ſimul ΒΑΓ excedit quadratum rectæ ΒΓ eo quod bis continetur ſub ΒΑ, ΓΖ. quoniam vero angulus ΒΑΓ datus eſt, angulus etiam ΕΑΓ [per 13.1. & 4.dat.] datus eſt. ſed & angulus ΓΕΑ datus eſt; ergo [per 32. 1. & 4. dat.] reliquus quoque angulus ΑΓΕ datus eſt: triangulum igitur ΑΓΕ [per 40.dat.] ſpecie datum eſt: quare [per 3.def.dat.] & ipſius ΓΑ ad ΑΕ, id eſt ad ΑΖ, data eſt ratio: ideoque [per 5.dat.] ipſius ΑΓ ad ΓΖ data eſt ratio. ipſius autem ΑΓ ad ΓΕ data eſt ratio: igitur [per 8.dat.] ratio ipſius ΕΓ ad ΓΖ data eſt: quare [per 1.6.] ratio ejus quod continetur ſub ΕΓ, ΑΒ ad id quod continetur

ſub ΓZ, AB data eſt. ejus autem quod continetur ſub AΓ, AB ad id quod continetur ſub EΓ, AB [per 1.6.] ratio eſt data: ideoque [per 8.dat.] ejus quod ſub AΓ, AB ad id quod ſub ΓZ, AB data eſt ratio. at vero ratio ejus quod continetur ſub AΓ, AB ad triangulum ABΓ [per 66. dat.] data eſt: illius igitur quod bis continetur ſub ΓZ, AB ad triangulum ABΓ ratio [per 8.dat.] data eſt. verum [ex ſupra oſtenſis] rectangulum quod bis continetur ſub ΓZ, AB illud eſt quo quadratum utriuſque ſimul BAΓ excedit quadratum rectæ BΓ: quo igitur quadratum utriuſque ſimul BAΓ excedit quadratum rectæ BΓ, illud ſpatium ad triangulum ABΓ rationem habet datam.



ΓZ, AB λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ τῶν AΓ, AB πρὸς τὸ ὑπὸ τῶν EΓ, AB λόγος ἐστὶ δοθεὶς καὶ τὸ ἄρα ὑπὸ τῶν AΓ, AB πρὸς τὸ ὑπὸ τῶν ΓZ, AB λόγος ἐστὶ δοθείς. τὸ δὲ ὑπὸ τῶν AΓ, AB πρὸς τὸ ABΓ τρίγωνον λόγος ἐστὶ δοθείς· ὥστε καὶ τὸ δὶς ὑπὸ τῶν ΓZ, AB πρὸς τὸ ABΓ τρίγωνον λόγος ἐστὶ δοθείς. καὶ ἔστι τὸ δὶς ὑπὸ τῶν ΓZ, AB ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρου τῆς BAΓ τοῦ ἀπὸ τῆς BΓ· ᾧ ἄρα μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρου τῆς BAΓ τοῦ ἀπὸ τῆς BΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ABΓ τρίγωνον λόγον ἔχει δεδομένον.

ALITER.

Producatur recta BA ad punctum Δ, & ponatur ipſi ΓA æqualis AΔ, connectaturque ΓΔ. quoniam itaque [ex hyp.] datus eſt angulus BAΓ, & ejus dimidius eſt [per 5. & 32.1.] uterque angulorum AΔΓ, AΓΔ; uterque angulorum AΔΓ, AΓΔ datus eſt: ergo [per 32. 1. & 4. dat.] & reliquus ΔAΓ datus eſt: quare [per 40. dat.] triangulum AΓΔ ſpecie datum eſt: ideoque [per 3. def. dat.] ipſius AΓ ad ΓΔ data eſt ratio. quoniam vero angulus AΔΓ datus eſt, deducatur * ipſi AΔΓ æqualis uterque angulorum ΔEΓ, AZΓ. quoniam vero angulus BAΓ angulo ΔEΓ æqualis eſt; angulus autem ΔBE & triangulo ΔBE & triangulo ΔBΓ communis eſt: reliquus igitur BΔE reliquo BΓΔ [per 32. 1.] æqualis eſt: ideoque triangulum BΔE triangulo ΔBΓ æquiangulum eſt: quare [per 4. 6.] ut EB ad BΔ ita eſt BΔ ad ΓB: igitur [per 17.6.] quod continetur ſub EB, ΓB, hoc eſt [per 3.2.] rectangulum ſub EΓ, ΓB una cum quadrato rectæ BΓ, æquale eſt quadrato rectæ ΔB; hoc eſt quadrato utriuſque ſimul BAΓ, etenim [per conſtr.] æqualis eſt ΔA ipſi ΓA: igitur rectangulum ſub EΓ, ΓB una cum quadrato rectæ BΓ, hoc eſt quadratum utriuſque ſimul BAΓ, excedit quadratum rectæ BΓ rectangulo quod continetur ſub BΓ, ΓE. dico igitur quod data eſt ratio rectanguli ſub BΓ, ΓE ad triangulum ABΓ. quoniam enim angulus BΔE angulo BΓΔ æqualis eſt, ut & angulus AΔΓ angulo AΓΔ æqualis: igitur reliquus ΓΔE reliquo AΓB æqualis eſt. eſt autem [per conſtr.] & angulus ΔEΓ angulo AZΓ æqualis: reliquus igitur ΓAZ reliquo ΔΓE [per 32.1.] æqualis eſt: adeoque triangulum AΓZ tri-



ΑΛΛΩΣ.

Διήχθω ἡ BA πρὸς τὸ Δ, καὶ κείσθω τῇ ΓA ἴση ἡ AΔ, καὶ ἐπεζεύχθω ἡ ΓΔ. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ὑπὸ BAΓ γωνία, καὶ ἔστιν αὐτῆς ἡμίσεια ἑκατέρα τῶν ὑπὸ AΔΓ, AΓΔ· δοθεῖσαι ἄρα ἑκατέρα τῶν ὑπὸ AΔΓ, AΓΔ· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ τὰ ΔAΓ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ AΓΔ τρίγωνον τῷ εἴδει· λόγος ἄρα τῆς AΓ πρὸς τὴν ΓΔ δοθείς. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ AΔΓ, κατήχθω τῇ AΔΓ ἴση ἑκατέρα τῶν ὑπὸ ΔEΓ, AZΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ BΔΓ τῇ ὑπὸ ΔEΓ, κοινὴ δὲ ἡ ὑπὸ ΔBE τὰ ΔBE τρίγωνα ἴσου καὶ τὰ ΔBΓ· λοιπὴ ἄρα ἡ ὑπὸ BΔE λοιπῇ τῇ ὑπὸ BΓΔ ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ BΔE τρίγωνον τῷ ΔBΓ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ EB πρὸς τὴν BΔ οὕτως ἡ BΔ πρὸς τὴν ΓB· τὸ ἄρα ὑπὸ τῶν EB, ΓB, τουτέστι τὸ ὑπὸ τῶν EΓ, ΓB μετὰ τὰ ἀπὸ τῆς BΓ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔB, τουτέστι τῷ ἀπὸ συναμφοτέρου τῆς BAΓ, ἴση γάρ ἐστιν ἡ ΔA τῇ ΓA· τὸ ἄρα ὑπὸ τῶν EΓ, ΓB μετὰ τὰ ἀπὸ τῆς BΓ, τουτέστι τὸ ἀπὸ τῆς συναμφοτέρου τῆς BAΓ, τὰ ἀπὸ τῆς BΓ ὑπερέχει τῷ ὑπὸ τῶν BΓ, ΓE. λέγω δή ὅτι λόγος ἐστὶ τὰ ὑπὸ τῶν BΓ, ΓE πρὸς τὸ ABΓ τρίγωνον δοθείς. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ BΔE γωνία τῇ ὑπὸ BΓΔ, ὡς ἡ ὑπὸ AΔΓ τῇ ὑπὸ AΓΔ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΔE λοιπῇ τῇ ὑπὸ AΓB ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ὑπὸ ΔEΓ τῇ ὑπὸ AZΓ ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΓAZ λοιπῇ τῇ ὑπὸ ΔΓE ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ AΓZ

* Per datum punctum A ad datam rectam BΓ deducatur recta AΔ quæ faciat angulum AΔΓ æqualem dato angulo E, hoc modo. In BΓ ſumatur punctum utcunque Z, & ad datam rectam BΓ, datumque in ea punctum Z, ducatur [per 23.1.] recta ZH quæ faciat angulum ΓZH æqualem ipſi E; & per A ipſi ZH [per 31.1.] ducatur parallela AΔ: erit hæc ea quæ quæritur. Nam angulus AΔΓ [per 29. 1.] æqualis eſt ipſi HZΓ, qui [per conſtr.] æqualis eſt ipſi E.



τρίγωνον

τρίγωνον τῷ ΔΕΓ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΓΑ πρὸς τὴν ΑΖ οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ· καὶ ἐναλλὰξ ἄρα ὡς ἡ ΓΑ πρὸς τὴν ΓΔ οὕτως ἡ ΑΖ πρὸς τὴν ΓΕ. λόγος δὲ τῆς ΑΓ πρὸς τὴν ΓΔ δοθείς· λόγος ἄρα τῆς ΑΖ πρὸς τὴν ΓΕ δοθείς. ἤχθω ἀπὸ τοῦ Α σημείου τῇ ΒΓ κάθετος ἡ ΑΗ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΑΖΓ, ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΗΖ δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΗΑΖ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΗΖ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ΑΖ πρὸς τὴν ΑΗ δοθείς. τῆς δὲ ΖΑ πρὸς τὴν ΓΕ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΑΗ ἄρα πρὸς τὴν ΓΕ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τοῦ ὑπὸ τῶν ΑΗ, ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΓ, ΓΕ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ τῶν ΑΗ, ΒΓ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς· καὶ τοῦ ἄρα ὑπὸ τῶν ΒΓ, ΓΕ πρὸς τὸ ΑΒΓ τρίγωνον λόγος ἐστὶ δοθείς. καὶ ἔστι τὸ ὑπὸ τῶν ΒΓ, ΓΕ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ τοῦ ἀπὸ τῆς ΒΓ· ᾧ ἄρα μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ τοῦ ἀπὸ τῆς ΒΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔχει δεδομένον.

angulo ΔΕΓ æquiangulum eſt: quare [per 4. 6.] eſt ut ΓΑ ad ΑΖ ita ΔΓ ad ΓΕ: ideoque permutando ut ΓΑ ad ΓΔ ita ΑΖ ad ΓΕ. eſt autem [ex ſupra oſtenſis] ratio ipſius ΑΓ ad ΓΔ data: quare & ipſius ΑΖ ad ΓΕ ratio eſt data. agatur à puncto Α ad rectam ΒΓ perpendicularis ΑΗ. & quoniam angulus ΑΖΓ datus eſt, atque angulus ΑΗΖ datus: reliquus igitur ΗΑΖ datus eſt: itaque [per 40.dat.] triangulum ΑΗΖ ſpecie datum eſt: quare ratio ΑΖ ad ΑΗ data eſt. ipſius autem ΖΑ ad ΓΕ data eſt ratio: ergo [per 8.dat.] etiam ratio ipſius ΑΗ ad ΓΕ data eſt: ideoque [per 1. 6.] ratio ejus quod continetur ſub ΑΗ, ΒΓ ad id quod continetur ſub ΒΓ, ΓΕ data eſt. verum [per 41.1.] ejus quod continetur ſub ΑΗ, ΒΓ ad triangulum ΑΒΓ data eſt: quare & ratio ejus quod continetur ſub ΒΓ, ΓΕ ad triangulum ΑΒΓ data eſt. at vero [per ſupra oſtenſa] quod continetur ſub ΒΓ, ΓΕ eſt illud ſpatium quo quadratum utriuſque ſimul ΒΑΓ excedit quadratum rectæ ΒΓ: igitur illud ſpatium, quo quadratum utriuſque ſimul ΒΑΓ excedit quadratum rectæ ΒΓ, ad triangulum ΑΒΓ habet rationem datam.

ΠΡΟΤΑΣΙΣ ξή'.

Ἐὰν δύο ἰσογώνια παραλληλόγραμμα λόγον ἔχῃ δεδομένον, καὶ μία πλευρὰ πρὸς μίαν πλευρὰν λόγον ἔχῃ δεδομένον· καὶ λοιπὴ πλευρὰ πρὸς τὴν λοιπὴν πλευρὰν λόγον ἕξει δεδομένον.

PROP. LXVIII.

Si duo parallelogramma æquiangula habeant ad invicem rationem datam, atque unum latus ad unum latus habeat rationem datam; etiam reliquum latus ad reliquum latus rationem habebit datam.

Δύο γὰρ ἰσογώνια παραλληλόγραμμα τὰ ΑΒ, ΓΔ πρὸς ἄλληλα λόγον ἐχέτω δεδομένον, ἐχέτω δὲ καὶ μία πλευρὰ πρὸς μίαν πλευρὰν λόγον δεδομένον, καὶ ἔστω τῆς ΒΕ πρὸς τὴν ΖΔ λόγος δοθείς· λέγω ὅτι καὶ τῆς ΑΕ πρὸς τὴν ΖΓ λόγος ἐστὶ δοθείς.





Παραβεβλήσθω γὰρ παρὰ τὴν ΕΒ τῷ ΓΔ ἴσον τὸ ΕΗ, καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΑΕ τῇ ΕΘ· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΚΒ τῇ ΒΗ. ἐπεὶ οὖν λόγος ἐστὶ τοῦ ΑΒ πρὸς τὸ ΓΔ δοθείς, ἴσον δὲ τὸ ΓΔ τῷ ΕΗ· λόγος ἄρα καὶ ΑΒ πρὸς τὸ ΕΗ δοθείς· ὥστε καὶ τῆς ΑΕ πρὸς τὴν ΕΘ λόγος ἐστὶ δοθείς. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΕΗ τῷ ΓΔ· ἔστιν ἄρα ὡς ἡ ΕΒ πρὸς τὴν ΖΔ οὕτως ἡ ΓΖ πρὸς τὴν ΕΘ. λόγος δὲ τῆς ΕΒ πρὸς τὴν ΖΔ δοθείς· καὶ τῆς ΓΖ ἄρα πρὸς τὴν ΕΘ λόγος ἐστὶ δοθείς. τῆς δὲ ΕΘ πρὸς τὴν ΑΕ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΑΕ ἄρα πρὸς τὴν ΓΖ λόγος ἐστὶ δοθείς.

DUO enim æquiangula parallelogramma ΑΒ, ΓΔ habeant ad invicem rationem datam, habeat autem & unum latus ad unum latus rationem datam, ſitq; ratio ΒΕ ad ΖΔ data: dico ipſius quoque ΑΕ ad ΖΓ rationem eſſe datam.

Applicetur enim ad rectam ΕΒ ipſi ΓΔ æquale parallelogrammum ΕΗ, atque ita conſtituatur, ut in directum jaceat ΑΕ ipſi ΕΘ: adeoque recta ΚΒ in directum erit ipſi ΒΗ. quoniam itaque [ex hyp.] data eſt ratio ipſius ΑΒ ad ΓΔ; ΓΔ vero [per conſtr.] æquale eſt ipſi ΕΗ: igitur ratio ipſius ΑΒ ad ΕΗ data eſt: adeoq; [per 1.6.] & ratio ipſius ΑΕ ad ΕΘ etiam eſt data. & quoniam parallelogrammum ΕΗ ipſi ΓΔ æquale eſt, erit [per 14.6.] ut ΕΒ ad ΖΔ ita ΓΖ ad ΕΘ. ſed [ex hyp.] ratio ipſius ΕΒ ad ΖΔ data eſt: igitur & ratio ipſius ΓΖ ad ΕΘ data eſt. ipſius autem ΕΘ ad ΑΕ ratio eſt data: ergo [per 8. dat.] & ratio ipſius ΑΕ ad ΓΖ data eſt.

ALI-

ALITER.

Exponatur data recta K. & quoniam ratio ipſius A ad B data eſt, fiat huic eadem ratio ipſius K ad Λ. eſt autem ratio ipſius A ad B data; igitur ratio ipſius K ad Λ data eſt. data autem eſt K; ergo & [per 2. dat.] Λ data eſt. rurſus, quoniam ratio ipſius Γ Δ ad E Z data eſt, fiat huic eadem ratio ipſius K ad M: ergo ratio ipſius K ad M data eſt. data autem eſt K; ergo data quoque eſt M. eſt autem & Λ data: quare [per 1. dat.] ratio ipſius Λ ad M data eſt. & quoniam [ex hyp.] æquiangulum eſt A ipſi B; igitur [per 23.6.] A ad B habet rationem compoſitam ex laterum rationibus, hoc eſt, & ex ratione quam habet Γ Δ ad E Z & ex ea quam habet Θ Γ ad H E. ſed ipſa K ad Λ habet rationem compoſitam ex ratione quam habet K ad M & ratione quam habet M ad Λ: igitur ratio compoſita ex ratione quam habet Γ Δ ad E Z & ratione quam habet Θ Γ ad H E eadem eſt cum ratione compoſita ex ratione ipſius K ad M & ratione ipſius M ad Λ. ex quibus ratio ipſius Γ Δ ad E Z eadem eſt [per conſtr.] cum ratione ipſius K ad M: igitur reliqua ratio, nempe ipſius Θ Γ ad H E, eadem eſt cum ratione ipſius M ad Λ. ratio autem ipſius M ad Λ [ex ſupra oſtenſis] data eſt: igitur & ratio ipſius Θ Γ ad H E data eſt.



ΑΛΛΩΣ.

Ἐκκείσθω δεδομένη εὐθεῖα ἡ K. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ A πρὸς τὸ B δοθείς, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τοῦ K πρὸς τὸ Λ. λόγος δὲ τοῦ A πρὸς τὸ B δοθείς· λόγος ἄρα καὶ τῆς K πρὸς τὸ Λ δοθείς. δοθεῖσα δὲ ἡ K· δοθεῖσα ἄρα καὶ ἡ Λ. πάλιν ἐπεὶ λόγος ἐστὶ δοθεὶς τοῦ Γ Δ πρὸς τὸ E Z, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τοῦ K πρὸς τὸ M· λόγος ἄρα καὶ τοῦ K πρὸς τὴν M δοθείς. δοθεῖσα δὲ ἡ K· δοθεῖσα ἄρα ἡ M. ἔστι δὲ καὶ ἡ Λ δοθεῖσα· λόγος ἄρα τοῦ Λ πρὸς τὸ M δοθείς. καὶ ἐπεὶ ἰσογώνιόν ἐστι τὸ A τῷ B· τὸ ἄρα A πρὸς τὸ B λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν, τουτέστιν ἐκ τοῦ λόγου ὃν ἔχει ἡ Γ Δ πρὸς τὸ E Z καὶ ἡ Θ Γ πρὸς τὸ H E. ἀλλὰ μὴν καὶ ἡ K πρὸς τὸ Λ λόγον ἔχει τὸν συγκείμενον ἐκ τοῦ λόγου ὃν ἔχει ἡ K πρὸς τὸ M καὶ ἐκ τοῦ ὃν ἔχει ἡ M πρὸς τὸ Λ· ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ λόγου ὃν ἔχει ἡ Γ Δ πρὸς τὸ E Z καὶ ἡ Θ Γ πρὸς τὸ H E ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἐκ τοῦ ὃν ἔχει ἡ K πρὸς τὸ M καὶ ἡ M πρὸς τὸ Λ. ὧν ὁ τοῦ Γ Δ πρὸς τὴν E Z λόγος ὁ αὐτός ἐστι τῷ τοῦ K πρὸς τὴν M λόγῳ· λοιπὸς ἄρα ὁ τοῦ Θ Γ πρὸς τὸ H E λόγος ὁ αὐτός ἐστι τῷ τοῦ M πρὸς τὸ Λ. τῆς δὲ M πρὸς τὸ Λ λόγος ἐστὶ δοθείς· λόγος ἄρα καὶ τοῦ Θ Γ πρὸς τὸ H E δοθείς.

PROP. LXIX.

Si duo parallelogramma datos angulos habeant, & ad invicem rationem datam; habeat autem & unum latus ad unum latus rationem datam: & reliquum latus ad reliquum latus habebit rationem datam.

DUO enim parallelogramma A B, E H, habentia datos angulos ad puncta Δ, Z, ad invicem rationem datam habeant; ſitque etiam ratio ipſius Δ B ad Z H data: dico ipſius quoque A Δ ad E Z rationem datam eſſe.

Si A B ipſi E H æquiangulum quidem ſit, res [per 68.dat.] manifeſta eſt. ſi vero non ſit illi æquiangulum; conſtituatur [per 23. 1.] ad rectam Δ B, & ad punctum in illa Δ, angulo E Z H æqualis angulus B Δ K, & [per 31.1.] compleatur parallelogrammum Δ Λ.



ΠΡΟΤΑΣΙΣ ξθ'.

Ἐὰν δύο παραλληλόγραμμα δεδομένας ἔχῃ γωνίας καὶ λόγον πρὸς ἄλληλα δεδομένον, καὶ μία πλευρὰ πρὸς μίαν πλευρὰν λόγον ἔχῃ δεδομένον· καὶ ἡ λοιπὴ πλευρὰ πρὸς τὴν λοιπὴν πλευρὰν λόγον ἕξει δεδομένον.

Δύο γὰρ παραλληλόγραμμα τὰ A B, E H δεδομένας ἐχέτω γωνίας τὰς πρὸς τοῖς Δ, Z, πρὸς ἄλληλα λόγον ἐχέτω δεδομένον, λόγος δὲ ἔστω τοῦ Δ B πρὸς τὴν Z H δοθείς· λέγω ὅτι καὶ τῆς A Δ πρὸς τὴν E Z λόγος ἐστὶ δοθείς.



Εἰ μὲν οὖν ἐστὶν ἰσογώνιον τὸ A B τῷ E H, φανερόν. εἰ δὲ οὔ· συνεστάτω πρὸς τῇ Δ B, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Δ, τῇ ὑπὸ E Z H γωνίᾳ ἴση ἡ ὑπὸ B Δ K, καὶ συμπεπληρώσθω τὸ Δ Λ παραλληλόγραμμον.

καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἑκατέρα τῶν ὑπὸ ΔΑΚ, ΑΚΔ· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΑΔΚ ἐστὶ δοθεῖσα· δέδοται ἄρα τὸ ΑΔΚ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ΑΔ πρὸς τὴν ΔΚ δοθείς. ἐπεὶ λόγος ἐστὶ τοῦ ΔΓ πρὸς τὸ ΖΘ δοθείς, ὑπόκειται γάρ, καὶ ἔστιν ἴσον τὸ ΔΓ τῷ ΔΛ· λόγος ἄρα καὶ τοῦ ΔΛ πρὸς τὸ ΖΘ δοθείς. ἐπεὶδήπερ ἰσογώνιόν ἐστι τὸ ΔΛ τῷ ΖΘ, καὶ λόγος ἐστὶ τοῦ ΔΛ πρὸς τὸ ΖΘ δοθείς, καὶ ἔστι τῆς ΔΒ πρὸς τὴν ΖΗ λόγος δοθείς, ὑπόκειται γάρ· λόγος ἄρα ἐστὶ καὶ τῆς ΔΚ πρὸς τὴν ΕΖ δοθείς. τῆς δὲ ΔΚ πρὸς τὴν ΑΔ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΑΔ ἄρα πρὸς τὴν ΕΖ λόγος ἐστὶ δοθείς.

& quoniam [ex hyp.] uterque angulorum ΔΑΚ, ΑΚΔ datus eſt; reliquus igitur ΑΔΚ [per 32. 1. & 4.dat.] datus eſt: quare [per 40.dat.] triangulum ΑΔΚ ſpecie datum eſt: ideoque ratio ipſius ΑΔ ad ΔΚ data eſt. quoniam vero ratio ipſius ΔΓ ad ΖΘ data eſt, ita enim ſupponitur; atque [per 35.1.] æquale eſt ΔΓ ipſi ΔΛ: ratio igitur ipſius ΔΛ ad ΖΘ data eſt. cumque [per conſtr.] æquiangulum ſit ΔΛ ipſi ΖΘ, & ratio ipſius ΔΛ ad ΖΘ data ſit; necnon ratio ipſius ΔΒ ad ΖΗ data, ita enim ſupponitur: ratio igitur ipſius ΔΚ ad ΕΖ [per 68.dat.] data eſt. eſt autem [ex mox oſtenſis] ratio ipſius ΔΚ ad ΑΔ data: ergo [per 8.dat.] & ratio ipſius ΑΔ ad ΕΖ data eſt.

ΠΡΟΤΑΣΙΣ ο'.

Ἐὰν δυοῖν παραλληλογράμμων περὶ ἴσας γωνίας, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον, καὶ αὐτὰ τὰ παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἕξει δεδομένον.

PROP. LXX.

Si duorum parallelogrammorum, circa æquales angulos, aut circa inæquales quidem datos tamen, latera ad invicem habeant rationem datam; & ipſa quoque parallelogramma ad invicem rationem datam habebunt.

Δύο γὰρ παραλληλογράμμων τῶν ΑΒ, ΕΗ, περὶ ἴσας γωνίας τὰς πρὸς τοῖς Γ, Ζ, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, τουτέστι λόγος ἔστω τοῦ μὲν ΑΓ πρὸς τὴν ΕΖ δοθείς, τοῦ δὲ ΓΒ πρὸς τὴν ΖΗ λόγος ἔστω δοθείς· λέγω ὅτι καὶ τοῦ ΓΔ πρὸς τὸ ΖΘ λόγος ἐστὶ δοθείς.

DUorum enim parallelogrammorum ΑΒ, ΕΗ, circa æquales angulos ad puncta Γ, Ζ, aut circa inæquales quidem datos tamen, latera habeant ad invicem rationem datam; nempe data ſit ratio ipſius ΑΓ ad ΕΖ; ſit quoque ratio ipſius ΓΒ ad ΖΗ data: dico quod ratio ipſius ΓΔ ad ΖΘ data eſt.

Ἔστω γὰρ ἰσογώνιον τῷ ΖΘ τὸ ΓΔ. καὶ παραβεβλήσθω παρὰ τὴν ΓΒ εὐθεῖαν παραλληλόγραμμον τὸ ΓΜ, καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΑΓ τῇ ΓΝ· καὶ ἡ ΔΒ ἄρα ἐπ' εὐθείας ἐστὶ τῇ ΒΜ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΒΝ τῷ ΖΘ, ἔστι δὲ καὶ ἰσογώνιον· τῶν ΒΝ, ΖΘ ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΖΗ οὕτως ἡ ΖΕ πρὸς τὴν ΓΝ. λόγος δὲ τῆς ΓΒ πρὸς τὴν ΖΗ δοθείς· λόγος ἄρα τῆς ΕΖ πρὸς τὴν ΓΝ δοθείς. τῆς δὲ ΕΖ πρὸς τὴν ΑΓ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΑΓ ἄρα πρὸς τὴν ΓΝ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τοῦ ΓΔ πρὸς τὸ ΓΜ λόγος ἐστὶ δοθείς. ἔστι δὲ τὸ ΓΜ τῷ ΖΘ ἴσον· λόγος ἄρα καὶ τοῦ ΓΔ πρὸς τὸ ΖΘ δοθείς.



Sit enim primo ΓΔ ipſi ΖΘ æquiangulum. & [per 45. 1.] applicetur ad rectam ΓΒ parallelogrammo ΖΘ æquale parallelogrammum ΓΜ, atque ita conſtituatur ut ΑΓ in directum ſit ipſi ΓΝ: erit igitur & ΔΒ ipſi ΒΜ in directum. quoniam itaque ΒΝ ipſi ΖΘ æquiangulum eſt & æquale: ipſorum igitur ΒΝ, ΖΘ latera circum æquales angulos ſunt [per 14.6.] reciproce proportionalia; adeoque ut ΓΒ ad ΖΗ ita eſt ΖΕ ad ΓΝ. eſt autem [ex hyp.] ratio ipſius ΓΒ ad ΖΗ data: ipſius igitur ΕΖ ad ΓΝ data eſt ratio. verum ipſius ΕΖ ad ΑΓ ratio [ex hyp.] eſt data: quare [per 8.dat.] ratio ipſius ΑΓ ad ΓΝ data eſt: adeoque [per 1.6.] & ratio ipſius ΓΔ ad ΓΜ data eſt. æquale autem eſt [per conſtr.] ΓΜ ipſi ΖΘ: ergo ratio ipſius ΓΔ ad ΖΘ data eſt.



Μὴ ἔστω δὴ ἰσογώνιον τὸ ΑΒ τῷ ΕΗ. καὶ συνεστάτω πρὸς τῇ ΒΓ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Γ, τῇ ὑπὸ ΕΖΗ ἴση γωνία ἡ ὑπὸ ΒΓΚ, καὶ συμπεπληρώσθω ΓΛ παραλληλόγραμμον. ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΑΓΒ γω-

NON ſit autem ΑΒ æquiangulum ipſi ΕΗ. & [per 23. 1.] conſtituatur ad rectam ΒΓ, & datum in ea punctum Γ, angulo ΕΖΗ æqualis angulus ΒΓΚ, compleaturque parallelogrammum ΓΛ. quoniam vero angulus ΑΓΒ [ex hyp.] datus

tus est; atque angulus K Γ B [per constr.] datus: igitur [per 4.dat.] reliquus A Γ K datus est. est autem & Γ A K datus: unde [per 32. 1. & 4.dat.] reliquus A K Γ datus est: triangulum igtur A Γ K [per 40.dat.] specie datum est: adeoque ratio ipsius A Γ ad Γ K data est. ipsius autem B Γ ad E Z [ex hyp.] data est ratio: quare [per 8. dat.] & ratio ipsius Γ K ad E Z data est. ipsius autem Γ B ad Z H ratio [ex hyp.] data est; atque [per constr.] æqualis est angulus K Γ B angulo E Z H: igitur [per part. prior. hujus] ratio ipsius Γ Δ ad Z Θ est data.



Prop. LXXI.

Si duorum triangulorum, circa æquales angulos, aut circa inæquales quidem datos tamen, latera ad invicem habeant rationem datam; ipsa quoque triangula ad invicem rationem datam habebunt.

DUorum enim triangulorum A B Γ, Δ E Θ, circa æquales angulos ad puncta A, Δ, aut circa inæquales quidem datos tamen, latera ad invicem habeant rationem datam, sitque ratio ipsius quidem B A ad E Δ, necnon ipsius A Γ ad Δ Θ data: dico rationem trianguli A B Γ ad triangulum Δ E Θ datam esse.

Compleantur enim parallelogramma A H, Δ Z. quoniam itaque duorum parallelogrammorum A H, Δ Z, circa æquales angulos ad puncta A, Δ, aut inæquales quidem sed tamen datos, latera ad invicem habent rationem datam: ratio ipsius A H ad Δ Z [per 70.dat.] data est. sed [per 34.1.] ipsius quidem A H dimidium est triangulum A B Γ; ipsius vero Δ Z dimidium triangulum Δ E Θ: ergo trianguli A B Γ ad triangulum Δ E Θ ratio est data.



Prop. LXXII.

Si duorum triangulorum bases fuerint in ratione data, atque etiam rectæ actæ ab angulis ad bases, quæ faciant angulos æquales, aut inæquales quidem sed tamen datos, habeant ad invicem

νία, ἐστὶ δὲ καὶ ἡ ὑπὸ K Γ B δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ A Γ K δοθεῖσά ἐστι. ἔστι δὲ καὶ ἡ ὑπὸ Γ A K δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ A K Γ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ A Γ K τρίγωνον τῷ εἴδει λόγῳ· ἄρα ἐστὶ τῆς A Γ πρὸς τὴν Γ K δοθείς. ἡ δὲ A Γ πρὸς τὴν E Z λόγος ἐστὶ δοθείς· καὶ τῆς Γ K ἄρα πρὸς τὴν E Z λόγος ἐστὶ δοθείς. ἔστι δὲ καὶ τῆς Γ B πρὸς τὴν Z H λόγος δοθείς, καὶ ἔστιν ἴση ἡ ὑπὸ K Γ B γωνία τῇ ὑπὸ E Z H· λόγῳ ἄρα ἐστὶ τοῦ Γ Δ πρὸς τὴν Z Θ δοθείς.

ΠΡΟΤΑΣΙΣ οα'.

Ἐὰν δυοῖν τριγώνων, περὶ ἴσας γωνίας, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχωσι δεδομένον· καὶ αὐτὰ τὰ τρίγωνα πρὸς ἄλληλα λόγον ἕξει δεδομένον.

Δυοῖν γὰρ τριγώνων τῶν A B Γ, Δ E Θ, περὶ ἴσας γωνίας τὰς πρὸς τοῖς A, Δ, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἐχέτωσαν δεδομένον, καὶ ἔστω λόγος τῆς μὲν B A πρὸς τὴν E Δ δοθείς, τῆς δὲ A Γ πρὸς τὴν Δ Θ· λέγω ὅτι καὶ τὸ A B Γ τρίγωνον πρὸς τὸ Δ E Θ τρίγωνον λόγος ἐστὶ δοθείς.

Συμπεπληρώσθω γὰρ A H, Δ Z παραλληλόγραμμα. ἐπεὶ οὖν δύο παραλληλογράμμων τῶν A H, Δ Z περὶ ἴσας γωνίας τὰς πρὸς τοῖς A, Δ σημείοις, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, αἱ πλευραὶ πρὸς ἀλλήλας λόγον ἔχουσι δεδομένον· λόγος ἄρα τοῦ A H πρὸς τὸ Δ Z δοθείς. καὶ ἔστι τοῦ μὲν A H ἥμισυ τὸ A B Γ τρίγωνον, τοῦ δὲ Δ Z τὸ Δ E Θ· λόγος ἄρα τοῦ A B Γ τριγώνου πρὸς τὸ Δ E Θ τρίγωνον δοθείς.

ΠΡΟΤΑΣΙΣ οβ'.

Ἐὰν δυοῖν τριγώνων αἱ τε βάσεις ἐν δεδομένῳ λόγῳ ὦσι, καὶ αἱ ἐπ' αὐτὰς ἠγμέναι ἀπὸ τῶν γωνιῶν, ἤτοι ἴσας γωνίας ποιῶσαι, ἢ ἀνίσους μὲν δεδομένας δὲ, τὰς πρὸς ταῖς βάσεσιν λό-

γον ἔχωσι πρὸς ἄλληλας δεδομένον· καὶ αὐτὰ τὰ τρίγωνα πρὸς ἄλληλα λόγον ἔξει δεδομένον.

rationem datam: ipsa quoque triangula ad invicem rationem datam habebunt.

Ἐστωσαν δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, καὶ ἤχθωσαν αἱ ΑΗ, ΔΘ ὁποιαιοῦν γωνίας ποιοῦσαι τὰς ὑπὸ ΑΗΓ, ΔΘΖ, ἡ μὲν ἀνίσους μὴν δεδομένας δὲ, καὶ ἔστω λόγος τῆς μὲν ΒΓ πρὸς τὴν ΕΖ δοθείς, τῆς δὲ ΑΗ πρὸς τὴν ΔΘ λόγος ἔστω δοθείς· λέγω ὅτι καὶ τοῦ ΑΒΓ τριγώνου πρὸς τὸ ΔΕΖ τρίγωνον λόγος ἐστὶ δοθείς.

SInt duo triangula ΑΒΓ, ΔΕΖ, & agantur rectæ ΑΗ, ΔΘ, quæ angulos ΑΗΓ, ΔΘΖ ad baſes faciant, aut æquales, aut inæquales quidem ſed tamen datos; ſitque ratio ipſius ΒΓ ad ΕΖ data, atque etiam ipſius ΑΗ ad ΔΘ: dico etiam rationem trianguli ΑΒΓ ad triangulum ΔΕΖ datam eſſe.

Συμπεπληρώσθω γὰρ τὰ ΚΓ, ΛΖ παραλληλόγραμμα. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΗΓ, ΔΘΖ γωνίαι ἤτοι ἴσαι εἰσὶν, ἢ ἄνισοι μὴν, δεδομέναι δὲ, ἴση δὲ ἡ μὲν ὑπὸ ΑΗΓ τῇ ὑπὸ ΚΒΓ, ἡ δὲ ὑπὸ ΔΘΖ τῇ ὑπὸ ΛΕΖ· καὶ αἱ πρὸς τοῖς Β, Ε ἄρα γωνίαι ἤτοι ἴσαι εἰσὶν, ἢ ἄνισοι μὴν, δεδομέναι δέ. καὶ ἐπεὶ λόγος ἐστὶ τῆς ΑΗ πρὸς τὴν ΔΘ δοθείς, ἴση δὲ ἡ μὲν ΑΗ τῇ ΚΒ, ἡ δὲ ΔΘ τῇ ΛΕ· λόγος ἄρα ἐστὶ τῆς ΚΒ πρὸς τὴν ΛΕ δοθείς. ἔστι δὲ καὶ τῆς ΒΓ πρὸς τὴν ΕΖ λόγος δοθείς. καὶ ἐπεὶ αἱ πρὸς τοῖς Β, Ε σημείοις γωνίαι ἤτοι εἰσὶν ἴσαι, ἢ ἄνισοι μὴν δεδομέναι δέ· καὶ τοῦ ΚΓ ἄρα παραλληλογράμμου πρὸς τὸ ΛΖ παραλληλόγραμμον λόγος ἐστὶ δοθείς· ὥστε καὶ τοῦ ΑΒΓ τριγώνου πρὸς τὸ ΔΕΖ τρίγωνον λόγος ἐστὶ δοθείς.





Compleantur enim parallelogramma ΚΓ, ΛΖ. & quoniam [ex hyp.] anguli ΑΗΓ, ΔΘΖ aut æquales ſunt, aut inæquales quidem ſed tamen dati, angulus autem ΑΗΓ [per 29. 1.] angulo ΚΒΓ eſt æqualis, necnon angulus ΔΘΖ angulo ΛΕΖ: anguli igitur ad puncta Β, Ε aut æquales ſunt, aut inæquales quidem ſed tamen dati. quoniam vero [ex hyp.] ratio ipſius ΑΗ ad ΔΘ data eſt, & eſt [per 34. 1.] ΑΗ quidem ipſi ΚΒ, atque ΔΘ ipſi ΛΕ æqualis: ratio igitur ipſius ΚΒ ad ΛΕ data eſt. eſt autem & ratio ipſius ΒΓ ad ΕΖ [ex hyp.] data. & quoniam anguli ad puncta Β, Ε aut æquales ſunt, aut inæquales quidem ſed tamen dati: igitur [per 70. dat.] ratio parallelogrammi ΚΓ ad parallelogrammum ΛΖ eſt data: adeoque [per 41. 1.] ratio trianguli ΑΒΓ ad triangulum ΔΕΖ data eſt.

ΠΡΟΤΑΣΙΣ ογ'.

Ἐὰν δυοῖν παραλληλογράμμων περὶ ἴσας γωνίας, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, αἱ πλευραὶ ὅτως ἔχωσιν, ὥστε εἶναι ὡς τὴν τοῦ πρώτου πλευρὰν πρὸς τὴν τοῦ δευτέρου πλευρὰν ὅτως τὴν λοιπὴν τοῦ δευτέρου πλευρὰν πρὸς ἄλλην τινα, ἔχῃ δὲ καὶ ἡ λοιπὴ τοῦ πρώτου πλευρὰ πρὸς αὐτὴν λόγον δεδομένον· καὶ αὐτὰ τὰ παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἕξει δεδομένον.

PROP. LXXIII.

Si duorum parallelogrammorum, circa æquales angulos, aut circa inæquales quidem ſed tamen datos, latera ita ſe habeant, ut ſit quemadmodum primi latus ad ſecundi latus ita reliquum ſecundi latus ad aliam quandam rectam; habeat autem & reliquum primi latus ad eandem iſtam rectam rationem datam: ipſa quoque parallelogramma ad invicem rationem datam habebunt.

Δύο γὰρ παραλληλογράμμων τῶν ΑΒ, ΕΗ, περὶ ἴσας γωνίας, ἢ περὶ ἀνίσους μὲν δεδομένας δὲ, τὰς πρὸς τοῖς Γ, Ζ σημείοις, αἱ πλευραὶ ὅτως ἐχέτωσαν πρὸς ἀλλήλας, ὥστε εἶναι ὡς τὴν ΓΒ πρὸς τὴν ΖΗ ὅτως τὴν ΕΖ πρὸς τὴν ΓΚ, τὴν δὲ ΑΓ πρὸς τὴν ΓΚ λόγος ἔστω δοθείς· λέγω ὅτι καὶ τὸ ΑΒ παραλληλόγραμμον πρὸς τὸ ΕΗ παραλληλόγραμμον λόγος ἐστὶ δοθείς.

DUorum enim parallelogrammorum ΑΒ, ΕΗ, circa æquales angulos, aut inæquales quidem ſed tamen datos ad puncta Γ, Ζ, latera ad invicem ita ſe habeant, ut ſit quemadmodum ΓΒ ad ΖΗ ita recta ΕΖ ad rectam ΓΚ; ſitque ratio ipſius ΑΓ ad ΓΚ data: dico parallelogrammi ΑΒ ad parallelogrammum ΕΗ rationem datam eſſe.





Sit enim primo parallelogrammum AB æquiangulum ipſi EH; atque ita conſtituatur ΓK ut ſit in directum ipſi AΓ, compleaturque parallelogrammum AΘ. quoniam vero eſt ut ΓB ad ZH ita EZ ad ΓK; *erit etiam permutando [per 16. 5.] ut ΓB ad EZ ita ZH ad ΓK: igitur [per 16.6.] quod continetur ſub BΓ, ΓK æquale eſt ei quod continetur ſub EZ, ZH: ergo ΓΘ ipſi EH æquale eſt. ſed & [per 14.6.] eidem eſt æquiangulum: ergo [per 14.6.] latera circa æquales angulos ſunt reciproce proportionalia: eſt igitur ut ΓB ad ZH ita EZ ad ΓK.* ut autem ΓB ad ZH ita [ex hyp.] EZ ad eam ad quam AΓ habet rationem datam: ergo ratio ipſius AΓ ad ΓK data eſt: adeoque [per 1.6.] ratio ipſius AB ad ΓΘ, hoc eſt ad EH, data eſt.



Εστω δὴ πρότερον τὸ AB τῷ EH ἰσογώνιον, καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν AΓ τῇ ΓK, καὶ συμπεπληρώσθω τὸ AΘ παραλληλόγραμμον. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓB πρὸς τὴν ZH οὕτως ἡ EZ πρὸς τὴν ΓK· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΓB πρὸς τὴν EZ οὕτως ἡ ZH πρὸς τὴν ΓK· τὸ ἄρα ὑπὸ τὰς BΓ, ΓK ἴσον ἐστὶ τῷ ὑπὸ τὰς EZ, ZH· τὸ ΓΘ ἄρα ἴσον ἐστὶ τῷ EH. ἔστι δὲ καὶ ἰσογώνιον· τὰ ΓΘ, EH ἄρα ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἔστιν ἄρα ὡς ἡ ΓB πρὸς τὴν ZH οὕτως ἡ EZ πρὸς τὴν ΓK.* ὡς δὲ ἡ ΓB πρὸς τὴν ZH οὕτως ἡ EZ πρὸς λόγον ἔχει δεδομένον· λόγος ἄρα καὶ τοῦ AΓ πρὸς τὴν ΓK δοθείς· ὥστε καὶ τὸ AB πρὸς τὸ ΓΘ, τουτέστι πρὸς τὸ EH, λόγος ἐστὶ δοθείς.

Non ſit autem parallelogrammum AB æquiangulum parallelogrammo EH. & [per 23. 1.] conſtituatur ad rectam BΓ, & ad datum in ea punctum Γ, angulo EZH æqualis angulus BΓΛ; compleaturque parallelogrammum ΓM. & quoniam datus eſt uterque angulorum AΓΛ, AΓB; reliquus igitur AΓΛ datus eſt. angulus autem ΓAΛ [ex hyp.] datus eſt: quare [per 40. dat.] triangulum AΓΛ ſpecie datum eſt: adeoque ratio ipſius AΓ ad ΓΛ data eſt. & quoniam [ex hyp.] eſt ut BΓ ad ZH ita EZ ad eam ad quam AΓ habet rationem datam; ipſiuſque AΓ ad ΓΛ data eſt ratio: eſt igitur ut BΓ ad ZH ita ZE ad eam ad quam AΓ habet rationem datam. æqualis autem eſt [per conſtr.] angulus BΓΛ angulo EZH: igitur [per part. prior. hujus] ratio ipſius ΓM ad EH data eſt. ſed [per 35.1.] ipſi ΓM æqualis eſt ΓΔ: ratio igitur ipſius ΓΔ ad EH data eſt.



Μὴ ἔστω δὴ ἰσογώνιον τὸ AB τῷ EH. καὶ συνεστάτω πρὸς τῇ BΓ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Γ τῇ ὑπὸ EZH γωνίᾳ ἴση ἡ ὑπὸ BΓΛ, καὶ συμπεπληρώσθω τὸ ΓM. καὶ ἐπεὶ δοθεῖσαί εἰσιν ἑκατέρα τῶν ὑπὸ AΓΛ, AΓB· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ AΓΛ ἐστὶ δοθεῖσα. δέδοται δὲ καὶ ἡ ὑπὸ ΓAΛ· δέδοται ἄρα τὸ AΓΛ τρίγωνον τῷ εἴδει· λόγος ἄρα καὶ τοῦ AΓ πρὸς τὴν ΓΛ δοθείς. καὶ ἐπεί ἐστιν ὡς ἡ BΓ πρὸς τὴν ZH οὕτως ἡ EZ πρὸς ἣν ἡ AΓ λόγον ἔχει δεδομένον, τὸ δὲ AΓ πρὸς τὴν ΓΛ λόγος ἐστὶ δοθείς· ἔστιν ἄρα ὡς ἡ BΓ πρὸς τὴν ZH οὕτως ἡ ZE πρὸς ἣν ἡ ΛΓ λόγον ἔχει δεδομένον. καὶ ἔστιν ἴση ἡ ὑπὸ BΓΛ γωνία τῇ ὑπὸ EZH· λόγος ἄρα καὶ τοῦ ΓM πρὸς τὸ EH δοθείς. ἴσον δέ ἐστι τὸ ΓM τῷ ΓΔ· λόγος ἄρα καὶ τοῦ ΓΔ πρὸς τὸ EH δοθείς.

Prop. LXXIV.

Si duo parallelogramma datam rationem habeant, aut in æqualibus angulis, aut inæqualibus quidem ſed tamen datis; erit ut primi latus ad ſecundi latus ita alterum ſecundi latus ad eam ad quam reliquum primi latus rationem habet datam.

ΠΡΟΤΑΣΙΣ οδ'.

Ἐὰν δύο παραλληλόγραμμα λόγον ἔχῃ δεδομένον, ἤτοι ἐν ἴσαις γωνίαις, ἢ ἐν ἀνίσοις μὲν δεδομέναις δὲ· ἔσται ὡς ἡ ἑτέρου πλευρὰ πρὸς τὴν ἑτέρου πλευρὰν ἡ δευτέρου πλευρὰ πρὸς ἣν ἡ λοιπὴ τοῦ δευτέρου πλευρὰ λόγον ἔχει δεδομένον.

Duo enim parallelogramma AB, EH, aut in æqualibus angulis ad puncta Z, Γ, aut inæqualibus quidem, ſed tamen datis, habeant ad invicem rationem datam: dico ut ΓB ad ZH ita eſſe EZ ad eam ad quam ipſa AΓ habet rationem datam.

Δύο γὰρ παραλληλόγραμμα τὰ AB, EH πρὸς ἄλληλα λόγον ἐχέτω δεδομένον, ἤτοι ἐν ἴσαις γωνίαις, ἢ ἐν ἀνίσοις μὲν δεδομέναις δὲ, πρὸς τοῖς Z, Γ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΓB πρὸς τὴν ZH οὕτως ἡ EZ πρὸς ἣν ἡ AΓ λόγον ἔχει δεδομένον.

Τὸ γὰρ ΑΒ τῷ ΕΗ ἤτοι ἰσογώνιον ἐστιν ἢ οὔ. ἔστω πρότερον ἰσογώνιον. καὶ παραβεβλήσθω παρὰ τὴν ΓΒ εὐθεῖαν τῷ ΕΗ παραλληλογράμμῳ ἴσον παραλληλόγραμμον τὸ ΓΘ, καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΑΓ τῇ ΓΚ· ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΔΒ τῇ ΒΘ. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ ΑΒ πρὸς τὸ ΕΗ δοθείς, ἴσον δὲ τὸ ΕΗ τῷ ΓΘ· τοῦ ΑΒ ἄρα πρὸς τὸ ΓΘ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τοῦ ΑΓ πρὸς τὴν ΓΚ λόγος ἐστὶ δοθείς. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΓΘ τῷ ΕΗ, ἐστὶ δὲ καὶ ἰσογώνιον· τῶν ΓΘ, ΕΗ ἄρα ἀντιπεπονθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἐστὶν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΖΗ οὕτως ἡ ΕΖ πρὸς τὴν ΓΚ. τοῦ δὲ ΓΚ πρὸς τὴν ΑΓ λόγος ἐστὶ δοθείς· ἐστὶν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΖΗ οὕτως ὁ ΕΖ πρὸς ἣν ἡ ΑΓ λόγον ἔχει δεδομένον.



Etenim AB ipſi EH aut æquiangulum eſt aut non. ſit primo æquiangulum. & [per 45.1.] applicetur ad rectam ΓB ipſi EH æquale parallelogrammum ΓΘ, atque ita conſtituatur ut in directum ſit AΓ ipſi ΓK: ergo in directum eſt recta ΔB rectæ BΘ. & quoniam [ex hyp.] ratio ipſius AB ad EH data eſt; atque [per conſtr.] EH æquale eſt ipſi ΓΘ: igitur ratio ipſius AB ad ΓΘ data eſt: adeoque [per 1.6.] & ratio ipſius AΓ ad ΓK data eſt. & quoniam ΓΘ ipſi EH æquale eſt; eſtque etiam æquiangulum: igitur [per 14.6.] ipſorum ΓΘ, EH latera circa æquales angulos ſunt reciproce proportionalia; eſt igitur ut ΓB ad ZH ita EZ ad ΓK. ratio autem ipſius ΓK ad AΓ data eſt: ergo ut ΓB ad ZH ita eſt EZ ad eam ad quam AΓ rationem habet datam.

Μὴ ἔστω δὴ ἰσογώνιον τὸ ΑΒ τῷ ΕΗ. καὶ συνεστάτω πρὸς τῇ ΓΒ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Γ, τῇ ὑπὸ ΕΖΗ γωνίᾳ ἴση ἡ ὑπὸ ΛΓΒ, καὶ συμπεπληρώσθω τὸ παραλληλόγραμμον ΓΜ. ἐπεὶ οὖν λόγος ἐστὶ τοῦ ΓΔ πρὸς τὸ ΕΗ δοθείς, ἴσον δὲ τὸ ΓΔ τῷ ΓΜ· λόγος ἄρα ἐστὶ τοῦ ΓΜ πρὸς τὸ ΕΗ δοθείς. καὶ ἐστιν ἴση ἡ ὑπὸ ΛΓΒ τῇ ὑπὸ ΕΖΗ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΓΜ τῷ ΕΗ· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΖΗ οὕτως ἡ ΕΖ πρὸς ἣν ὁ ΑΓ λόγον ἔχει δεδομένον. τῆς δὲ ΓΑ πρὸς τὴν ΓΛ λόγος ἐστὶ δοθείς· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΖΗ οὕτως ἡ ΕΖ πρὸς ἣν ἡ ΑΓ λόγον ἔχει δεδομένον.



Non ſit autem AB ipſi EH æquiangulum. & [per 23.1.] conſtituatur ad rectam ΓB, & datum in ea punctum Γ, angulo EZH æqualis angulus ΛΓB; compleaturq; parallelogrammum ΓM. quoniam itaque [ex hyp.] ratio ipſius ΓΔ ad EH data eſt; eſt autem [per 35.1.] ΓΔ æquale ipſi ΓM: ipſius igitur ΓM ad EH data eſt ratio. æqualis autem [per conſtr.] eſt angulus ΛΓB angulo EZH; ideoque [per 29. & 34.1.] æquiangulum eſt ΓM ipſi EH: ergo [per part. prior. hujus] ut ΓB ad ZH ita eſt EZ ad eam ad quam recta AΓ habet rationem datam. ratio autem ipſius ΓA ad ΓΛ eſt data: ergo ut ΓB ad ZH ita eſt EZ ad eam ad quam recta AΓ habet rationem datam.

ΠΡΟΤΑΣΙΣ οε'.

Ἐὰν δύο τρίγωνα πρὸς ἄλληλα λόγον ἔχῃ δεδομένον, ἤτοι τὰ ἴσας γωνίας, ἢ ἐν ἀνίσοις μὲν δεδομέναις δέ· ἔσται ὡς ἡ ἑτέρα πλευρὰ πρὸς τὴν ἑτέραν πλευρὰν οὕτως ἡ ἑτέρα τῆς δευτέρας πλευρᾶς πρὸς τὴν λοιπὴν τῆς πρώτης πλευρὰ λόγον ἔχει δεδομένον.

PROP. LXXV.

Si duo triangula ad invicem habeant rationem datam, aut in angulis æqualibus, aut inæqualibus quidem ſed tamen datis; erit ut primi latus ad ſecundi latus ita alterum ſecundi latus ad eam rectam ad quam reliquum primi latus rationem datam habet.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ πρὸς ἄλληλα λόγον ἔχοντα δεδομένον, καὶ ἔστωσαν αἱ πρὸς τοῖς Α, Δ γωνίαι, ἤτοι ἴσαι, ἢ ἄνισοι μὲν δεδομέναι δέ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒ πρὸς τὴν

SInt duo triangula ABΓ, ΔEZ, quæ ad invicem habeant rationem datam; ſintque anguli ad puncta A, Δ æquales, aut inæquales quidem ſed tamen dati: dico ut AB ad ΔE

ita esse Δ Z ad eam ad quam recta Α Γ habet rationem datam.

Compleantur enim parallelogramma Α Η, Δ Θ. & quoniam ratio trianguli Α Β Γ ad triangulum Δ Ε Ζ data est: igitur [per 41. 1.] parallelogrammi Α Η ad parallelogrammum Δ Θ ratio est data. quoniam igitur duo sunt parallelogramma habentia ad invicem rationem datam,



aut in angulis æqualibus, aut inæqualibus quidem sed tamen datis: est igitur [per 74. dat.] ut Α Β ad Δ Ε ita Δ Ζ ad eam ad quam recta Α Γ habet rationem datam.

Συμπεπληρώσθω γὰρ τὰ Α Η, Δ Θ παραλληλόγραμμα. ἐπεὶ λόγος ἐστὶ τοῦ Α Β Γ τριγώνου πρὸς τὸ Δ Ε Ζ δοθείς· λόγος ἄρα καὶ τοῦ Α Η παραλληλογράμμου πρὸς τὸ Δ Θ παραλληλόγραμμον δοθείς. ἐπεὶ δὲ δύο παραλληλόγραμμά εἰσι πρὸς ἄλληλα λόγον ἔχοντα δεδομένον, ἤτοι ἐν ἴσαις γωνίαις, ἢ ἐν ἀνίσοις μὲν δεδομένοις δέ· ἔστιν ἄρα ὡς ἡ Α Β πρὸς τὴν Δ Ε ἕτως ἡ Δ Ζ πρὸς ἣν ἡ Α Γ λόγον ἔχει δεδομένον.



PROP. LXXVI.

Si à trianguli specie dati vertice recta perpendicularis agatur ad basim; acta recta habebit ad basim rationem datam.

SIT triangulum Α Β Γ specie datum, & agatur à puncto Α in basim Β Γ perpendicularis Α Δ: dico rationem ipsius Α Δ ad Β Γ datam esse.

Quòniam enim datur triangulum Α Β Γ specie: angulus igitur Α Β Δ [per 3. def. dat.] datus est. angulus autem Β Δ Α datus est: quare & [per 32. 1. & 4. dat.] reliquus Β Α Δ datus est: ergo [per 40. dat.] triangulum Α Β Δ specie datum est: quare [per 3. def. dat.] ratio ipsius Β Α ad Α Δ data est. est autem [ex hyp.] & ratio ipsius Α Β ad Β Γ data: igitur [per 8. dat.] ratio ipsius Α Δ ad Β Γ data est.



ΠΡΟΤΑΣΙΣ οϛ'.

Ἐὰν τριγώνου δεδομένου τῷ εἴδει ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν καθετος ἀχθῇ, ἡ ἀχθεῖσα πρὸς τὴν βάσιν λόγον ἔξει δεδομένον.

Ἔστω τρίγωνον δεδομένον τῷ εἴδει τὸ Α Β Γ, καὶ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν Β Γ κάθετος ἡ Α Δ· λέγω ὅτι λόγος ἐστὶ τῆς Α Δ πρὸς τὴν Β Γ δοθείς.

Ἐπεὶ γὰρ δέδοται τὸ Α Β Γ τρίγωνον τῷ εἴδει δοθεῖσαι ἄρα ἐστὶν ἡ ὑπὸ Α Β Δ γωνία. ἐστὶ δὲ καὶ ἡ ὑπὸ Β Δ Α δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ Β Α Δ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ Α Β Δ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς Β Α πρὸς τὴν Α Δ δοθείς. ἔστι δὲ καὶ τῆς Α Β πρὸς τὴν Β Γ λόγος δοθείς· καὶ τῆς Α Δ ἄρα πρὸς τὴν Β Γ λόγος ἐστὶ δοθείς.

PROP. LXXVII.

Si duæ figuræ specie datæ ad invicem habeant rationem datam; quodlibet etiam latus unius harum figurarum ad quodlibet latus alterius rationem datam habebit.

DUÆ enim figuræ Α Β Γ, Δ Ε Ζ specie datæ ad invicem habeant rationem datam: dico latus quodcunque ipsius Α Β Γ ad latus quodcunque ipsius Δ Ε Ζ rationem datam habere.

Describantur enim [per 46. 1.] à rectis Β Γ, Ε Ζ quadrata Β Η, Ε Θ. quoniam vero ab ea-

ΠΡΟΤΑΣΙΣ οζ'.

Ἐὰν δύο εἴδη δεδομένα τῷ εἴδει πρὸς ἄλληλα λόγον ἔχῃ δεδομένον, ἡ μία πλευρὰ ὁποιασοῦν ἑνὸς τῶν εἰδῶν πρὸς ὁποιανοῦν τοῦ ἑτέρου λόγον ἔξει δεδομένον.

Δύο γὰρ εἴδη τὰ Α Β Γ, Δ Ε Ζ δεδομένα τῷ εἴδει πρὸς ἄλληλα λόγον ἐχέτω δεδομένον· λέγω ὅτι ἡ μία πλευρὰ ὁποιασοῦν τοῦ Α Β Γ πρὸς μίαν πλευρὰν ὁποιανοῦν τοῦ Δ Ε Ζ λόγον ἔξει δεδομένον.

Ἀναγεγράφθω γὰρ ἀπὸ τῶν Β Γ, Ε Ζ τετράγωνα τὰ Β Η, Ε Θ. καὶ ἐπεὶ ἀπὸ τῆς αὐτῆς εὐ-

θείας

ϑείας τ̃ ΒΓ δύο εἴδη ἀναγέγραπται ἃ ἔτυχεν δεδομένα τῷ εἴδει τὰ ΑΒΓ, ΒΗ· λόγος ἄρα τοῦ ΑΒΓ πρὸς τὸ ΒΗ δοθείς. ἀλλὰ τὰ αὐτὰ δὴ καὶ τοῦ ΔΕΖ πρὸς τὸ ΕΘ λόγος ἐστὶ δοθείς. ἐπεὶ οὖν τοῦ ΑΒΓ πρὸς τὸ ΔΕΖ λόγος ἐστὶ δοθείς, ἀλλὰ τοῦ μὲν ΑΒΓ πρὸς τὸ ΒΗ λόγος ἐστὶ δοθείς, τοῦ δὲ ΔΕΖ πρὸς τὸ ΕΘ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΒΗ ἄρα πρὸς τὸ ΕΘ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τ̃ ΒΓ πρὸς τὴν ΕΖ λόγος ἐστὶ δοθείς.





dem recta ΒΓ duæ quædam figuræ ſpecie datæ deſcriptæ ſunt, nempe ΑΒΓ, ΒΗ; ratio igitur ipſius ΑΒΓ ad ΒΗ [per 49. dat.] data eſt. ſimiliter quoque ipſius ΔΕΖ ad ΕΘ data eſt ratio. quoniam itaque [ex hyp.] ratio ipſius ΑΒΓ ad ΔΕΖ data eſt; atque etiam data eſt ratio ipſius ΑΒΓ quidem ad ΒΗ, ipſiuſque ΔΕΖ ad ΕΘ: ipſius quoque ΒΗ ad ΕΘ [per 8. dat.] ratio eſt data. quare [per 54. dat.] & ratio ipſius ΒΓ ad ΕΖ data eſt.

ΠΡΟΤΑΣΙΣ οη'.

Ἐὰν δοθὲν εἶδος πρός τι ὀρθογώνιον λόγον ἔχῃ δεδομένον, καὶ μία πλευρὰ πρὸς μίαν πλευρὰν λόγον ἔχῃ δοθέντα· δέδοται καὶ τὸ ὀρθογώνιον τῷ εἴδει.

PROP. LXXVIII.

Si data figura habeat ad aliquod rectangulum rationem datam, atque habeat etiam unum latus ad unum latus rationem datam; rectangulum ipſum ſpecie datum eſt.

Δοθὲν γὰρ εἶδος τὸ ΑΖΒ πρός τι ὀρθογώνιον τὸ ΓΔ λόγον ἐχέτω δεδομένον, καὶ ἔστω λόγος τ̃ ΖΒ πρὸς τὴν ΕΔ δοθείς· λέγω ὅτι δέδοται τὸ ΓΔ τῷ εἴδει.

Ἀναγεγράφθω γὰρ ἀπὸ τ̃ ΖΒ τετράγωνον τὸ ΖΗ, καὶ παραβεβλήσθω παρὰ τὴν ΕΔ τῷ ΖΗ ἴσον παραλληλόγραμμον τὸ ΕΚ, καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΓΕ τῇ ΕΘ· ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΜΔ τῇ ΔΚ. καὶ ἐπεὶ ἀπὸ τ̃ αὐτῆς εὐθείας τ̃ ΖΒ δύο εὐθύγραμμα ἃ ἔτυχεν δεδομένα τῷ εἴδει ἀναγέγραπται τὰ ΑΖΒ, ΖΗ· λόγος ἄρα ἐστὶ τοῦ ΑΖΒ πρὸς τὸ ΖΗ δοθείς. τοῦ δὲ ΑΖΒ πρὸς τὸ ΓΔ λόγος ἐστὶ δοθείς· καὶ τοῦ ΖΗ ἄρα πρὸς τὸ ΓΔ λόγος ἐστὶ δοθείς. ἀλλὰ τὸ ΖΗ τῷ ΕΚ ἐστιν ἴσον· καὶ τοῦ ΓΔ ἄρα πρὸς τὸ ΕΚ λόγος ἐστὶ δοθείς. καὶ ἐπεὶ ἴσον ἐστὶ καὶ ἰσογώνιον τὸ ΖΗ τῷ ΕΚ, ἐστὶ γὰρ καὶ ὀρθογώνιον· ἀντιπεπόνθασιν ἄρα αὐτῶν αἱ πλευραί, καὶ ἐστιν ὡς ἡ ΖΒ πρὸς τὴν ΕΔ ἕτως ἡ ΕΘ πρὸς τὴν ΖΛ. λόγος δὲ ὑπόκειται τ̃ ΖΒ πρὸς



ETenim data figura ΑΖΒ ad aliquod rectangulum ΓΔ habeat rationem datam, & ſit ratio ipſius ΖΒ ad ΕΔ data: dico rectangulum ΓΔ ſpecie datum eſſe.

Deſcribatur enim [per 46. 1.] à recta ΖΒ quadratum ΖΗ; dein [per 45. 1.] applicetur ad rectam ΕΔ ipſi ΖΗ æquale parallelogrammum ΕΚ, & conſtituatur ita ut in directum ſit ΓΕ ipſi ΕΘ: eſt igitur in directum ΜΔ ipſi ΔΚ. quoniam vero ab eadem recta ΖΒ duo quædam rectilinea ΑΖΒ, ΖΗ ſpecie data deſcripta ſunt: igitur [per 49. dat.] ratio ipſius ΑΖΒ ad ΖΗ data eſt. ratio autem ipſius ΑΖΒ ad ΓΔ [ex hyp.] data eſt: quare [per 8. dat.] & ratio ipſius ΖΗ ad ΓΔ data eſt. ſed [per conſtr.] ΖΗ ipſi ΕΚ æquale eſt: ipſius igitur ΓΔ ad ΕΚ data eſt ratio. cumque ΖΗ ipſi ΕΚ æquale ſit & æquiangulum; quippe rectangulum etiam eſt: eorum igitur latera [per 14. 6.] reciproce proportionalia ſunt, eſtque ut ΖΒ ad ΕΔ ita ΕΘ ad ΖΛ. ratio autem ipſius ΖΒ ad ΕΔ



data

data ſupponitur: quare & ratio ipſius ΕΘ ad ΖΛ data eſt. eſt autem [per 1. 6.] & ratio ipſius ΕΘ ad ΓΕ data: igitur [per 8. dat.] & ipſius ΓΕ ad ΖΛ ratio eſt data. æqualis autem eſt ΛΖ ipſi ΖΒ; eſt enim quadratum: igitur ipſius ΛΖ ad ΕΔ data eſt ratio: igitur [per 8. dat.] & ratio ipſius ΓΕ ad ΕΔ data eſt. & [ex hyp.] eſt angulus ad Ε rectus: igitur [per 3. def.dat.] ΓΔ ſpecie datum eſt.





τῷ ΕΔ δοθείς· λόγος ἄρα καὶ τοῦ ΕΘ πρὸς τὸ ΖΛ δοθείς. τοῦ δὲ ΕΘ πρὸς τὴν ΓΕ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΓΕ ἄρα πρὸς τὴν ΖΛ λόγος ἐστὶ δοθείς. ἴση δὲ ἡ ΛΖ τῇ ΖΒ, τετράγωνον γάρ ἐστι· τοῦ ΛΖ ἄρα πρὸς τὸ ΕΔ λόγος ἐστὶ δοθείς· τοῦ ΓΕ ἄρα πρὸς τὴν ΕΔ λόγος ἐστὶ δοθείς. καὶ ἔστιν ὀρθὴ ἡ πρὸς τῷ Ε γωνία· δέδοται ἄρα τὸ ΓΔ τῷ εἴδει.

Prop. LXXIX.

Si duo triangula unum angulum uni angulo æqualem habeant, ab æqualibus autem angulis ad baſes perpendiculares rectæ agantur, ſitque ut primi trianguli baſis ad perpendicularem ita & alterius trianguli baſis ad perpendicularem; triangula ipſa æquiangula ſunt.

SInt duo triangula ΑΒΓ, ΘΖΗ æquales habentia angulos ad puncta Β, Ζ, & agantur à punctis Β, Ζ perpendiculares ΒΔ, ΚΖ; ſit autem ut ΑΓ ad ΒΔ ita ΘΗ ad ΚΖ: dico triangulum ΑΒΓ triangulo ΘΖΗ æquiangulum eſſe.

Circumſcribatur enim [per 5. 4.] circulus circa triangulum ΘΖΗ, cujus ſegmentum ſit ΘΖΗ; dein conſtituatur ad rectam ΘΗ, & ad punctum in ea Θ, angulo ΓΑΒ æqualis angulus ΗΘΛ, & connectantur ΖΛ, ΑΗ, denique agatur perpendicularis ΛΜ. & quoniam æqualis eſt [per 21. 3.] angulus ΗΖΘ angulo ΘΛΗ, in eodem enim ſegmento circuli conſiſtunt; atq; eſt [ex hyp.] ΗΖΘ æqualis ΓΒΑ: igitur & ΗΛΘ ipſi ΓΒΑ eſt æqualis. angulus autem ΛΘΗ [per conſtr.] angulo ΒΑΓ æqualis eſt; reliquus igitur angulus ΑΗΘ reliquo angulo ΒΓΑ æqualis eſt: ergo [per 4. 6.] triangulum ΑΒΓ triangulo ΘΛΗ ſimile eſt. & ductæ ſunt perpendiculares ΒΔ, ΛΜ: quare [per 4. & 20. 6.] ut ΑΓ ad ΒΔ ita ΘΗ ad ΛΜ. erat vero ut ΑΓ ad ΒΔ ita ΘΗ ad ΖΚ; ita enim ſupponitur: ergo ut ΘΗ ad ΜΛ ita ΘΗ ad ΖΚ: ergo [per 9. 5.] æqualis eſt ΖΚ ipſi ΛΜ. eſt autem [per 28. 1.] & ΖΚ parallela ipſi ΛΜ: quare [per 33. 1.] parallela eſt ΖΛ



ΠΡΟΤΑΣΙΣ οθ'.

Ἐὰν δύο τείγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, τὰς δὲ περὶ τὰς ἴσας γωνίας ἐπὶ τὰς βάσεις καθέτοι εὐθεῖαι γραμμαὶ ἀχθῶσιν, ἢ δὲ ὡς ἡ τοῦ πρώτου τριγώνου βάσις πρὸς τὴν καθέτον οὕτως ἡ τοῦ ἑτέρου τριγώνου βάσις πρὸς τὴν καθέτον· ἰσογώνια ἔσται τὰ τείγωνα.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΘΖΗ ἴσας ἔχοντα γωνίας τὰς πρὸς τοῖς Β, Ζ, καὶ ἤχθωσαν ἀπὸ τῶν Β, Ζ κάθετοι αἱ ΒΔ, ΖΚ, ἔστω δὲ ὡς ἡ ΑΓ πρὸς τὴν ΒΔ οὕτως ἡ ΘΗ πρὸς τὴν ΖΚ· λέγω ὅτι ἰσογώνιόν ἐστι τρίγωνον ΑΒΓ τῷ ΘΖΗ τριγώνῳ.

Περιγεγράφθω γὰρ περὶ τὸ ΘΖΗ τρίγωνον κύκλος ἤτω τμῆμα ἔστω ΘΖΗ, καὶ συνεστάτω πρὸς τῇ ΘΗ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ, τῇ ὑπὸ ΓΑΒ γωνίᾳ ἴση ἡ ὑπὸ ΗΘΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΛ, ΛΗ, καὶ ἤχθω κάθετος ἡ ΛΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΗΖΘ γωνία τῇ ὑπὸ ΘΔΗ, ἐν γὰρ τῷ αὐτῷ εἰσι τμήματι τοῦ κύκλου, ἔστι δὲ καὶ ἡ ὑπὸ ΗΖΘ τῇ ὑπὸ ΓΒΑ ἴση· ἴση ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΗΛΘ τῇ ὑπὸ ΓΒΑ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΛΘΗ τῇ ὑπὸ ΒΑΓ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΛΗΘ τῇ ὑπὸ ΒΓΑ ἐστὶν ἴση· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΘΛΗ τριγώνῳ. καὶ κάθετοι ἠγμέναι εἰσὶν αἱ ΒΔ, ΛΜ· ἔστιν ἄρα ὡς ἡ ΑΓ πρὸς τὴν ΒΔ οὕτως ἡ ΘΗ πρὸς τὴν ΛΜ. ἦν δὲ ὡς ἡ ΑΓ πρὸς τὴν ΒΔ οὕτως ἡ ΘΗ πρὸς τὴν ΖΚ, ὑπόκειται γάρ· καὶ ὡς ἄρα ἡ ΘΗ πρὸς τὴν ΜΛ οὕτως ἡ ΘΗ πρὸς τὴν ΖΚ· ἴση ἄρα ἐστὶν ἡ ΖΚ τῇ ΛΜ. ἔστι δὲ καὶ ἡ ΖΚ τῇ ΛΜ ἀπεναντίον· καὶ ἡ ΖΛ ἄρα τῇ



ΘΗ τῇ ΖΛ παράλληλός ἐστιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΖΛΘ γωνία τῇ ὑπὸ ΛΘΗ. ἀλλ' ἡ μὲν ΛΘΗ τῇ ὑπὸ ΒΑΓ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΖΛΘ γωνία τῇ ὑπὸ ΖΗΘ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΒΑΓ ἄρα τῇ ὑπὸ ΖΗΘ ἐστιν ἴση. ἔστι δὲ ἡ ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΘΖΗ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΓΑ λοιπῇ τῇ ὑπὸ ΖΘΗ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΖΘΗ τριγώνῳ.

ipsi ΘΗ: angulus igitur ΖΛΘ angulo ΛΘΗ [per 29.1.] æqualis est. sed angulus ΛΘΗ [per constr.] æqualis est angulo ΒΑΓ; angulus autem ΖΛΘ [per 21.3.] angulo ΖΗΘ æqualis est: quare & angulus ΒΑΓ angulo ΖΗΘ æqualis est. angulus autem ΑΒΓ [ex hyp.] angulo ΘΖΗ æqualis est: reliquus igitur ΒΓΑ reliquo ΖΘΗ [per 32.1.] æqualis est: ergo triangulum ΑΒΓ triangulo ΖΘΗ æquiangulum est.

ΠΡΟΤΑΣΙΣ π'.

Ἐὰν τρίγωνον μίαν ἔχῃ γωνίαν δεδομένην, ᾗ τὸ ὑπὸ τὰς δεδομένην γωνίαν περιεχουσῶν πλευρῶν ὀρθογώνιον πρὸς τὸ ἀπὸ τῆς λοιπῆς πλευρᾶς τετράγωνον λόγον ἔχῃ δεδομένον· δέδοται τὸ τρίγωνον τῷ εἴδει.

PROP. LXXX.

Si triangulum unum angulum datum habuerit, quodque sub lateribus datum angulum comprehendentibus continetur rectangulum habeat ad quadratum reliqui lateris rationem datam; triangulum ipsum specie datum est.

Ἔστω τρίγωνον τὸ ΑΒΓ δεδομένην ἔχον γωνίαν τὴν πρὸς τῷ Α, καὶ τὸ ὑπὸ τὰς ΒΑ, ΑΓ πρὸς τὸ ἀπὸ τῆς ΒΓ λόγον ἐχέτω δεδομένον· λέγω ὅτι δέδοται τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

ΗΧΘΩΣΑΝ γὰρ ἀπὸ τῶν Α, Β ἐπὶ τὰς ΒΓ, ΓΑ κάθετοι αἱ ΑΕ, ΒΔ. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΔ γωνία, ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΔΒ δοθεῖσα· δέδοται ἄρα τὸ ΑΔΒ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ΑΒ πρὸς τὴν Β Δ δοθείς· ὥστε καὶ τὸ ὑπὸ τῶν ΑΒ, ΑΓ, πρὸς τὸ ὑπὸ τῶν ΑΓ, ΒΔ λόγος ἐστὶ δοθείς. τῷ δὲ ὑπὸ τῶν ΑΓ, ΒΔ ἴσον ἐστὶ τὸ ὑπὸ τὰς ΒΓ, ΑΕ, ἑκάτερον γὰρ αὐτῶν διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου· λόγος ἄρα καὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ πρὸς τὸ ὑπὸ τῶν ΒΓ, ΑΕ δοθείς. τὸ δὲ ὑπὸ τὰς ΒΑ, ΑΓ πρὸς τὸ ἀπὸ τῆς ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τὸ ὑπὸ τὰς ΒΓ, ΑΕ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΒΓ λόγος ἐστὶ δοθείς· τῆς ἄρα ΒΓ πρὸς τὴν ΑΕ λόγος ἐστὶ δοθείς. ἐκκείσθω δὴ τῇ θέσει καὶ τῷ μεγέθει δεδομένη εὐθεῖα ἡ ΖΗ, καὶ γεγράφθω ἀπὸ τῆς ΖΗ τμῆμα κύκλου τὸ ΖΘΗ, δεχόμενον γωνίαν ἴσην τῇ ὑπὸ ΒΑΓ. δοθεῖσα δὲ ἡ ὑπὸ ΒΑΓ γωνία· δοθεῖσα ἄρα καὶ ἡ ἐν τῷ ΖΘΗ τμήματι γωνία· θέσει ἄρα ἐστὶ τὸ ΖΘΗ τμῆμα. ἤχθω ἀπὸ τοῦ Η τῇ ΖΗ πρὸς ὀρθὰς ἡ ΗΚ· θέσει ἄρα ἐστὶν ἡ ΗΚ. καὶ πεπλήσθω ὡς ἡ ΒΓ πρὸς τὴν ΑΕ οὕτως ἡ ΖΗ πρὸς τὴν ΗΚ. λόγος δὲ τῆς ΒΓ πρὸς τὴν ΑΕ δοθείς· λόγος ἄρα καὶ τῆς ΖΗ πρὸς τὴν ΗΚ δοθείς. δοθεῖσα δὲ ἡ ΖΗ· δοθεῖσα ἄρα καὶ ἡ ΗΚ. ἀλλὰ καὶ τῇ θέσει, καὶ δοθὲν ἐστὶ τὸ Η· δοθὲν ἄρα καὶ τὸ Κ. ἤχθω διὰ τοῦ Κ τῇ ΖΗ παράλληλος ἡ ΚΘ· θέσει ἄρα ἐστὶν ἡ ΚΘ. θέσει

SIT triangulum ΑΒΓ datum angulum habens ad Α; quod autem sub ΒΑ, ΑΓ continetur ad quadratum rectæ ΒΓ habeat rationem datam: dico triangulum ΑΒΓ specie datum esse.

Agantur enim [per 12.1.] à punctis Α, Β ad ΒΓ, ΓΑ perpendiculares ΑΕ, ΒΔ. quoniam itaque angulus ΒΑΔ [ex hyp.] datus est, atque angulus ΑΔΒ etiam datus: triangulum igitur ΑΔΒ [per 40. dat.] specie datum est: ideoque [per 3.def.dat.] ratio ipsius ΑΒ ad ΒΔ data est: ideoque [per 1.6.] & ratio rectanguli sub ΑΒ, ΑΓ, ad rectangulum sub ΑΓ, ΒΔ est data. ei autem quod continetur sub ΑΓ, ΒΔ æquale est id quod continetur sub ΒΓ, ΑΕ; utrumque enim [per 41.1.] duplum est trianguli ΑΒΓ: igitur ratio ejus quod continetur sub ΒΑ, ΑΓ ad id quod continetur sub ΒΓ, ΑΕ data est. ratio autem ejus quod continetur sub ΒΑ, ΑΓ ad quadratum rectæ ΒΓ [ex hyp.] data est: quare [per 8.dat.] & ratio rectanguli sub ΒΓ, ΑΕ ad quadratum rectæ ΒΓ data est: adeoque [per 1.6.] rectæ ΒΓ ad rectam ΑΕ ratio data est. exponatur jam recta ΖΗ positione & magnitudine data; & [per 33.3.] super ΖΗ describatur circuli segmentum ΖΘΗ, quod capiat angulum angulo ΒΑΓ æqualem. angulus autem ΒΑΓ [ex hyp.] datus est: ergo & angulus in segmento ΖΘΗ datus est: quare [per 8.def.dat.] segmentum ΖΘΗ positione datum est. agatur [per 11.1.] à puncto Η rectæ ΖΗ ad angulos rectos recta ΗΚ: ergo [per 29.dat.] ΗΚ positione data est. deinde fiat [per 12.6.] ut ΒΓ ad ΑΕ ita ΖΗ ad ΗΚ. ratio autem ipsius ΒΓ ad ΑΕ [ex supra ostensis] data est: quare & ratio ipsius ΖΗ ad ΗΚ data est. data autem est ΖΗ: ergo [per 2. dat.] & ΗΚ data est. sed & hæc positione data est, datumque est punctum Η: quare [per 27. dat.] & punctum Κ datum est. agatur [per 31.1.] per punctum Κ ipsi ΖΗ parallela ΚΘ; igitur [per 28. dat.] positione data est ΚΘ. positione

autem datum eſt ſegmentum ΖΘΗ: ergo [per 25. dat.] punctum Θ datum eſt. connectantur autem ΘΖ, ΘΗ, & agatur perpendicularis ΘΛ: ergo [per 30 dat.] ΘΛ poſitione data eſt. datum autem eſt punctum Θ, & unumquodque punctorum Ζ, Η: igitur [per 26.dat.] unaquæque rectarum ΘΖ, ΖΗ, ΘΗ poſitione & magnitudine data eſt: quare triangulum ΘΖΗ ſpecie datum eſt. & quoniam [per conſtr.] eſt ut ΒΓ ad ΑΒ ita ΖΗ ad ΗΚ, eſtque [per 34.1.] ΗΚ æqualis ipſi ΛΘ: erit igitur ut ΒΓ ad ΑΕ ita ΖΗ ad ΛΘ. eſt autem [per conſtr.] angulus ΒΑΓ æqualis angulo ΖΘΗ: triangulum igitur ΑΒΓ [per 79. dat.] triangulo ΘΖΗ æquiangulum eſt. triangulum autem ΖΘΗ ſpecie datum eſt: quare & triangulum ΑΒΓ datum eſt.





ALITER.

Sit triangulum ΑΒΓ quod datum angulum habeat ad Α; ratio autem ejus quod continetur ſub ΒΑ, ΑΓ ad quadratum rectæ ΒΓ ſit data: dico triangulum ΑΒΓ ſpecie datum eſſe.

Quoniam enim datus eſt angulus ΒΑΓ, ſpatium illud, quo quadratum utriuſque ſimul ΒΑΓ excedit quadratum rectæ ΒΓ, ad triangulum ΑΒΓ [per 67. dat.] rationem datam habet. ſit autem Δ ſpatium, quo quadratum utriuſque ſimul ΒΑΓ excedit quadratum rectæ ΒΓ: ergo ratio ipſius Δ ad triangulum ΑΒΓ data eſt. trianguli autem ΑΒΓ ad id quod continetur ſub ΒΑ, ΑΓ [per 66.dat.] ratio eſt data; quia datus eſt angulus ΒΑΓ: ergo [per 8. dat.] ratio ſpatii Δ ad id quod continetur ſub ΒΑ, ΑΓ data eſt. ejus autem quod continetur ſub ΒΑ, ΑΓ ad quadratum rectæ ΒΓ [ex hyp.] data eſt ratio: quare [per 8. dat.] & ratio ſpatii Δ ad quadratum rectæ ΒΓ data eſt: igitur componendo [per 6. dat.] ſpatii Δ cum quadrato rectæ ΒΓ ad quadratum rectæ ΒΓ ratio eſt data. ſed [per conſtr.] ſpatium Δ una cum quadrato rectæ ΒΓ eſt ipſum quadratum utriuſque ſimul ΒΑΓ: quare ratio quadrati utriuſque ſimul ΒΑΓ ad quadratum rectæ ΒΓ data eſt: adeoque [per 54.dat.] & ratio utriuſque ſimul ΒΑΓ ad ΒΓ data eſt. datus etiam eſt [ex hyp.] angulus ΒΑΓ: triangulum igitur ΑΒΓ [per 45.dat.] ſpecie datum eſt.



PROP. LXXXI.

Si tres rectæ, quæ tribus rectis invicem proportionalibus proportionales fuerint, extremas habuerint in ratione data: medias quoque habebunt in ra-

δὲ καὶ τὸ ΖΘΗ τμῆμα· δοθὲν ἄρα ἐστὶ τὸ Θ σημεῖον. ἐπεζεύχθωσαν δὲ αἱ ΘΖ, ΘΗ, καὶ ἤχθω κάθετος ἡ ΘΛ· θέσει ἄρα ἐστὶν ἡ ΘΛ. ἔστι δὲ τὸ Θ σημεῖον δοθέν, ἑκάτερον τῶν Ζ, Η· δέδοται ἄρα ἑκάστη τῶν ΘΖ, ΖΗ, ΘΗ τῇ θέσει καὶ τῷ μεγέθει· δέδοται ἄρα τὸ ΘΖΗ τρίγωνον τῷ εἴδει. καί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΑΕ ὕτως ἡ ΖΗ πρὸς τὴν ΗΚ, ἴση δὲ ἡ ΗΚ τῇ ΛΘ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΑΕ ὕτως ἡ ΖΗ πρὸς τὴν ΛΘ. καὶ ἔστιν ἴση ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΖΘΗ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΘΖΗ τριγώνῳ. δέδοται δὲ τὸ ΖΘΗ τρίγωνον τῷ εἴδει· δέδοται ἄρα καὶ τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

ΑΛΛΩΣ.

Ἐστω τρίγωνον τὸ ΑΒΓ, δεδομένην ἔχον γωνίαν τὴν πρὸς τῷ Α, λόγος δὲ ἔστω τοῦ ὑπὸ ΒΑ, ΑΓ πρὸς τὸ ἀπὸ ΒΓ δοθείς· λέγω ὅτι δέδοται τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.

Ἐπεὶ γὰρ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία· ᾧ ἄρα μεῖζόν ἐστι τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ τοῦ ἀπὸ τῆς ΒΓ, ἐκεῖνο τὸ χωρίον πρὸς τὸ ΑΒΓ τρίγωνον λόγον ἔχει δεδομένον. ᾧ δή ἐστι μεῖζον τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ τοῦ ἀπὸ τῆς ΒΓ, ἔστω τὸ Δ χωρίον· λόγος ἄρα ἐστὶ τοῦ Δ χωρίου πρὸς τὸ ΑΒΓ τρίγωνον δοθείς. τοῦ δὲ ΑΒΓ τριγώνου πρὸς τὸ ὑπὸ ΒΑ, ΑΓ λόγος ἐστὶ δοθείς. διὰ τὸ δοθεῖσαν εἶναι τὴν ὑπὸ ΒΑΓ γωνίαν· καὶ τοῦ Δ ἄρα χωρίου πρὸς τὸ ὑπὸ ΒΑ, ΑΓ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ ΒΑ, ΑΓ πρὸς τὸ ἀπὸ τῆς ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τοῦ Δ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΒΓ λόγος ἐστὶ δοθείς· ὥστε συνθέντι λόγος ἄρα τοῦ Δ χωρίου μετὰ τοῦ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ἀπὸ τῆς ΒΓ ἐστὶ δοθείς. ἀλλὰ τὸ Δ χωρίον μετὰ τοῦ ἀπὸ τῆς ΒΓ τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ ἐστὶ λόγος ἄρα τοῦ ἀπὸ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὸ ἀπὸ τῆς ΒΓ δοθείς· ὥστε καὶ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς. καί ἐστι δοθεῖσα ἡ ὑπὸ ΒΑΓ γωνία· δέδοται ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ εἴδει.



ΠΡΟΤΑΣΙΣ πα'.

Ἐὰν τρεῖς εὐθεῖαι, ἀνάλογον ὦσαι τρισὶν εὐθείαις ἀνάλογον ὔσαις, τὰς ἄκρας ἐν δεδομένῳ λόγῳ ἔχουσιν· καὶ τὰς μέσας ἐν δεδομένῳ λόγῳ ἕξουσιν·

ἔξωσιν. καὶ ἐὰν ἡ ἄκρα πρὸς τὴν ἄκραν λόγον ἔχῃ δεδομένον, καὶ ἡ μέση πρὸς τὴν μέσην· καὶ ἡ λοιπὴ ἄκρα πρὸς λοιπὴν ἄκραν λόγον ἕξει δεδομένον.

tione data. & ſi extrema ad extremam, & media ad mediam, habeat rationem datam; & reliqua extrema ad reliquam extremam rationem datam habebit.

Τρεῖς γὰρ εὐθεῖαι ἀνάλογον ὦσαι αἱ Α, Β, Γ τρισὶν εὐθείαις ἀνάλογον ὥσαις ταῖς Δ, Ε, Ζ, πὰς ἄκρας ἐν δεδομένῳ λόγῳ ἐχέτωσαν, καὶ τὴν μὲν Α πρὸς τὴν Δ λόγος ἔστω δοθείς, τὴν δὲ Γ πρὸς τὴν Ζ· λέγω ὅτι καὶ τὴν Β πρὸς τὴν Ε λόγος ἐστὶ δοθείς.

Ἐπεὶ γὰρ τὴν μὲν Α πρὸς τὴν Δ, τὴν δὲ Γ πρὸς τὴν Ζ λόγος ἐστὶ δοθείς· λόγος ἄρα τοῦ ὑπὸ τῶν Α, Γ πρὸς τὸ ὑπὸ τῶν Δ, Ζ δοθείς. ἀλλὰ τῷ μὲν ὑπὸ τῶν Α, Γ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Β, τῷ δὲ ὑπὸ τῶν Δ, Ζ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Ε· λόγος ἄρα ἐστὶ τοῦ ἀπὸ τῆς Β πρὸς τὸ ἀπὸ τῆς Ε δοθείς· ὥστε καὶ τὴν Β πρὸς τὴν Ε λόγος ἐστὶ δοθείς.

ΕΣΤΩ δὲ πάλιν τὴν μὲν Α πρὸς τὴν Δ λόγος δοθείς, τὴν δὲ Β πρὸς τὴν Ε λόγος ἔστω δοθείς· λέγω ὅτι καὶ τὴν Γ πρὸς τὴν Ζ λόγος ἐστὶ δοθείς.



Ἐπεὶ γὰρ τὴν μὲν Α πρὸς τὴν Δ, τὴν δὲ Β πρὸς τὴν Ε λόγος ἐστὶ δοθείς· λόγος ἄρα ἐστὶ καὶ τοῦ ὑπὸ τῆς Β πρὸς τὸ ὑπὸ τῆς Ε δοθείς. ἀλλὰ τῷ μὲν ὑπὸ τῆς Β ἴσον ἐστὶ τὸ ὑπὸ τῶν Α, Γ, τῷ δὲ ὑπὸ τῆς Ε ἴσον ἐστὶ τὸ ὑπὸ τῶν Δ, Ζ· λόγος ἄρα τοῦ ὑπὸ τῶν Α, Γ πρὸς τὸ ὑπὸ τῶν Δ, Ζ δοθείς. καὶ μιᾶς παλαιᾶς τῆς Α πρὸς μίαν παλαιὰν τὴν Δ λόγος ἐστὶ δοθείς· καὶ λοιπῆς ἄρα τῆς Γ πρὸς λοιπὴν τὴν Ζ λόγος ἐστὶ δοθείς.

TRes enim rectæ A, B, Γ, proportionales tribus rectis proportionalibus Δ, E, Z, extremas habeant in ratione data; ſit nempe ratio ipſius A quidem ad Δ data, ipſius autem Γ ad Z ratio data: dico ipſius quoque B ad E rationem eſſe datam.

Quoniam enim ipſius A ad Δ, ipſiuſque Γ ad Z ratio eſt data: igitur [per 70.dat.] ratio ejus quod continetur ſub A, Γ ad id quod continetur ſub Δ, Z data eſt. ſed [per 17.6.] ei quod continetur ſub A, Γ æquale eſt quadratum rectæ B; atque ei quod ſub Δ, Z æquale eſt quadratum rectæ E: ergo ratio quadrati rectæ B ad quadratum rectæ E data eſt: ideoque [per 54.dat.] ratio rectæ B ad rectam E data eſt.

SIT vero rurſus ratio ipſius A ad Δ, ipſiuſque B ad E data: dico ipſius quoque Γ ad Z rationem datam eſſe.

Quoniam enim ratio ipſius A ad Δ, & ipſius B ad E data eſt: ratio igitur quadrati rectæ B ad quadratum rectæ E [per 50. dat.] data eſt. ſed [per 17.6.] quadrato rectæ B æquale eſt id quod continetur ſub A, Γ; & quadrato rectæ E æquale eſt id quod continetur ſub Δ, Z: igitur ratio ejus quod continetur ſub A, Γ ad id quod continetur ſub Δ, Z data eſt. ratio autem unius lateris A ad unum latus Δ [ex hyp.] data eſt: quare [per 68.dat.] & ratio reliqui lateris Γ ad reliquum latus Z data eſt.

ΠΡΟΤΑΣΙΣ πϐ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν· ἔσται ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν λόγον ἔχει δεδομένον, οὕτως ἡ τρίτη πρὸς τὴν ἡ τετάρτη λόγον ἔχει δεδομένον.

PROP. LXXXII.

Si quatuor rectæ proportionales fuerint; erit ut prima ad eam ad quam ſecunda rationem habet datam, ita tertia ad eam ad quam quarta rationem habet datam.

Ἐστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ Α, Β, Γ, Δ, καὶ ἔστω ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν Δ· λέγω ὅτι ὡς ἡ Α πρὸς ἣν ἡ Β λόγον ἔχει δεδομένον οὕτως ἡ Γ πρὸς ἣν ἡ Δ λόγον ἔχει δεδομένον.

Ἔστω γὰρ πρὸς ἣν ἡ Β λόγον ἔχει δεδομένον ἡ Ε, καὶ πεποιήσθω ὡς ἡ Β πρὸς τὴν Ε οὕτως ἡ Δ πρὸς τὴν Ζ. λόγος δὲ τῆς Β πρὸς τὴν Ε δοθείς· λόγος ἄρα καὶ τοῦ Δ πρὸς τὴν Ζ δοθείς. καὶ ἐπεί ἐστιν ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν Δ, ἐστὶ δὲ καὶ



SInt quatuor rectæ proportionales A, B, Γ, Δ, ſitque ut A ad B ita Γ ad Δ: dico ut A ad eam ad quam B rationem habet datam ita eſſe Γ ad eam ad quam Δ rationem datam habet.

Sit enim E ea ad quam B rationem habet datam; fiatque [per 12.6.] ut B ad E ita Δ ad Z. eſt autem [ex hyp.] ratio ipſius B ad E data: ergo & ratio ipſius Δ ad Z data eſt. & quoniam eſt ut A ad B ita Γ ad Δ, & eſt etiam [per conſtr.]

ut B ad E ita Δ ad Z: erit igitur ex æquo [per 22.5.] ut A ad E ita Γ ad Z. & [ex hyp.] est E quidem ea ad quam B rationem habet datam; atque Z ea ad quam Δ rationem habet datam: quare ut A ad eam ad quam B rationem habet datam ita est Γ ad eam ad quam Δ rationem habet datam.

PROP. LXXXIII.

Si quatuor rectæ ita ad invicem se habeant, ut tribus ex iis quibuscunque sumptis, & quarta ipsis utcunque accepta ad quam reliqua è quatuor rectis rationem habet datam, proportionales sint quatuor rectæ; erit ut quarta ad tertiam ita secunda ad eam ad quam prima habet rationem datam.

SInt quatuor rectæ A, B, Γ, Δ ita se habentes ad invicem, ut tribus ex iis quibuscunque sumptis A, B, Γ, & quarta ipsis utcunque accepta, quæ sit E, ad quam Δ rationem habet datam, proportionales sint rectæ A, B, Γ, E: dico ut Δ ad Γ ita esse B ad eam ad quam A habet rationem datam.



Quoniam enim est [ex hyp.] ut A ad B ita Γ ad E; igitur [per 16.6.] quod continetur sub A, E æquale est ei quod continetur sub B, Γ. quoniam vero [ex hyp.] ratio ipsius E ad Δ data est: igitur [per 1.6.] ratio ejus quod continetur sub A, Δ ad id quod continetur sub A, E data est. quod autem continetur sub A, E æquale est contento sub B, Γ: quare & ratio ejus quod continetur sub A, Δ ad id quod continetur sub B, Γ data est: ergo [per 56.dat.] ut Δ ad Γ ita est B ad eam ad quam A habet rationem datam.

PROP. LXXXIV.

Si duæ rectæ spatium datum comprehendant in angulo dato, sitque altera altera major data; etiam unaquæque ipsarum data erit.

DUÆ enim rectæ AB, BΓ datum spatium AΓ comprehendant in angulo dato ABΓ; sitque ΓB ipsa BA major, data: dico unamquamque rectarum AB, BΓ datam esse.



Quoniam enim ΓB major est quam ipsa BA, data; sit linea data ipsa ΔΓ: igitur [per 2.def.dat.] reliqua ΔB ipsi BA æqualis est. compleatur parallelogrammum AΔ. & quoniam AB æqualis est ipsi BΔ: ratio ipsius AB ad BΔ data est. angulus

ὡς ἡ Β πρὸς τὴν Ε ὕτως ἡ Δ πρὸς τὴν Ζ· δὶ ἴσου ἄρα ἔσται ὡς ἡ Α πρὸς τὴν Ε ὕτως ἡ Γ πρὸς τὴν Ζ. καὶ ἔστιν ἡ μὲν Ε πρὸς ἣν ἡ Β λόγον ἔχει δεδομένον, ἡ δὲ Ζ πρὸς ἣν ἡ Δ λόγον ἔχει δεδομένον· ἔστιν ἄρα ὡς ἡ Α πρὸς ἣν ἡ Β λόγον ἔχει δεδομένον ὕτως ἡ Γ πρὸς ἣν ἡ Δ λόγον ἔχει δεδομένον.

ΠΡΟΤΑΣΙΣ πγ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ὕτως ἔχωσι πρὸς ἀλλήλας, ὥστε τριῶν ληφθεισῶν ἐξ αὐτῶν ὁποιωνοῦν, καὶ τετάρτης αὐταῖς ληφθείσης ὡς ἔτυχεν πρὸς ἣν ἡ λοιπὴ ἐξ ἀρχῆς τεσσάρων εὐθειῶν λόγον ἔχει δεδομένον, ἀνάλογον γίγεσθαι τὰς τέσσαρας εὐθείας· ἔσται ὡς ἡ τετάρτη πρὸς τὴν τρίτην ὕτως ἡ δευτέρα πρὸς ἣν ἡ πρώτη λόγον ἔχει δεδομένον.

Ἔστωσαν τέσσαρες εὐθεῖαι αἱ Α, Β, Γ, Δ ὕτως ἔχουσαι πρὸς ἀλλήλας ὥστε τριῶν ὁποιωνοῦν ληφθεισῶν ἐξ αὐτῶν Α, Β, Γ, καὶ τετάρτης αὐταῖς προσληφθείσης ὡς ἔτυχε τὴν Ε, πρὸς ἣν ἡ Δ λόγον ἔχει δεδομένον, ἀνάλογον εἶναι τὰς Α, Β, Γ, Ε εὐθείας· λέγω ὅτι ὡς ἡ Δ πρὸς τὴν Γ ὕτως ἡ Β πρὸς ἣν ἡ Α λόγον ἔχει δεδομένον.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α πρὸς τὴν Β ὕτως ἡ Γ πρὸς τὴν Ε· τὸ ἄρα ὑπὸ τῶν Α, Ε ἴσον ἐστὶ τῷ ὑπὸ τῶν Β, Γ. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ Ε πρὸς τὴν Δ δοθείς· λόγος ἄρα ἐστὶ καὶ τοῦ ὑπὸ τῶν Α, Δ πρὸς τὸ ὑπὸ τῶν Α, Ε δοθείς. τὸ δὲ ὑπὸ τῶν Α, Ε ἴσον ἐστὶ τῷ ὑπὸ τῶν Β, Γ· λόγος ἄρα ἐστὶ καὶ τοῦ ὑπὸ τῶν Α, Δ πρὸς τὸ ὑπὸ τῶν Β, Γ δοθείς· ἔστιν ἄρα ὡς ἡ Δ πρὸς τὴν Γ ὕτως ἡ Β πρὸς ἣν ἡ Α λόγον ἔχει δεδομένον.

ΠΡΟΤΑΣΙΣ πδ'.

Ἐὰν δύο εὐθεῖαι δοθὲν χωρίον περιέχωσιν ἐν δεδομένῃ γωνίᾳ, ἡ δὲ ἑτέρα τὴν ἑτέραν δοθείσῃ μείζων ᾖ· καὶ ἑκατέρα αὐτῶν ἔσται δοθεῖσα.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΒΓ δοθὲν χωρίον περιεχέτωσαν τὸ ΑΓ ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ ΑΒΓ, ἡ δὲ ΓΒ τῆς ΒΑ δοθείσῃ μείζων ἔστω· λέγω ὅτι δοθεῖσά ἐστιν ἑκατέρα τῶν ΑΒ, ΒΓ.

Ἐπεὶ γὰρ ἡ ΓΒ τῆς ΒΑ δοθείσῃ μείζων ἐστί, δοθεῖσα ἔστω ἡ ΔΓ· λοιπὴ ἄρα ἡ ΔΒ τῇ ΒΑ ἴση ἐστί. συμπεπληρώσθω τὸ ΑΔ παραλληλόγραμμον. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΔ· λόγος ἄρα ἐστὶ τοῦ ΑΒ πρὸς τὴν ΒΔ δοθείς. δοθεῖσα δὲ

δὲ καὶ ἡ ὑπὸ ΑΒΔ γωνία· δέδοται ἄρα τὸ ΑΔ τῷ εἴδει. ἐπεὶ οὖν τὸ ΑΓ δοθὲν παρὰ δοθεῖσαν τὴν ΔΓ παραβέβληται ὑπερβάλλον εἴδει δεδομένῳ τῷ εἴδει τῷ ΑΔ· δέδοται τὸ πλάτος τὸ ὑπερβολῆς· δοθεῖσα ἄρα ἐστὶν ἡ ΒΔ. ἀλλὰ καὶ ἡ ΔΓ· καὶ ὅλη ἄρα ἡ ΒΓ δοθεῖσά ἐστιν. ἔστι δὲ καὶ ἡ ΑΒ δοθεῖσα· ἑκατέρα ἄρα τῶν ΑΒ, ΒΓ δοθεῖσά ἐστι.

vero ΑΒΔ [ex hyp.] datus eſt: quare ΑΔ ſpecie datum eſt. quoniam itaque datum ſpatium ΑΓ ad datam rectam ΔΓ applicatum eſt, excedens data ſpecie figura ΜΔ: latitudo igitur exceſſus [per 59. dat.] data eſt; quare ΒΔ data eſt. ſed & ΔΓ [ex hyp.] data eſt: ergo [per 3.dat.] & tota ΒΓ data eſt. data autem eſt ΑΒ: quare utraque rectarum ΑΒ, ΒΓ data eſt.

ΠΡΟΤΑΣΙΣ πε'.

Ἐὰν δύο εὐθεῖαι δοθὲν χωρίον περιέχωσιν ἐν δεδομένῃ γωνίᾳ, ἡ δὲ συναμφότερος δοθεῖσα· καὶ ἑκατέρα αὐτῶν ἔσται δοθεῖσα.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΒΓ δοθὲν χωρίον τὸ ΑΓ περιεχέτωσαν ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ ΑΒΓ, καὶ ἔστω συναμφότερος ἡ ΑΒΓ δοθεῖσα· λέγω ὅτι καὶ ἑκατέρα τῶν ΑΒ, ΒΓ δοθεῖσά ἐστι.

Διήχθω γὰρ ἡ ΓΒ ἐπὶ τὸ Δ, καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΒΔ, καὶ ἐπεζεύχθω τὸ Δ τῇ ΒΑ παράλληλος ἤχθω ἡ ΔΕ, καὶ συμπεπληρώσθω τὸ ΑΔ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΒ τῇ ΒΑ, καὶ ἔστι δοθεῖσα ἡ ὑπὸ ΑΒΔ γωνία, ἐπεὶ καὶ ἡ ἐφεξῆς αὐτῇ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΕΒ τῷ εἴδει. καὶ ἐπεὶ δοθεῖσά ἐστι συναμφότερος ἡ ΑΒΓ, ἴση δὲ καὶ ἡ ΑΒ τῇ ΒΔ· δοθεῖσα ἄρα ἡ ΔΓ. ἐπεὶ οὖν δοθὲν τὸ ΑΓ παρὰ δοθεῖσαν τὴν ΔΓ παραβέβληται ἔλλειπον εἴδει δεδομένῳ τῷ εἴδει ΕΒ· δέδοται τὰ πλάτη τοῦ ἐλλείμματος· δοθεῖσαι ἄρα εἰσὶν αἱ ΑΒ, ΒΔ. ἀλλὰ καὶ συναμφότερος ἡ ΑΒΓ δοθεῖσά ἐστι· δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν ΑΒ, ΒΓ.



PROP. LXXXV.

Si duæ rectæ datum ſpatium comprehendant in angulo dato, ſitque ſimul utraque data; & earum etiam unaquæque data erit.

DUÆ enim rectæ ΑΒ, ΒΓ datum ſpatium ΑΓ comprehendant in angulo dato ΑΒΓ, & utraque ſimul rectarum ΑΒΓ data ſit: dico unamquamque rectarum ΑΒ, ΒΓ datam eſſe.

Producatur enim ΓΒ ad punctum Δ, & ponatur ipſi ΑΒ æqualis ΒΔ, atque per punctum Δ ipſi ΒΑ parallela agatur ΔΕ, compleaturque ΑΔ. quoniam igitur æqualis eſt ΔΒ ipſi ΒΑ, atque datus eſt angulus ΑΒΔ; nam qui eſt ipſi deinceps [ex hyp.] datus eſt: parallelogrammum igitur ΕΒ ſpecie datum eſt. & quoniam data eſt [ex hyp.] ſimul utraque ΑΒΓ; eſtque [per conſtr.] ΑΒ æqualis ipſi ΒΔ: recta igitur ΔΓ [per 3.dat.] data eſt. quoniam itaque ad datam rectam ΔΓ datum ſpatium ΑΓ applicatum eſt, deficiens data ſpecie figura ΕΒ: igitur [per 58. dat.] latitudines defectus datæ ſunt: quare rectæ ΑΒ, ΒΔ datæ ſunt. at vero [ex hyp.] utraque ſimul ΑΒΓ data eſt: unaquæque igitur rectarum ΑΒ, ΒΓ [per 4.dat.] data eſt.

ΠΡΟΤΑΣΙΣ πϛ'.

Ἐὰν δύο εὐθεῖαι δοθὲν χωρίον περιέχωσιν ἐν δεδομένῃ γωνίᾳ, τὸ δὲ ἀπὸ μιᾶς αὐτῶν τοῦ ἀπὸ τῆς ἑτέρας, δοθέντι, μεῖζον ἢ λόγῳ· καὶ ἑκατέρα αὐτῶν ἔσται δοθεῖσα.

Ἢ ὡς ἐν ἄλλῳ ἀντιτύπῳ ἀναγινώσκεται.

Ἐὰν δύο εὐθεῖαι δοθὲν χωρίον περιέχωσιν ἐν δεδομένῃ γωνίᾳ, δυνήται δὲ ἡ ἑτέρα τὴν ἑτέραν, δοθέντι, μεῖζον ἢ ἐν λόγῳ· καὶ ἑκατέρα αὐτῶν δοθεῖσα ἔσται.

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΒΓ δοθὲν χωρίον περιεχέτωσαν τὸ ΑΓ ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ ΑΒΓ, τὸ δὲ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ τῆς ΑΒ, δοθέντι, μεῖζον ἔστω ἢ ἐν λόγῳ· λέγω ὅτι καὶ ἑκατέρα τῶν ΑΒ, ΒΓ δοθεῖσά ἐστι.

PROP. LXXXVI.

Si duæ rectæ datum ſpatium comprehendant in angulo dato, quadratum autem unius quadrato alterius majus ſit, dato, quam in ratione; & utraque ipſarum data erit.

Vel ut legitur in alio exemplari.

Si duæ rectæ datum ſpatium comprehendant in angulo dato, poſſit autem altera altera majus, dato, quam in ratione; & utraque ipſarum data erit.

DUÆ enim rectæ ΑΒ, ΒΓ datum ſpatium ΑΓ comprehendant in angulo dato ΑΒΓ; quadratum autem rectæ ΒΓ quadrato rectæ ΑΒ majus ſit, dato, quam in ratione: dico utramque rectarum ΑΒ, ΒΓ datam eſſe.

Quoniam enim quadratum rectæ Γ B quadrato rectæ B A majus eſt, dato, quam in ratione; auferatur datum, ſitque id quod continetur ſub Γ B, B Δ: ergo [per 11.def.dat.] ratio reliqui, quod nempe continetur ſub B Γ, Γ Δ, ad quadratum rectæ A B data eſt. quoniam vero datum eſt id quod continetur ſub A B, B Γ, atque etiam illud quod continetur ſub Γ B, B Δ datum: ratio igitur ejus quod continetur ſub A B, B Γ ad id quod continetur ſub Γ B, B Δ [per 1.dat.] data eſt. ut autem id quod continetur ſub A B, B Γ ad id quod continetur ſub Γ B, B Δ ita [per 1.6.] eſt A B ad B Δ: quare ratio rectæ A B ad rectam B Δ data eſt: ideoque [per 50. dat.] ratio quadrati rectæ A B ad quadratum rectæ B Δ data eſt. datur autem ratio ejus quod continetur ſub B Γ, Γ Δ ad quadratum rectæ A B: ergo [per 8.dat.] & ratio ejus quod continetur ſub B Γ, Γ Δ ad quadratum rectæ B Δ data eſt: quare ratio ejus quod quater continetur ſub B Γ, Γ Δ ad quadratum rectæ B Δ data eſt; ideoque [per 6.dat.] & ratio ejus quod quater continetur ſub B Γ, Γ Δ una cum quadrato rectæ B Δ ad quadratum rectæ B Δ data eſt. ſed [per 8.2.] id quod quater continetur ſub B Γ, Γ Δ una cum quadrato rectæ B Δ eſt quadratum utriuſque ſimul B Γ, Γ Δ: ratio igitur quadrati utriuſque ſimul B Γ, Γ Δ ad quadratum rectæ B Δ data eſt: quare [per 54.dat.] & ratio utriuſque ſimul B Γ, Γ Δ ad B Δ data eſt: ergo [per 6.dat.] & componendo ratio rectarum B Γ, Γ Δ, necnon ipſius B Δ, id eſt duarum Γ B, ad B Δ data eſt: quare & ratio unius Γ B ad B Δ data eſt. ut autem Γ B ad B Δ ita [per 1.6.] quod continetur ſub Γ B, B Δ ad quadratum rectæ B Δ: ergo & ratio ejus quod continetur ſub Γ B, B Δ ad quadratum rectæ B Δ data eſt. datum autem eſt [per conſtr.] id quod continetur ſub Γ B, B Δ: quare [per 2. dat.] & quadratum rectæ B Δ datum eſt: ideoque data eſt recta B Δ: igitur [per 2.dat.] & ipſa B Γ data eſt; nam & ratio ipſius B Δ ad B Γ data eſt, & ipſa B Δ data. at vero [ex hyp.] datum eſt ſpatium A Γ, anguluſque A B Γ datus: quare [per 57. dat.] data eſt A B: utraque igitur rectarum A B, B Γ data eſt.



Επεὶ γὰρ τὸ ὑπὸ τ Γ B τῷ ὑπὸ τ B A, δοθέντι, μεῖζόν ἐστιν ἡ ἐν λόγῳ, ἀφῃρήσθω τὸ δοθὲν, καὶ ἔστω τὸ ὑπὸ τ Γ B, B Δ· λοιπὸν ἄρα τὸ ὑπὸ τ B Γ, Γ Δ πρὸς τὸ ὑπὸ τ A B λόγος ἐστὶ δοθείς. ἐπεὶ δοθὲν ἐστι τὸ ὑπὸ τ A B, B Γ, ἐστὶ δὲ καὶ τὸ ὑπὸ τ Γ B, B Δ δοθέν· τὸ ἄρα ὑπὸ τ A B, B Γ πρὸς τὸ ὑπὸ τ Γ B, B Δ λόγος ἐστὶ δοθείς. ὡς δὲ τὸ ὑπὸ τ A B, B Γ πρὸς τὸ ὑπὸ τ Γ B, B Δ ἕτως ἡ A B πρὸς τὴν B Δ· ὥστε καὶ τ A B πρὸς τὴν B Δ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τὸ ὑπὸ τῆς A B πρὸς τὸ ὑπὸ τ B Δ λόγον ἐστὶ δοθείς. τὸ δὲ ὑπὸ τ B Γ, Γ Δ πρὸς τὸ ὑπὸ τῆς A B λόγος ἐστὶ δοθείς· καὶ τὸ ὑπὸ τῶν B Γ, Γ Δ ἄρα πρὸς τὸ ὑπὸ τ B Δ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τὸ τετράκις ὑπὸ τῶν B Γ, Γ Δ πρὸς τὸ ὑπὸ τῆς B Δ λόγος ἐστὶ δοθείς· καὶ τὸ τετράκις ἄρα ὑπὸ τῶν B Γ, Γ Δ μετὰ τοῦ ὑπὸ τ B Δ πρὸς τὸ ὑπὸ τ B Δ λόγον ἐστὶ δοθείς. ἀλλὰ τὸ τετράκις ὑπὸ τῶν B Γ, Γ Δ μετὰ τοῦ ὑπὸ τ B Δ τὸ ὑπὸ συναμφοτέρων ἐστὶ τ B Γ, Γ Δ· λόγος ἄρα ἐστὶ καὶ τὸ ὑπὸ συναμφοτέρων τῆς B Γ, Γ Δ πρὸς τὸ ἀπὸ τῆς B Δ δοθείς· ὥστε καὶ συναμφοτέρου τῆς B Γ, Γ Δ πρὸς τλὴν B Δ λόγος ἐστὶ δοθείς· καὶ συνθέντι ἄρα τῶν B Γ, Γ Δ καὶ τῆς B Δ, τετρὶς δύο τῶν Γ B, πρὸς τλὴν B Δ λόγος ἐστὶ δοθείς· ὥστε καὶ μιᾶς τῆς Γ B πρὸς τλὴν B Δ λόγον ἐστὶ δοθείς. ὡς δὲ ἡ Γ B πρὸς τλὴν B Δ ἕτως τὸ ὑπὸ τῶν Γ B, B Δ πρὸς τὸ ἀπὸ τῆς B Δ· καὶ τὸ ὑπὸ τῶν Γ B, B Δ ἄρα πρὸς τὸ ἀπὸ τῆς B Δ λόγος ἐστὶ δοθείς. δοθὲν δὲ τὸ ὑπὸ τῶν Γ B, B Δ· δοθὲν ἄρα καὶ τὸ ἀπὸ τῆς B Δ· δοθεῖσα ἄρα ἐστὶν ἡ B Δ· ὥστε καὶ ἡ B Γ δοθεῖσά ἐστι, τῆς γὰρ B Γ πρὸς τλὴν B Δ λόγον ἐστὶ δοθείς, καὶ δέδοται ἡ B Δ. καὶ ἔστι δοθὲν τὸ A Γ, καὶ δοθεῖσα ἡ ὑπὸ A B Γ γωνία· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ A B· ἑκατέρα ἄρα τῶν A B, B Γ δοθεῖσά ἐστι.

PROP. LXXXVII.

Si duæ rectæ datum ſpatium comprehendant in angulo dato, poſſit autem altera altera majus, dato; & earum utraque data erit.

DUÆ enim rectæ A B, B Γ datum ſpatium A Γ comprehendant in angulo dato A B Γ; quadratum autem rectæ A B quadrato rectæ B Γ majus ſit, dato: dico utramque ipſarum A B, B Γ datam eſſe.

Quoniam enim quadratum rectæ A B quadrato rectæ B Γ majus eſt, dato; auferatur datum, ſit-

ΠΡΟΤΑΣΙΣ πζ'.

Ἐὰν δύο εὐθεῖαι δοθὲν χωρίον περιέχωσιν ἐν δεδομένῃ γωνίᾳ, τὸ δὲ ἀπὸ τ μείζονος τοῦ ἀπὸ τ ἐλάσσονος, δοθέντι, μεῖζον ᾖ· καὶ ἑκατέρα αὐτῶν δοθεῖσα ἔσται.

Δύο γὰρ εὐθεῖαι αἱ A B, B Γ δοθὲν χωρίον περιεχέτωσαν τὸ A Γ ἐν δεδομένῃ γωνίᾳ τῇ ὑπὸ A B Γ, τὸ δὲ ἀπὸ τ A B, δοθέντι, μεῖζον ἔστω τοῦ ἀπὸ τ B Γ· λέγω ὅτι δοθεῖσά ἐστιν ἑκατέρα τῶν A B, B Γ.

Ἐπεὶ γὰρ τὸ ἀπὸ τῆς A B τοῦ ἀπὸ τῆς B Γ, δοθέντι, μεῖζόν ἐστιν, ἀφῃρήσθω τὸ δοθὲν, καὶ ἔστω

τὸ

τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΒΑ, ΑΔ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ. καὶ ἐπεὶ δοθέν ἐστι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ, ἐστὶ δὲ καὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ δοθέν· λόγος ἄρα τοῦ ὑπὸ τῶν ΑΒ, ΒΔ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ δοθείς. ἔστιν ὡς τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ πρὸς τὸ ὑπὸ τοῦ ΑΒ, ΒΓ ἕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ· λόγος ἄρα καὶ τῆς ΔΒ πρὸς τὴν ΒΓ δοθείς· τοῦ ἄρα ἀπὸ τῆς ΔΒ πρὸς τὸ ἀπὸ τῆς ΒΓ λόγος ἐστὶ δοθείς. τῷ δὲ ἀπὸ τῆς ΒΓ ἴσον τὸ ὑπὸ τῶν ΒΑ, ΑΔ· λόγος ἄρα ἐστὶ καὶ τοῦ ὑπὸ τῶν ΒΑ, ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΔΒ δοθείς· καὶ τοῦ τετράκις ἄρα ὑπὸ τῶν ΒΑ, ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΔΒ δοθείς· λόγος ἄρα τοῦ τετράκις ὑπὸ τῶν ΒΑ, ΑΔ μετὰ τοῦ ἀπὸ τῆς ΔΒ ἐστὶ τὸ ἀπὸ συναμφοτέρου τῆς ΒΑ, ΑΔ· λόγος ἄρα καὶ τοῦ ἀπὸ συναμφοτέρου τῆς ΒΑ, ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΔΒ δοθείς· λόγος ἄρα συναμφοτέρου τῆς ΒΑ, ΑΔ πρὸς τὴν ΔΒ δοθείς. καὶ συνθέντι συναμφοτέρου τῆς ΒΑ, ΑΔ μετὰ τῆς ΒΔ, τουτέστι δύο τῶν ΑΒ, πρὸς τὴν ΒΔ λόγος ἐστὶ δοθείς· καὶ μιᾶς ἄρα τῆς ΑΒ πρὸς τὴν ΒΔ λόγος ἐστὶ δοθείς. τῆς δὲ ΔΒ πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΑΒ ἄρα πρὸς τὴν ΒΓ λόγος ἐστὶ δοθείς. καὶ ἐπεὶ λόγος ἐστὶ τοῦ ΑΒ πρὸς τὴν ΒΔ δοθείς, ἔστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ ἕτως τὸ ἀπὸ τοῦ ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ· λόγος ἄρα καὶ τοῦ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ δοθείς. δοθὲν δὲ τὸ ὑπὸ τῶν ΑΒ, ΒΔ, ἕτω γὰρ δοθὲν ἀφήρηται· δοθὲν ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΒ· δοθεῖσα ἄρα ἡ ΑΒ. καὶ ἐστὶ λόγος τῆς ΑΒ πρὸς τὴν ΒΓ δοθείς· δοθεῖσα ἄρα καὶ ἡ ΒΓ.



que id quod continetur ſub ΑΒ, ΒΔ; ergo reliquum, quod ſc. [per 2.2.] continetur ſub ΒΑ, ΑΔ, æquale eſt quadrato rectæ ΒΓ. quoniam vero id quod continetur ſub ΑΒ, ΒΓ, necnon id quod continetur ſub ΑΒ, ΒΔ, datum eſt: ratio igitur ejus quod continetur ſub ΑΒ, ΒΔ ad id quod continetur ſub ΑΒ, ΒΓ [per 1. dat.] data eſt. atque ut rectangulum ſub ΑΒ, ΒΔ ad rectangulum ſub ΑΒ, ΒΓ ita eſt ΔΒ ad ΒΓ: ergo datur ratio rectæ ΔΒ ad rectam ΒΓ; adeoque [per 50. dat.] ratio quadrati rectæ ΔΒ ad quadratum rectæ ΒΓ data eſt. quadrato autem rectæ ΒΓ æquale eſt [per conſtr. & 2. 2.] rectangulum ſub ΒΑ, ΑΔ: igitur ratio rectanguli ſub ΒΑ, ΑΔ ad quadratum rectæ ΔΒ data eſt: ideoque & ratio ejus quod quater continetur ſub ΒΑ, ΑΔ ad quadratum rectæ ΔΒ data eſt: quare & ratio ejus quod quater continetur ſub ΒΑ, ΑΔ una cum quadrato rectæ ΔΒ ad quadratum rectæ ΔΒ data eſt. ſed id quod quater continetur ſub ΒΑ, ΑΔ una cum quadrato rectæ ΔΒ eſt [per 8. 2.] quadratum utriuſque ſimul ΒΑ, ΑΔ: igitur ratio quadrati utriuſque ſimul ΒΑ, ΑΔ ad quadratum rectæ ΔΒ data eſt: quare [per 54. dat.] & ratio utriuſque ſimul ΒΑ, ΑΔ ad ΔΒ data eſt. atque componendo [per 6. dat.] ratio utriuſque ſimul ΒΑ, ΑΔ & ipſius ΒΔ, hoc eſt duarum ΑΒ, ad ΒΔ data eſt: ergo & ratio unius ΑΒ ad ΒΔ data eſt. at vero ratio ΔΒ ad ΒΓ data eſt: ergo [per 8. dat.] & ratio ipſius ΑΒ ad ΒΓ data eſt. & quoniam ratio ipſius ΑΒ ad ΒΔ data eſt; atque [per 1.6.] eſt ut ΑΒ ad ΒΔ ita quadratum rectæ ΑΒ ad id quod continetur ſub ΑΒ, ΒΔ: ratio igitur quadrati rectæ ΑΒ ad id quod continetur ſub ΑΒ, ΒΔ data eſt. datum autem eſt id quod continetur ſub ΑΒ, ΒΔ; ſic enim ablatum fuit ſpatium datum: ergo [per 2.dat.] & quadratum rectæ ΑΒ datum eſt: quare data eſt recta ΑΒ. eſt autem ratio ipſius ΑΒ ad ΒΓ data: recta igitur ΒΓ data eſt.

ΠΡΟΤΑΣΙΣ πή'.

Ἐὰν εἰς κύκλον δεδομένον τῷ μεγέθει εὐθεῖα γραμμὴ ἀχθῇ, ἀπολαμβάνουσα τμῆμα δεχόμενον γωνίαν δοθεῖσαν· δέδοται ἡ ἀχθεῖσα τῷ μεγέθει.

PROP. LXXXVIII.

Si in circulum magnitudine datum acta ſit recta linea, ſegmentum auferens quod angulum datum comprehendat; acta recta magnitudine data eſt.



Εἰς γὰρ κύκλον δεδομένον τῷ μεγέθει τὸν ΑΒΓ ἤχθω ἡ ΑΓ, ἀπολαμβάνουσα τμῆμα τὸ ΑΕΓ δεχόμενον γωνίαν ΑΕΓ δοθεῖσαν· λέγω ὅτι ἡ ΑΓ δέδοται τῷ μεγέθει.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Δ, καὶ ἐπεζεύχθωσαν ἡ ΑΔ διήχθω ἐπὶ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΓΕ. δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΓΕ, ὀρθὴ γὰρ ἐστιν. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΕΓ

IN circulum enim magnitudine datum ΑΒΓ agatur recta linea ΑΓ, auferens ſegmentum ΑΕΓ quod comprehendat angulum datum ΑΕΓ: dico rectam ΑΓ magnitudine datam eſſe.

Sumatur enim [per 1.3.] circuli centrum Δ, & connexa recta ΑΔ producatur ad punctum Ε, atque connectatur ΓΕ. datus igitur eſt angulus ΑΓΕ; etenim [per 31.3.] rectus eſt. angulus quoque ΑΕΓ [ex hyp.] datus

datus eſt: quare & reliquus angulus ΓΑΕ [per 32. 1. & 4. dat.] datus eſt: triangulum igitur ΑΓΕ [per 40. dat.] ſpecie datum eſt; adeoque ratio ipſius ΕΑ ad ΑΓ [per 3. def. dat.] data eſt. eſt autem [per 5. def. dat.] ΕΑ magnitudine data; quia datur circulus magnitudine: ergo [per 2. dat.] & ipſa ΑΓ magnitudine data eſt.

δοθεῖσα· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΓΑΕ δοθεῖσά ἐστι· δέδοται ἄρα τὸ ΑΓΕ τρίγωνον τῷ εἴδει· λόγῳ ἄρα ἐστὶ τῆς ΕΑ πρὸς τὴν ΑΓ δοθείσης. δοθεῖσα δὲ ἡ ΕΑ τῷ μεγέθει, ἐπεὶ καὶ ὁ κύκλος δέδοται τῷ μεγέθει· δοθεῖσα ἄρα ἐστὶν ἡ ΑΓ τῷ μεγέθει.

PROP. LXXXIX.

Si in datum magnitudine circulum data magnitudine recta acta fuerit; auferet ſegmentum quod angulum datum comprehendet.

IN circulum enim magnitudine datum ΑΒΓ agatur recta magnitudine data ΑΓ: dico quod auferet ſegmentum quod angulum datum comprehendet.



Accipiatur enim [per 1. 3.] circuli centrum Δ, & connexa recta ΑΔ producatur ad punctum Ε, connectaturque ΓΕ. & quoniam data eſt utraque rectarum ΕΑ, ΑΓ: igitur [per 1. dat.] ratio ipſius ΕΑ ad ΑΓ data eſt. rectus autem eſt [per 31. 3.] angulus ΑΓΕ: quare [per 44. dat.] triangulum ΑΓΕ ſpecie datum eſt: angulus igitur ΑΕΓ [per 3. def. dat.] datus eſt.

ΠΡΟΤΑΣΙΣ πθ'.

Ἐὰν εἰς κύκλον δεδομένον τῷ μεγέθει εὐθεῖα γραμμὴ ἀχθῇ δεδομένη τῷ μεγέθει· ἀπολήψεται τμῆμα δεχόμενον γωνίαν δοθεῖσαν.

ΕΙΣ γὰρ κύκλον δεδομένον τῷ μεγέθει τὸν ΑΒΓ εὐθεῖα γραμμὴ ἤχθω ἡ ΑΓ δεδομένη τῷ μεγέθει· λέγω ὅτι ἀπολήψεται τμῆμα δεχόμενον γωνίαν δοθεῖσαν.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΔ διήχθω ἐπὶ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΓΕ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἑκατέρα τῶν ΕΑ, ΑΓ· λόγῳ ἄρα ἐστὶ τῆς ΕΑ πρὸς τὴν ΑΓ δοθείς. ἔστιν ὀρθὴ ἡ ὑπὸ ΑΓΕ γωνία· δέδοται ἄρα τὸ ΑΓΕ τρίγωνον τῷ εἴδει· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΑΕΓ γωνία.

PROP. XC.

Si in circuli poſitione dati circumferentia acceptum fuerit datum punctum, ab eo autem puncto ad circumferentiam circuli inflexa fuerit recta linea quæ datum angulum efficiat; inflexæ rectæ altera extremitas data eſt.

IN circuli enim poſitione dati ΑΒΓ circumferentia accipiatur punctum datum Β, atque à puncto Β inflectatur recta ΒΑΓ quæ faciat angulum ΒΑΓ datum: dico punctum Γ datum eſſe.



Accipiatur enim [per 1. 3.] circuli centrum Δ, & connectantur ΒΔ, ΔΓ. & quoniam datum eſt utrumque punctorum Β, Δ: igitur [per 26. dat.] poſitione data eſt ΒΔ. & quoniam datus eſt angulus ΒΑΓ: angulus igitur ΒΔΓ [per 20. 3. & 2. dat.] datus quoque eſt. quoniam itaque ad datam poſitione rectam ΒΔ, & datum in ea punctum Δ, recta ΔΓ acta eſt quæ facit angulum ΒΔΓ datum: recta igitur ΔΓ [per 29. dat.] poſitione data eſt. circulus autem ΑΒΓ poſitione & magnitudine datus eſt: quare [per 25. & 26. dat.] poſitione & magnitudine data eſt ΔΓ. datum autem eſt punctum Δ: ergo [per 27. dat.] punctum Γ datum eſt.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν κύκλου δεδομένου τῇ θέσει ᾖ τι περιφερείας δοθὲν σημεῖον ληφθῇ, ἀπὸ δὲ τούτου πρὸς τὸν τοῦ κύκλου περιφέρειαν προσπίπτῃ τις εὐθεῖα δεδομένην ποιοῦσα γωνίαν· δέδοται τὸ ἕτερον πέρας τῆς προσπιπτούσης.

ΚΥΚΛΟΥ γὰρ τῇ θέσει δεδομένου τοῦ ΑΒΓ εἰλήφθω ὅτι τῆς περιφερείας δοθὲν σημεῖον τὸ Β, ἀπὸ δὲ τοῦ Β σημείου προσπιπτέτω εὐθεῖα ἡ ΒΑΓ δεδομένην ποιοῦσα γωνίαν τὴν πρὸς ΒΑΓ· λέγω ὅτι δέδοται τὸ Γ σημεῖον.

Εἰλήφθω γὰρ τοῦ κύκλου τὸ κέντρον τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΔ, ΔΓ. καὶ ἐπεὶ δοθέν ἐστιν ἑκάτερον τῶν Β, Δ, θέσει ἐστὶν ἡ ΒΔ. καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ ὑπὸ ΒΑΓ γωνία· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΒΔΓ. ἐπεὶ οὖν πρὸς θέσει δεδομένην εὐθεῖαν τὴν ΒΔ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Δ, εὐθεῖα γραμμὴ ἦκται ἡ ΔΓ δεδομένην ποιοῦσα γωνίαν τὴν ὑπὸ ΒΔΓ· δοθεῖσα ἄρα ἐστὶν ἡ ΔΓ τῇ θέσει. θέσει δὲ καὶ τῷ μεγέθει δοθεὶς ὁ ΑΒΓ κύκλος· θέσει ἄρα καὶ τῷ μεγέθει δοθεῖσά ἐστιν ἡ ΔΓ· καὶ δοθὲν τὸ Δ· δοθὲν ἄρα ἐστὶ τὸ Γ σημεῖον.

ΠΡΟΤΑΣΙΣ ϛα'.

Ἐὰν ἀπὸ δεδομένου σημείου, θέσει δεδομένῃ κύκλου ἐφαπτομένη εὐθεῖα ἀχθῇ· δέδοται ἡ ἀχθεῖσα τῇ θέσει καὶ τῷ μεγέθει.

Ἀπὸ γὰρ δεδομένου σημείου τοῦ Γ, θέσει δεδομένου κύκλου τοῦ ΑΒ ἐφαπτομένη εὐθεῖα ἤχθω ἡ ΓΑ· λέγω ὅτι ἡ ΓΑ εὐθεῖα δέδοται τῇ θέσει καὶ τῷ μεγέθει.

Εἰλήφθω γὰρ κέντρον τοῦ κύκλου τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΓ. καὶ ἐπεὶ δοθέν ἐστιν ἑκάτερον τῶν Δ, Γ· δοθεῖσα ἄρα ἐστὶν ἡ ΔΓ. καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΔΑΓ γωνία· τὸ ἄρα ἀπὸ τῆς ΔΓ γραφόμενον ἡμικύκλιον ἥξει διὰ τοῦ Α. ἤχθω δὴ καὶ ἔστω ὁ ΔΑΓ· θέσει ἄρα ἐστὶ τὸ ΔΑΓ. θέσει δὲ καὶ ὁ ΑΒ κύκλος δοθείς· ἔστιν ἄρα τὸ Α δοθέν. ἀλλὰ καὶ τὸ Γ δοθέν ἐστι· δοθεῖσα ἄρα ἐστὶν ἡ ΑΓ τῇ θέσει καὶ τῷ μεγέθει.



PROP. XCI.

Si à dato puncto recta linea acta fuerit, quæ datum positione circulum contingat; acta recta positione & & magnitudine data est.

A Dato enim puncto Γ datum positione circulum AB contingens recta ΓA ducatur: dico positione & magnitudine datam esse rectam ΓA.

Sumatur enim [per 1.3.] circuli centrum Δ, & connectantur rectæ ΔA, ΔΓ. & quoniam utrumque punctorum Δ, Γ datum est: recta igitur ΔΓ [per 26. dat.] positione & magnitudine data est. & [per 18.3.] rectus est angulus ΔAΓ: ergo [per 31. 3.] super ΔΓ descriptus semicirculus transibit per punctum A. transeat, sitque ΔAΓ: ergo [per 6.def.dat.] positione datus est circulus ΔAΓ. est autem [ex hyp.] circulus AB positione datus: quare [per 25. dat.] punctum A datum est. sed & punctum Γ [ex hyp.] datum est: recta igitur AΓ [per 26. dat.] positione & magnitudine data est.

ΠΡΟΤΑΣΙΣ ϛβ'.

Ἐὰν κύκλου δεδομένου τῇ θέσει ληφθῇ τι σημεῖον ἐκτὸς δοθέν, ἀπὸ δὲ τοῦ σημείου εἰς τὸν κύκλον διαχθῇ εὐθεῖα· τὸ ὑπὸ τὴν ὅλην καὶ τὴν μεταξὺ τοῦ σημείου καὶ τῆς κυρτῆς περιφερείας περιεχόμενον ὀρθογώνιον δοθέν ἐστι.

Κύκλου γὰρ δεδομένου τῇ θέσει τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, ἀπὸ δὲ τοῦ Δ σημείου διήχθω τις εὐθεῖα ἡ ΔΒ τεμνέτω τὸν κύκλον· λέγω ὅτι δοθέν ἐστι τὸ ὑπὸ τῶν ΒΔ, ΔΓ.

Ἤχθω ἀπὸ τοῦ Δ σημείου τοῦ ΑΒΓ κύκλου ἐφαπτομένη εὐθεῖα ἡ ΔΑ· δοθεῖσα ἄρα ἐστὶν ἡ ΔΑ τῇ θέσει καὶ τῷ μεγέθει. ἐπεὶ οὖν δοθείσα ἐστὶν ἡ ΑΔ· δοθὲν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΔ. καὶ ἔστιν ἴσον τῷ ὑπὸ τῶν ΒΔ, ΔΓ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ τῶν ΒΔ, ΔΓ.



PROP. XCII.

Si extra circulum positione datum accipiatur aliquod punctum, à dato autem puncto in circulum ducatur recta quædam; rectangulum sub ducta linea & ea quæ inter punctum & convexam peripheriam interjicitur datum erit.

EXtra enim datum positione circulum AΒΓ accipiatur aliquod punctum Δ; à puncto autem Δ agatur quædam recta ΔΒ secans circulum; dico rectangulum sub ΒΔ, ΔΓ datum esse.

Agatur enim [per 17. 3.] à puncto Δ circulum ΑΒΓ contingens recta ΔΑ: recta igitur ΔΑ [per 91.dat.] positione & magnitudine data est. quoniam itaque data est ΑΔ: etiam quadratum rectæ ΑΔ [per 52. dat.] datum est. & [per 36.3.] æquale quidem est ei quod continetur sub ΒΔ, ΔΓ: quare & id quod continetur sub ΒΔ, ΔΓ datum est.

ΑΛΛΩΣ.

Εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΔΕ; καὶ διήχθω διὰ τὸ Α. καὶ ἐπεὶ

ALITER.

Accipiatur [per 1.3.] circuli centrum Ε, & jungatur ΔΕ & producatur ad punctum Α. & quoniam

tum eſt [ex hyp.] utrumque punctorum E, Δ: recta igitur EΔ [per 26. dat.] poſitione & magnitudine data eſt. circulus autem ABZ [ex hyp.] datus eſt magnitudine & poſitione: utrumque igitur punctorum A, Z [per 25. dat.] datum eſt. datum autem [ex hyp.] eſt punctum Δ: utraque igitur rectarum AΔ, ZΔ [per 26. dat.] data eſt: quare quod continetur ſub AΔ, ΔZ datum eſt. & [per 36. 3.] id quod continetur ſub AΔ, ΔZ æquale eſt ei quod continetur ſub BΔ, ΔΓ: ergo. & id quod continetur ſub BΔ, ΔΓ datum eſt.



δοθὲν ἐστιν ἑκάτερον τ̃ E, Δ· δοθεῖσα ἄρα ἐστὶν ἡ EΔ τῇ θέσει καὶ τῷ μεγέθει. δέδοται δὲ καὶ ὁ ABZ κύκλος· δοθὲν ἄρα ἐστὶν ἑκάτερον τῶν A, Z. ἐστὶ δὲ καὶ τὸ Δ δοθέν· δοθεῖσαι ἄρα εἰσὶν ἑκατέρα τῶν AΔ, ZΔ· δοθὲν ἄρα ἐστὶ τὸ ὑπὸ τῶν AΔ, ΔZ. καὶ ἔστιν ἴσον τὸ ὑπὸ τῶν AΔ, ΔZ τῷ ὑπὸ τ̃ BΔ, ΔΓ· δοθὲν ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν BΔ, ΔΓ.

PROP. XCIII.

Si intra datum poſitione circulum ſumatur aliquod datum punctum, per punctum autem agatur in circulum recta aliqua linea; quod ſub ſegmentis actæ rectæ lineæ comprehenditur rectangulum datum erit.

ETenim intra circulum poſitione datum BΓ ſumatur aliquod punctum datum A; per punctum autem A agatur quævis recta ΓB: dico rectangulum ſub BA, AΓ datum eſſe.

Accipiatur enim [per 1.3.] circuli centrum Δ, & connexa recta AΔ producatur ad puncta Z, E. itaque quoniam datum eſt [ex hyp.] utrumque punctorum Δ, A: igitur [per 26. dat.] poſitione data eſt recta ΔA. eſt autem & circulus ΓBZ [ex hyp.] poſitione datus: utrumque igitur punctorum Z, E [per 25. dat.] datum eſt. punctum autem A [ex hyp.] datum eſt: ergo [per 26. dat.] utraque rectarum ZA, AE data eſt: ideoque rectangulum ſub ZA, AE datum eſt. & [per 35. 3.] eſt æquale rectangulo ſub BA, AΓ: igitur rectangulum ſub BA, AΓ datum eſt.

ΠΡΟΤΑΣΙΣ ξγ'.

Ἐὰν κύκλου δεδομένου τῇ θέσει ληφθῇ τι σημεῖον οὐκ ὂν δοθέν, διὰ δὲ τοῦ σημείου διαχθῇ τις εὐθεῖα εἰς τὸν κύκλον· τὸ ὑπὸ τῶν τῆς ἀχθείσης τμημάτων περιεχόμενον ὀρθογώνιον δοθὲν ἔσται.

Κύκλου γὰρ δεδομένου τῇ θέσει τὸ BΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ A δοθέν, διὰ δὲ τοῦ A διήχθω τις εὐθεῖα ἡ ΓBΔ· λέγω ὅτι δεδομένον ἐστὶ τὸ ὑπὸ τ̃ BA, AΓ.



Εἰλήφθω γὰρ κέντρον τοῦ κύκλου τὸ Δ, καὶ ἐπεζεύχθεισα ἡ AΔ διήχθω ἐπὶ τὰ Z, E. ἐπεὶ οὖν δοθέν ἐστιν ἑκάτερον τῶν Δ, A· θέσει ἄρα καὶ ἡ ΔA. θέσει δὲ καὶ ὁ ΓBZ κύκλος· δοθὲν ἄρα ἐστὶν ἑκάτερον τῶν Z, E. ἔστι δὲ καὶ τὸ A δοθέν· δοθεῖσαι ἄρα ἐστὶν ἑκατέρα τῶν ZA, AE· δοθὲν ἄρα ἐστὶ τὸ ὑπὸ τ̃ ZA, AE. καὶ ἔστιν ἴσον τῷ ὑπὸ τῶν BA, AΓ· δοθὲν ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν BA, AΓ.

PROP. XCIV.

Si in circulum magnitudine datum agatur recta linea, ſegmentum auferens quod angulum datum comprehendat, angulus autem qui in ſegmento conſiſtit bifariam ſecetur: utraque ſimul rectarum, quæ angulum datum comprehendunt, ad lineam, quæ angulum bifariam ſecat, habebit rationem datam; & rectangulum ſub utriſque ſimul, quæ datum angulum comprehendunt, rectis & inferne abſciſſa ab ea, quæ angulum in circumferentia datum bifariam ſecat, datum erit.

IN circulum enim magnitudine datum ABΓ agatur recta BΓ, ſegmentum auferens quod da-

ΠΡΟΤΑΣΙΣ ξδ'.

Ἐὰν εἰς κύκλον δεδομένον τῷ μεγέθει εὐθεῖα γραμμὴ ἀχθῇ, ἀπολαμβάνουσα τμῆμα δεχόμενον γωνίαν δοθεῖσαν, καὶ ἡ εἰς τὸ τμῆμα γωνία δίχα τμηθῇ· συναμφότεροι αἱ τὴν δεδομένην γωνίαν περιέχουσαι πλευραὶ πρὸς τ̃ δίχα τέμνουσαν τὴν γωνίαν λόγον ἔξουσι δεδομένον, καὶ τὸ ὑπὸ συναμφοτέρου τ̃ τ̃ δεδομένην γωνίαν περιεχουσῶν εὐθειῶν καὶ τ̃ κάτω ἀπολαμβανομένης ἀπὸ τ̃ δίχα τεμνούσης τ̃ γωνίαν πρὸς τῇ περιφερείᾳ δοθὲν ἔσται.

ΕΙΣ γὰρ κύκλον δεδομένον τῷ μεγέθει τ̃ ABΓ εὐθεῖα ἠχθω ἡ BΓ, ἀπολαμβάνουσα τμῆμα δεχόμενον

χόμενον γωνίαν δοθεῖσαν τὴν ὑπὸ ΒΑΓ, καὶ τετμήσθω ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τῇ ΑΔ εὐθείᾳ· λέγω ὅτι λόγος ἐστὶ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΑΔ δοθεῖσαν, καὶ ὅτι δοθέν ἐστι τὸ ὑπὸ συναμφοτέρου τῆς ΒΑΓ καὶ τῆς ΕΔ.

Ἐπεζεύχθω ἡ ΒΔ. καὶ ἐπεὶ εἰς κύκλον δεδομένον τῷ μεγέθει τὸν ΑΒΓ δέδεκται εὐθεῖα ἡ ΒΓ, ἀποτέμνουσα τμῆμα τὸ ΒΑΓ δεχόμενον γωνίαν δοθεῖσαν τὴν ὑπὸ ΒΑΓ· δοθεῖσα ἄρα ἐστὶν ἡ ΒΓ τῷ μεγέθει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΔ δοθεῖσά ἐστι τῷ μεγέθει· λόγος ἄρα ἐστὶ τῆς ΒΓ πρὸς τὴν ΒΔ δοθείς. καὶ ἐπεὶ ἡ ὑπὸ ΒΑΓ γωνία δίχα τέτμηται τῇ ΑΔ εὐθείᾳ· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΒΕ πρὸς τὴν ΕΓ· ἐναλλὰξ ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΕ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΕ· καὶ ὡς ἄρα συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΕ. καὶ ἐπεί ἐστιν ἴση ἡ ὑπὸ ΒΑΕ γωνία τῇ ὑπὸ ΕΑΓ, ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΒΔΕ ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΕΓ λοιπῇ τῇ ὑπὸ ΑΒΔ ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΕΓ τρίγωνον τῷ ΑΒΔ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΑΓ πρὸς τὴν ΓΕ οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ. ἀλλ' ὡς ἡ ΑΓ πρὸς τὴν ΓΕ οὕτως συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ· ἔστιν ἄρα ὡς συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ· ἐναλλὰξ ἄρα ὡς συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΑΔ οὕτως ἡ ΒΓ πρὸς τὴν ΒΔ. λόγος δὲ τῆς ΒΓ πρὸς τὴν ΒΔ δοθείς· λόγος ἄρα καὶ συναμφοτέρου τῆς ΒΑΓ πρὸς τὴν ΑΔ δοθείς.

ΛΕΓΩ ὅτι καὶ τὸ ὑπὸ συναμφοτέρου τῆς ΒΑΓ καὶ τῆς ΔΕ δοθέν ἐστι.

Ἐπεὶ γὰρ ἰσογώνιόν ἐστι τὸ ΑΕΓ τρίγωνον τῷ ΔΕΒ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΕ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΕ· ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΕ οὕτως ἐστὶ συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ· ὡς ἄρα συναμφότερος ἡ ΒΑΓ πρὸς τὴν ΒΓ οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΕ· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς ΒΑΓ καὶ τῆς ΔΕ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΓΒ, ΒΔ. δοθὲν δὲ τὸ ὑπὸ τῶν ΓΒ, ΒΔ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ συναμφοτέρου τῆς ΒΑΓ καὶ τῆς ΒΔ.

ΑΛΛΩΣ.

Διήχθω ἡ ΑΓ ἐπὶ τὸ Ε, καὶ κείσθω τῇ ΒΓ ἴση ἡ ΓΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΒΔ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ὑπὸ ΑΓΒ ἑκατέρας τῶν ὑπὸ ΑΓΔ, ΓΒΕ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΓΒΕ γωνία τῇ ὑπὸ ΑΓΔ, τουτέστι τῇ ὑπὸ ΑΒΔ. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΒΓ· ὅλη ἄρα ἡ ὑπὸ ΔΒΓ ὅλῃ τῇ ὑπὸ ΖΒΕ ἐστιν ἴση. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΓΑΒ τῇ ὑπὸ ΓΔΒ ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΕΒ λοιπῇ τῇ ὑπὸ ΔΓΒ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ



tum angulum BAΓ comprehendat, & secetur angulus BAΓ bifariam recta AΔ: dico rationem utriusque simul rectæ BAΓ ad AΔ datam esse; necnon datum esse id quod sub utraque simul BAΓ & recta EΔ continetur.

Connectatur BΔ. & quoniam in circulum ABΓ magnitudine datum acta est recta BΓ, auferens segmentum BAΓ quod angulum datum BAΓ comprehendat: magnitudine igitur [per 88. dat.] data est recta BΓ. similiter data est recta BΔ: igitur ratio ipsius BΓ ad BΔ [per 1. dat.] data est. quoniam vero [ex hyp.] angulus BAΓ recta AΔ bifariam sectus est: est igitur [per 3. 6.] ut BA ad AΓ ita BE ad EΓ: ideoque [per 16. 5.] permutando, ut AB ad BE ita AΓ ad ΓE: quare [per 12. 5.] ut utraque BAΓ ad BΓ ita AΓ ad ΓE. & quoniam angulus BAE angulo EAΓ æqualis est; estque [per 21. 3.] angulus AΓE angulo BΔE æqualis: reliquus igitur angulus AEΓ reliquo angulo ABΔ [per 32. 1.] æqualis est: adeoque æquiangulum est triangulum AEΓ triangulo ABΔ: quare [per 4. 6.] ut AΓ ad ΓE ita est AΔ ad ΔB. sed [ex mox ostensis] ut AΓ ad ΓE ita est utraque BAΓ ad BΓ: igitur ut utraque simul BAΓ ad BΓ ita AΔ ad ΔB: ideoque permutando ut utraque BAΓ ad AΔ ita est BΓ ad BΔ. est autem ratio ipsius BΓ ad BΔ data: ergo & ratio utriusque simul BAΓ ad AΔ data est.

Dico insuper rectangulum sub utraque simul BAΓ & ΔE datum esse.

Quoniam enim [per 15. 1. & 21. 3.] triangulum AEΓ triangulo ΔEB æquiangulum est: est igitur [per 4. 6.] ut BΔ ad ΔE ita AΓ ad ΓE. ut autem AΓ ad ΓE ita est [ex supra ostensis] utraque BAΓ ad BΓ: quare [per 11. 5.] ut utraque BAΓ ad BΓ ita est BΔ ad ΔE: ideoque [per 16. 6.] quod continetur sub utraque BAΓ & ΔE æquale est ei quod continetur sub ΓB, BΔ. quod autem continetur sub ΓB, BΔ [ex mox ostensis] datum est: ergo & id quod continetur sub utraque BAΓ & EΔ datum est.

ALITER.

Producatur AΓ ad punctum E, & ponatur ipsi BΓ æqualis ΓE, connectanturque EB, BΔ. & quoniam [per constr. & 5. & 32. 1.] angulus AΓB utriusvis angulorum AΓΔ, ΓBE duplus est: angulus igitur ΓBE æqualis est angulo AΓΔ; hoc est [per 21. 3.] ipsi ABΔ. communis adjiciatur angulus ABΓ: totus igitur angulus ΔBΓ toti angulo ZBE æqualis est. angulus autem ΓAB angulo ΓΔB [per 21. 3.] æqualis est: reliquus igitur ΓEB [per 32. 1.] reliquo ΔΓB æqualis est: ideoque trian-



gulum EAB triangulo ΓΔB æquiangulum eſt: quare [per 4.6.] ut EA ad AB ita ΓΔ ad ΔB. eſt autem [per conſtr.] recta EA utraq; ſimul AΓB: ergo ut utraque ſimul AΓB ad AB ita eſt ΓΔ ad BΔ: permutando igitur ut utraque ſimul AΓB ad ΓΔ ita eſt AB ad BΔ. eſt autem [per 1. dat.] ratio ipſius AB ad BΔ data; utraque enim earum [per 88.dat.] data eſt: quare ratio utriuſque AΓB ad ΓΔ data eſt.



ET quoniam [ex ſupra oſtenſis] triangulum EAB eſt triangulo ZBΔ æquiangulum: erit [per 4.6.] ut EA ad AB ita BΔ ad ΔZ. eſt autem [per conſtr.] EA utraque AΓB: quare ut utraque ſimul AΓB ad AB ita eſt BΔ ad ΔZ: ideoq; [per 16.6.] quod continetur ſub utraque AΓB & ZΔ æquale eſt ei quod continetur ſub AB, BΔ. eſt autem id quod continetur ſub AB, BΔ datum; etenim [per 88.dat.] utraque rectarum AB, BΔ data eſt: ergo quod continetur ſub utraque ſimul AΓB & ZΔ datum eſt.

τὸ EAB τρίγωνον τῷ ΓΔB τριγώνῳ· ἐστὶν ἄρα ὡς ἡ EA πρὸς τὴν AB ὕτως ἡ ΓΔ πρὸς τὴν ΔB. ἡ δὲ EA συναμφοτέρος ἐστὶν ἡ AΓB· καὶ ὡς ἄρα συναμφότερος ἡ AΓB πρὸς τὴν AB ὕτως ἡ ΓΔ πρὸς τὴν BΔ· καὶ ἐναλλὰξ ἄρα ὡς συναμφότερος ἡ AΓB πρὸς τὴν ΓΔ ὕτως ἡ AB πρὸς τὴν BΔ. λόγος δὲ ἐστὶ τῆς AB πρὸς τὴν BΔ δοθεῖς, ἑκατέρα γὰρ αὐτῶν δοθεῖσα ἐστί· λόγος ἄρα ἐστὶ καὶ συναμφοτέρου τῆς AΓB πρὸς τὴν ΓΔ δοθεὶς.

ΚΑΙ ἐπεὶ ἰσογώνιόν ἐστι τὸ EAB τρίγωνον τῷ ZBΔ τριγώνῳ· ἐστὶν ἄρα ὡς ἡ EA πρὸς τὴν AB ὕτως ἡ BΔ πρὸς τὴν ΔZ. ἡ δὲ EA συναμφότερος ἐστὶν ἡ AΓB· ὡς ἄρα συναμφότερος ἡ AΓB πρὸς τὴν AB ὕτως ἡ BΔ πρὸς τὴν ΔZ· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς AΓB καὶ τῆς ZΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν AB, BΔ. δοθὲν δὲ ἐστὶ τὸ ὑπὸ τῶν AB, BΔ· δοθεῖσαι γὰρ ἑκατέρα αὐτῶν· δοθὲν ἄρα ἐστὶ καὶ τὸ ὑπὸ συναμφοτέρου τῆς AΓB καὶ τῆς ZΔ.

ALITER.

Producatur AΓ ad punctum Z, & fiat ΓZ æqualis ipſi BA, connectanturque BΔ, ΔΓ, ΔZ. & quoniam æqualis eſt BA ipſi ΓZ, atque ΔB [per 26.& 29. 3.] ipſi ΔΓ; adeoque duæ AB, BΔ duabus ZΓ, ΓΔ æquales ſunt utraque utrique. atque etiam [per 13.1.& 22. 3.] angulus ABΔ angulo ΔΓZ æqualis eſt, quia quadrilaterum ABΔΓ eſt in circulo: baſis igitur AΔ [per 4.1.] baſi ΔZ æqualis eſt, & triangulum ABΔ triangulo ΓΔZ æquale, & reliqui anguli reliquis angulis æquales ſub quibus æqualia latera ſubtenduntur; adeoque angulus BAΔ angulo ΔZΓ æqualis eſt. angulus autem BAΔ [ex hyp.] datus eſt: quare angulus ΔZΓ datus eſt. ſed & angulus ΔAZ datus eſt: triangulum igitur AΔZ [per 40. dat.] ſpecie datum eſt: adeoque [per 3.def.dat.] data eſt ratio ipſius ZA ad AΔ. eſt autem AZ utraque ſimul BAΓ; quia [per conſtr.] æqualis eſt ΓZ ipſi BA: ratio igitur utriuſque ſimul BAΓ ad AΔ data eſt.



ET eadem ratione, qua ſuperius, rectangulum ſub utraque ſimul BAΓ & EΔ datum eſſe oſtendemus.

ΑΛΛΩΣ

Διήχθω ἡ AΓ ἐπὶ τὸ Z, καὶ κείσθω τῇ BA ἴση ἡ ΓZ, καὶ ἐπεζεύχθωσαν αἱ BΔ, ΔΓ, ΔZ. ἐπεὶ ἴση ἐστὶν ἡ μὲν BA τῇ ΓZ, ἡ δὲ ΔB τῇ ΔΓ· δύο δὴ αἱ AB, BΔ δυσὶ ταῖς ZΓ, ΓΔ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ γωνία ἡ ὑπὸ ABΔ τῇ ὑπὸ ΔΓZ ἐστιν ἴση, ἐπειδήπερ ἐν κύκλῳ ἐστὶ τὸ ABΔΓ τετράπλευρον· βάσις ἄρα ἡ AΔ βάσει τῇ ΔZ ἐστιν ἴση, καὶ τὸ ABΔ τρίγωνον τῷ ΓΔZ τριγώνῳ ἐστὶν ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς ἴσαι ἔσονται ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ BAΔ γωνία τῇ ὑπὸ ΔZΓ. δοθεῖσα δὲ ἐστὶν ἡ ὑπὸ BAΔ γωνία· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΔZΓ γωνία· ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΔAZ γωνία δοθεῖσα· δέδοται ἄρα τὸ AΔZ τρίγωνον τῷ εἴδει· λόγος ἄρα ἐστὶ τῆς ZA πρὸς τὴν AΔ δοθείς. ἡ δὲ AZ συναμφότερός ἐστιν ἡ BAΓ, διὰ τὸ ἴσην εἶναι τὴν ΓZ τῇ BA· λόγος ἄρα ἐστὶ συναμφοτέρου τῆς BAΓ πρὸς τὴν AΔ δοθείς.

ΚΑΙ ὁμοίως τῷ πρότερον δείξομεν ὅτι τὸ ὑπὸ συναμφοτέρου τῆς BAΓ καὶ τῆς EΔ δοθὲν ἐστι.

PROP. XCV.

Si in circuli poſitione dati diametro ſumatur datum punctum, à puncto autem in circulum producatur quædam re-

ΠΡΟΤΑΣΙΣ ϟε'.

Ἐὰν κύκλου δεδομένου τῇ θέσει ὅτι τῆς διαμέτρου δοθὲν σημεῖον ληφθῇ, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσβληθῇ τις εὐθεῖα,

ἡ ἀπὸ τ τομῆς τις πρὸς ὀρθὰς ἀχθῇ τῇ διαχθείσῃ, ἀφ' ἧς δὲ τὸ σημεῖον, καθ' ὃ συμβάλλει ἡ πρὸς ὀρθὰς τῇ περιφερείᾳ τ κύκλου, παράλληλος ἀχθῇ τῇ διαχθείσῃ· δοθὲν ὅτι τὸ σημεῖον, καθ' ὃ συμβάλλει ἡ παράλληλος τῇ διαμέτρῳ, καὶ τὸ ὑπὸ τῶν παραλλήλων περιεχόμενον ὀρθογώνιον δοθὲν ἔσται.

cta, agaturque recta à ſectione ad rectos angulos in productam rectam; per punctum autem in quo linea, quæ ad rectos angulos inſiſtit, occurrit circumferentiæ circuli, agatur parallela productæ rectæ: datum eſt illud punctum in quo parallela occurrit ipſi diametro; & quod ſub parallelis lineis comprehenditur rectangulum datum eſt.

ΚΥΚΛΟΥ γὰρ τῇ θέσει δεδομένου τοῦ ΑΒΓ ἐπὶ τ διαμέτρου τ ΒΓ εἰλήφθω δοθὲν σημεῖον τὸ Δ, ἀφ' ἧς δὲ τοῦ Δ πρὸς τὸν κύκλον προσβεβλήσθω τις τυχοῦσα ἡ ΔΑ, ἀπὸ δὲ τοῦ Α τῇ ΔΑ πρὸς ὀρθὰς ἤχθω ἡ ΑΕ, ἀφ' ἧς δὲ τὸ Ε τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΕΖ· λέγω ὅτι δοθὲν ἐστι τὸ Ζ, καὶ ὅτι τὸ ὑπὸ τ ΑΔ, ΕΖ χωρίον δοθὲν ἐστι.

IN circuli enim poſitione dati ΑΒΓ diametro ΒΓ accipiatur datum punctum Δ, per punctum autem Δ producatur in circulum recta quædam linea ΔΑ, à puncto autem Α ipſi ΔΑ ad angulos rectos agatur recta ΑΕ, atque per punctum Ε ipſi ΑΔ parallela agatur ΕΖ: dico punctum Ζ datum eſſe; atque etiam datum eſſe rectangulum ſub ΑΔ, ΕΖ comprehenſum.

Διήχθω ἡ ΕΖ ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΑΘ. ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΘΕΑ γωνία, ἡ ΘΑ ἄρα διάμετρός ἐστι τοῦ ΑΒΓ κύκλου. ἔστι δὲ καὶ ἡ ΒΓ τοῦ ΑΒΓ κύκλου διάμετρος· τὸ Η ἄρα κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου· δοθὲν ἄρα ἐστὶ τὸ Η. ἐστὶ δὲ καὶ τὸ Δ δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἡ ΔΗ τῷ μεγέθει. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΕΘ, καὶ ἔστιν ἴση ἡ ΘΗ τῇ ΗΑ· ἴση ἄρα ἐστὶ καὶ ἡ μὲν ΔΗ τῇ ΗΖ, ἡ δὲ ΑΔ τῇ ΖΘ. δοθεῖσα δὲ ἡ ΔΗ· δοθεῖσα ἄρα καὶ ἡ ΗΖ. ἀλλὰ καὶ τῇ θέσει· ἑκατέρα ἄρα τῶν ΗΖ, ΗΔ δοθεῖσά ἐστι. καὶ ἔστι δοθὲν τὸ Η· δοθὲν ἄρα ἐστὶ καὶ τὸ Ζ.



Producatur enim recta ΕΖ ad punctum Θ, & connectatur recta ΑΘ. quoniam angulus ΘΕΑ rectus eſt; recta ΘΑ [per 31.3.] eſt circuli ΑΒΓ diameter. eſt autem [ex hyp.] & ΒΓ diameter circuli ΑΒΓ: ergo punctum Η circuli ΑΒΓ centrum eſt: quare datum eſt punctum Η. eſt autem [ex hyp.] punctum Δ datum: ergo [per 26. dat.] data eſt recta ΔΗ magnitudine. & quoniam recta ΑΔ [ex hyp.] parallela eſt ipſi ΕΘ, atque eſt ΘΗ ipſi ΗΑ æqualis: igitur [per 29. 1. & 4.6.] æqualis eſt ΔΗ quidem ipſi ΗΖ, & ΑΔ ipſi ΖΘ. eſt autem recta ΔΗ data: ergo etiam data eſt ΗΖ. ſed & etiam poſitione datæ ſunt: ergo utraque rectarum ΗΖ, ΗΔ data eſt. atque datum eſt punctum Η: quare [per 27.dat.] & punctum Ζ datum eſt.

ΚΑΙ ἐπεὶ ἐντὸς κύκλου δεδομένου τῇ θέσει τοῦ ΑΒΓ εἴληπται σημεῖον τὸ Ζ δοθέν, καὶ διῆκται ἡ ΕΖΘ· δοθὲν ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ΕΖ, ΖΘ. ἴση δὲ ἡ ΘΖ τῇ ΔΑ· δοθὲν ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ΑΔ, ΕΖ.

ET quoniam intra circulum poſitione datum ΑΒΓ acceptum eſt datum punctum Ζ, & acta eſt recta ΕΖΘ: rectangulum igitur ſub ΕΖ, ΖΘ [per 93.dat.] datum eſt. æqualis autem eſt ΘΖ ipſi ΔΑ: ergo rectangulum ſub ΑΔ, ΕΖ datum eſt.

ΤΕΛΟΣ ΕΥΚΛΕΙΔΟΥ ΔΕΔΟΜΕΝΩΝ.

FINIS DATORUM EUCLIDIS.

ΕΥΚΛΕΙΔΟΥ

ΕΙΣΑΓΩΓΗ

ΑΡΜΟΝΙΚΗ.

EUCLIDIS

INTRODUCTIO

HARMONICA.

ΕΥΚΛΕΙΔΟΥ
ΕΙΣΑΓΩΓΗ
ΑΡΜΟΝΙΚΗ.

EUCLEIDIS
INTRODUCTIO
HARMONICA.

ΑΡΜΟΝΙΚΗ ἐστιν ἐπιστήμη θεωρητικὴ καὶ πρακτικὴ τῆς τῦ ἡρμοσμένου φύσεως. Ἡρμοσμένον δέ ἐστι τὸ ἐκ φθόγγων καὶ διαστημάτων, ποιὰν τάξιν ἐχόντων, συγκείμενον. μέρη δ' αὐτῆς ἐστιν ἑπτά. περὶ φθόγγων. περὶ διαστημάτων. περὶ γενῶν. περὶ συστημάτων. περὶ τόνων. περὶ μεταβολῆς. περὶ μελοποιΐας.

Φθόγγος μὲν ἔν ἐστι φωνῆς πλῶσις ἐμμελὴς ἐπὶ μίαν τάσιν.

Διάστημα δέ, τὸ περιεχόμενον ὑπὸ δύο φθόγγων ἀνομοίων ὀξύτητι καὶ βαρύτητι.

Γένος δέ ἐστι ποιὰ τετράρων φθόγγων διαίρεσις.

Σύστημα δέ ἐστι, τὸ ἐκ πλειόνων ἢ ἑνὸς διαστημάτων συγκείμενον.

Τόνος δέ ἐστι τόπος τις τῆς φωνῆς, δεκτικὸς συστήματος, ἀπλατής.

Μεταβολὴ δέ ἐστιν ὁμοίου τινὸς εἰς ἀνόμοιον τόπον μετάθεσις.

Μελοποιΐα δέ ἐστι χρῆσις τῶν ὑποκειμένων τῇ ἁρμονικῇ πραγματείᾳ, πρὸς τὸ οἰκεῖον ἑκάστης ὑποθέσεως.

Ταῦτα δὲ θεωρεῖται ἐν φωνῆς ποιότητι, ἧς κινήσεις εἰσὶ δύο. ἡ μὲν συνεχής τε καὶ λογικὴ καλουμένη· ἡ δὲ διαστηματικὴ τε καὶ μελωδική. Ἡ μὲν οὖν συνεχὴς κίνησις τῆς φωνῆς ταῖς τε ἐπιτάσεις, καὶ ταῖς ἀνέσεσ ἀφανῶς ποιεῖται, μηδαμοῦ ἱσταμένη, ἢ μέχρι σιωπῆς· ἡ δὲ διαστηματικὴ κίνησις τῆς φωνῆς ἐναντίως κινεῖται τῇ συνεχεῖ· μονάς τε γὰρ ποιεῖ, καὶ τὰς μεταξὺ τούτων διαστήσεις. ἑναλλὰξ αὐτῶν ἑκάτερον τίθεται. τὰς μὲν οὖν μονὰς, τάσεις καλοῦμεν· τὰς δὲ διαστάσεις, μεταβάσεις, τὰς ἀπὸ τάσεων ἐπὶ τάσεις. τὸ δὲ ποιοῦντα τὴν τῶν τάσεων διαφορὰν, ἐπίτασίς ἐστι καὶ ἄνεσις. ἀποτέλεσμα δὲ τούτων ὀξύτης καὶ βαρύτης. τὸ μὲν γὰρ δ' ἐπιτάσεως γινόμενον, εἰς ὀξύτητα ἄγει· τὸ δὲ

HARMONICE eſt ſcientia, quæ modulatæ ſeriei naturam contemplatur, eamque effectui deſtinat. Modulata vero ſeries eſt, quæ ex ſonis & intervallis, ſecundum qualitatem ordinatis, componitur. Illius partes ſunt ſeptem. De ſonis. de intervallis. de generibus. de ſyſtematis. de tonis. de commutatione. de melopœia.

Sonus eſt vocis caſus, cantui aptus, in unam tenſionem.

Intervallum vero eſt, quod continetur duobus ſonis, acumine & gravitate differentibus.

Genus eſt quatuor ſonorum ſecundum qualitatem diſtributio.

Syſtema eſt, quod ex pluribus uno intervallis conſtat.

Tonus eſt locus quidam vocis, ſyſtematis capax, latitudine carens.

Commutatio eſt ſimilis alicujus in diſſimilem locum tranſpoſitio.

Melopœia eſt uſus eorum, quæ harmonicæ tractationi ſunt ſubjecta; ita ut cuilibet argumento character ſuus tribuatur.

Hæc vero conſiderantur in vocis qualitate, cujus duo ſunt motus. unus continuus vocatur, quo ſermocinantes utimur: alter intervallis diſcretus, quem in modulationibus adhibemus. Porro continuus vocis motus tam tenſiones quam remiſſiones efficit non apparentes, nullo in loco conſiſtens antequam deſinat. intervallis vero diſcretus vocis motus contra quam continuus obſervat motum: moras enim facit, quibus intervalla intercipiuntur: alternis vero utrumque illorum ponitur. moras itaque tenſiones vocamus: tranſitus vero à tenſionibus ad tenſiones, intervalla. cæterum quæ differentes illas tenſiones faciunt, intenſio ſunt ac remiſſio. quarum effectus ſunt acumen atque gravitas. nam quod fit intenſione, in acumen tendit: quod

vero remiſſione, ad gravitatem. acumen igitur eſt effectus intenſionis; ut contra gravitas, remiſſionis. utriſque enim accidit tenſiones eſſe conſecutum. tenſiones vero & ſoni pro eodem accipiuntur. tenſiones quidem ab inſtrumentis quæ tanguntur, à *tendendo* appellatæ: ſoni vero, quod à *voce* procreentur. atque illi quidem ob diverſas tenſiones ſunt innumeri: nominatim vero in quoque genere octodecim.

Genera ſunt tria; diatonum, chroma, harmonia. Ex his diatonum modulamur, ab acuto verſus grave, per tonum, & tonum, & hemitonium: contra, à gravi acutum verſus, per hemitonium, & tonum, & tonum. Chroma, in gravem ſonum, per triemitonium & hemitonium & hemitonium: in acumen, contrario modo, per hemitonium, & hemitonium, & triemitonium. Harmonia, in gravem ſonum, per ditonum, & dieſin, & dieſin: in acumen vero contra, per dieſin, & dieſin & ditonum.

Porro in diatono genere hi ſunt ſoni:

Proſlambanomenos.	Προσλαμβανόμενος.
Hypate hypaton.	Ὑπάτη ὑπάτων.
Parypate hypaton.	Παρυπάτη ὑπάτων.
Lichanos hypaton diatonos.	Λιχανὸς ὑπάτων διάτονος.
Hypate meſon.	Ὑπάτη μέσων.
Parypate meſon.	Παρυπάτη μέσων.
Lichanos meſon diatonos.	Λιχανὸς μέσων διάτονος.
Meſe.	Μέση.
Trite ſynemmenon.	Τρίτη συνημμένων.
Paranete ſynemmenon diatonos.	Παρανήτη συνημμένων διάτονος.
Nete ſynemmenon.	Νήτη συνημμένων.
Parameſe.	Παραμέση.
Trite diezeugmenon.	Τρίτη διεζευγμένων.
Paranete diezeugmenon diatonos.	Παρανήτη διεζευγμένων διάτονος.
Nete diezeugmenon.	Νήτη διεζευγμένων.
Trite hyperbolæon.	Τρίτη ὑπερβολαίων.
Paranete hyperbolæon diatonos.	Παρανήτη ὑπερβολαίων διάτονος.
Nete hyperbolæon.	Νήτη ὑπερβολαίων.
In chromate vero hi:	Ἐν δὲ χρώματι οἵδε·
Proſlambanomenos.	Προσλαμβανόμενος.
Hypate hypaton.	Ὑπάτη ὑπάτων.
Parypate hypaton.	Παρυπάτη ὑπάτων.
Lichanos hypaton chromatice.	Λιχανὸς ὑπάτων χρωματική.
Hypate meſon.	Ὑπάτη μέσων.
Parypate meſon.	Παρυπάτη μέσων.
Lichanos meſon chromatice.	Λιχανὸς μέσων χρωματική.
Meſe.	Μέση.
Trite ſynemmenon.	Τρίτη συνημμένων.
Paranete ſynemmenon chromatice.	Παρανήτη συνημμένων χρωματική.
Nete ſynemmenon.	Νήτη συνημμένων.
Parameſe.	Παραμέση.
Trite diezeugmenon.	Τρίτη διεζευγμένων.
Paranete diezeugmenon chromatice.	Παρανήτη διεζευγμένων χρωματική.
Nete diezeugmenon.	Νήτη διεζευγμένων.
Trite hyperbolæon.	Τρίτη ὑπερβολαίων.
Paranete hyperbolæon chromatice.	Παρανήτη ὑπερβολαίων χρωματική.
Nete hyperbolæon.	Νήτη ὑπερβολαίων.

δι' ἀνέσεως, εἰς βαρύτητα. καὶ ὀξύτης μὲν ἔν ἐστι, τὸ δὲ ἐπιτάσεως γινόμενον ἀποτέλεσμα, βαρύτης δὲ, τὸ δι' ἀνέσεως. ἀμφοῖν γὰρ συμβέβηκε τὸ τετάσθαι. καλοῦνται δὲ τάσεις καὶ φθόγγοι. τάσεις μὲν ἀπὸ τῶν καθαπτῶν ὀργάνων, ὡσπερεὶ τὸ τετάσθαι· φθόγγοι δὲ, ἐπεὶ ὑπὸ φωνῆς ἐνεργοῦνται. φθόγγοι δέ εἰσιν τῇ μὲν τάσει ἄπειροι· τῇ δὲ δυνάμει καθ' ἕκαστον γένος δεκαοκτώ.

Γένη δέ ἐστι τρία, διάτονον, χρῶμα, ἁρμονία. καὶ μελῳδεῖται τὸ μὲν διάτονον, ἀπὸ μὲν τοῦ βαρυτάτου, κατὰ τόνον, καὶ τόνον, καὶ ἡμιτόνιον· ἐπὶ δὲ τὸ ὀξὺ ἀνάπαλιν, καθ' ἡμιτόνιον, καὶ τόνον, καὶ τόνον. τὸ δὲ χρῶμα, ἐπὶ μὲν τοῦ βαρέος, κατὰ τριημιτόνιον, καὶ ἡμιτόνιον, καὶ ἡμιτόνιον· ἐπὶ δὲ τὸ ὀξὺ ἀνάπαλιν, καθ' ἡμιτόνιον, καὶ ἡμιτόνιον, καὶ τριημιτόνιον. ἡ δὲ ἁρμονία, ἐπὶ μὲν τὸ βαρὺ, κατὰ δίτονον, καὶ δίεσιν, καὶ δίεσιν· ἐπὶ δὲ τὸ ὀξὺ ἀνάπαλιν, κατὰ δίεσιν, καὶ δίεσιν, καὶ δίτονον.

Εἰσὶ δὲ οἱ μὲν ἐν τῷ διατόνῳ φθόγγοι οἵδε·

Ἐν δὲ ἁρμονίᾳ οἵδε·
Προσλαμβανόμενος.
Ὑπάτη ὑπάτων.
Παρυπάτη ὑπάτων.
Λιχανὸς ὑπάτων ἐναρμόνιος.
Ὑπάτη μέσων.
Παρυπάτη μέσων.
Λιχανὸς μέσων ἐναρμόνιος.
Μέση.
Τρίτη συνημμένων.
Παρανήτη συνημμένων ἐναρμόνιος.
Νήτη συνημμένων.
Παραμέση.
Τρίτη διεζευγμένων.
Παρανήτη διεζευγμένων ἐναρμόνιος.
Νήτη διεζευγμένων.
Τρίτη ὑπερβολαίων.
Παρανήτη ὑπερβολαίων ἐναρμόνιος.
Νήτη ὑπερβολαίων.

In harmonia denique hi:
Proſlambanomenos.
Hypate hypaton.
Parypate hypaton.
Lichanos hypaton enarmonios.
Hypate meſon.
Parypate meſon.
Lichanos meſon enarmonios.
Meſe.
Trite ſynemmenon.
Paranete ſynemmenon enarmonios.
Nete ſynemmenon.
Parameſe.
Trite diezeugmenon.
Paranete diezeugmenon enarmonios.
Nete diezeugmenon.
Trite hyperbolæon.
Paranete hyperbolæon enarmonios.
Nete hyperbolæon.

Κατὰ δὲ μίξιν τῶν γενῶν οἵδε·
Προσλαμβανόμενος.
Ὑπάτη ὑπάτων.
Παρυπάτη ὑπάτων.
Λιχανὸς ὑπάτων ἐναρμόνιος.
Λιχανὸς ὑπάτων χρωματική.
Λιχανὸς ὑπάτων διάτονος.
Ὑπάτη μέσων.
Παρυπάτη μέσων.
Λιχανὸς μέσων ἐναρμόνιος.
Λιχανὸς μέσων χρωματική.
Λιχανὸς μέσων διάτονος.
Μέση.
Τρίτη συνημμένων.
Παρανήτη συνημμένων ἐναρμόνιος.
Παρανήτη συνημμένων χρωματική.
Παρανήτη συνημμένων διάτονος.
Νήτη συνημμένων.
Παραμέση.
Τρίτη διεζευγμένων.
Παρανήτη διεζευγμένων ἐναρμόνιος.
Παρανήτη διεζευγμένων χρωματική.
Παρανήτη διεζευγμένων διάτονος.
Νήτη διεζευγμένων.
Τρίτη ὑπερβολαίων.
Παρανήτη ὑπερβολαίων ἐναρμόνιος.
Παρανήτη ὑπερβολαίων χρωματική.
Παρανήτη ὑπερβολαίων διάτονος.
Νήτη ὑπερβολαίων.

Porro ſi miſceantur genera, hi:
Proſlambanomenos.
Hypate hypaton.
Parypate hypaton.
Lichanos hypaton enarmonios.
Lichanos hypaton chromatice.
Lichanos hypaton diatonos.
Hypate meſon.
Parypate meſon.
Lichanos meſon enarmonios.
Lichanos meſon chromatice.
Lichanos meſon diatonos.
Meſe.
Trite ſynemmenon.
Paranete ſynemmenon enarmonios.
Paranete ſynemmenon chromatice.
Paranete ſynemmenon diatonos.
Nete ſynemmenon.
Parameſe.
Trite diezeugmenon.
Paranete diezeugmenon enarmonios.
Paranete diezeugmenon chromatice.
Paranete diezeugmenon diatonos.
Nete diezeugmenon.
Trite hyperbolæon.
Paranete hyperbolæon enarmonios.
Paranete hyperbolæon chromatice.
Paranete hyperbolæon diatonos.
Nete hyperbolæon.

Τῶν δὲ ἐξηριθμημένων φθόγγων οἱ μέν εἰσιν ἑστῶτες· οἱ δὲ κινούμενοι. ἑστῶτες μὲν οὖν εἰσιν, ὅσοι ἐν ταῖς τῶν γενῶν διαφοραῖς οὐ μεταπίπτουσιν, ἀλλὰ μένουσιν ἐπὶ μιᾶς τάσεως. κινούμενοι δὲ, ὅσοι τἐναντίον πεπόνθασιν. ἐν γὰρ ταῖς τῶν γενῶν διαφοραῖς μεταβάλλουσιν, καὶ οὐ μένουσιν ἐπὶ μιᾶς τάσεως.

Horum vero, quos recenſuimus, ſonorum alii ſunt ſtantes: alii mobiles. ſtantes ſunt, qui in diverſis generibus loca non mutant, ſed in una tenſione conſiſtunt. mobiles vero, quibus contrarium accidit. in diverſis enim generibus diverſa habent loca, nec in una tenſione conſiſtunt.

Εἰσὶν οὖν οἱ μὲν ἑστῶτες ὀκτὼ οἵδε·
Προσλαμβανόμενος.

Stantes itaque hi octo numerantur:
Proſlambanomenos.

Hypate hypaton.
Hypate meſon.
Meſe.
Nete ſynemmenon.
Parameſe.
Nete diezeugmenon.
Nete hyperbolæon.

Mobiles autem, qui media inter hoſce loca occupant. Rurſus ſtantium alii ſunt barypycni: alii apycni, qui perfecta ſyſtemata continent. Barypycni ſunt hi quinque:

Hypate hypaton.
Hypate meſon.
Meſe.
Parameſe.
Nete diezeugmenon.

Apycni, qui perfecta ſyſtemata continent, hi tres ſequentes:

Proſlambanomenos.
Nete ſynemmenon.
Nete hyperbolæon.

Mobilium alii ſunt meſopycni; alii oxypycni; alii diatoni.

Mmeſopycni ſunt hi quinque:

Parypate hypaton.
Parypate meſon.
Trite ſynemmenon.
Trite diezeugmenon.
Trite hyperbolæon.

Oxypycni ſimiliter in ſingulis generibus numerantur quinque. nimirum in harmonia enarmonii: in chromate, chromatici. ſed diatonum de ſpiſſi natura non participat.

In harmonia itaque ſunt hi:

Lichanos hypaton enarmonios.
Lichanos meſon enarmonios.
Paranete ſynemmenon enarmonios.
Paranete diezeugmenon enarmonios.
Paranete hyperbolæon enarmonios.

Deinde in chromate hi:

Lichanos hypaton chromatice.
Lichanos meſon chromatice.
Paranete ſynemmenon chromatice.
Paranete diezeugmenon chromatice.
Paranete hyperbolæon chromatice.

Intervallorum differentiæ ſunt quinque. nam & magnitudine inter ſe differunt, & genere; & ut conſona à diſſonis: deinde ut compoſita ab incompoſitis; & *tandem* ut rationalia ab irrationalibus. eſt autem *per magnitudinem differentia*, qua intervallorum quædam ſunt majora, quædam minora: ut ditonum, triemitonium, tonus, hemitonium, dieſis, diateſſaron, diapente, diapaſon, & ſimilia. *differentia per genus eſt*, qua intervallorum alia ſunt diatona; alia chromatica, alia enarmonia. differentia *per conſona & diſſona* eſt, qua intervallorum alia ſunt conſona, alia diſſona. conſona ſunt, diateſſaron, diapente, diapaſon, & ſimilia. diſſona

Ὑπάτη ὑπατῶν.
Ὑπάτη μέσων.
Μέση.
Νήτη συνημμένων.
Παραμέση.
Νήτη διεζευγμένων.
Νήτη ὑπερβολαίων.

Κινούμενοι δὲ, οἱ ἀνὰ μέσον τούτων πάντες. Τῶν δὲ ἑστώτων οἱ μὲν εἰσι βαρύπυκνοι· οἱ δὲ ἄπυκνοι, ἃ συνέχοντες τὰ τέλεια συστήματα.

Βαρύπυκνοι μέν ἐν εἰσι πέντε οἵδε·

Ὑπάτη ὑπατῶν.
Ὑπάτη μέσων.
Μέση.
Παραμέση.
Νήτη διεζευγμένων.

Ἄπυκνοι δὲ, καὶ συνέχοντες τὰ τέλεια συστήματα, οἱ λοιποὶ τρεῖς οἵδε·

Προσλαμβανόμενος.
Νήτη συνημμένων.
Νήτη ὑπερβολαίων.

Τῶν δὲ κινουμένων οἱ μὲν εἰσι μεσόπυκνοι, οἱ δὲ ὀξύπυκνοι, οἱ δὲ διάτονοι.

Μεσόπυκνοι μὲν ἔν εἰσι πέντε οἵδε·

Παρυπάτη ὑπατῶν.
Παρυπάτη μέσων.
Τρίτη συνημμένων.
Τρίτη διεζευγμένων.
Τρίτη ὑπερβολαίων.

Ὀξύπυκνοι δὲ ὁμοίως κατὰ γένος πέντε. ἐν μὲν ἁρμονίᾳ οἱ ἐναρμόνιοι· ἐν δὲ χρώματι οἱ χρωματικοί. τὸ γὰρ διάτονον οὐ μετέχει πυκνοῦ.

Εἰσὶν ἔν. οἱ μὲν ἐν τῇ ἁρμονίᾳ οἵδε·

Λιχανὸς ὑπατῶν ἐναρμόνιος.
Λιχανὸς μέσων ἐναρμόνιος.
Παρανήτη συνημμένων ἐναρμόνιος.
Παρανήτη διεζευγμένων ἐναρμόνιος.
Παρανήτη ὑπερβολαίων ἐναρμόνιος.

Ἐν δὲ τῷ χρώματι, οἵδε·

Λιχανὸς ὑπατῶν χρωματική.
Λιχανὸς μέσων χρωματική.
Παρανήτη συνημμένων χρωματική.
Παρανήτη διεζευγμένων χρωματική.
Παρανήτη ὑπερβολαίων χρωματική.

Τῶν δὲ διαστημάτων διαφοραὶ εἰσι πέντε. ἤτοι μεγέθει ἀλλήλων διαφέρει, ἤτοι κατὰ γένος· καὶ ἢ τὰ σύμφωνα τῶν διαφώνων, καὶ τὰ συνῃθροισμένα τῶν ἀσυνῃθρόιστων, καὶ τὰ ῥητὰ τῶν ἀλόγων. ἡ μὲν ἔν κατὰ τὸ μεγέθος ἐστὶ, καθ' ἣν ἃ μέν ἐστι μείζονα τῶν διαστημάτων, ἃ δὲ ἐλάττονα, οἷον δίτονον, τριημιτόνιον, τόνος, ἡμιτόνιον, διέσις, διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν, καὶ τὰ ὅμοια. ἡ δὲ κατὰ γένος, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων διατονικὰ, ἃ δὲ χρωματικὰ, ἃ δὲ ἐναρμόνια. ἡ δὲ τὰ συμφώνα, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων σύμφωνα, ἃ δὲ διάφωνα. σύμφωνα μὲν ἔν ἐστι, διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν, καὶ τὰ ὅμοια. διάφωνα

δὲ

δὲ τὰ ἐλάττονα τῶ διὰ τεσσάρων, ἢ τὰ μεταξὺ τῶν συμφώνων πάντα. ἐλάττονα μὲν ἔν ἐστι τοῦ διὰ τεσσάρων, διέσεως, ἡμιτονίου, τόνου, τριημιτονίου, δίτονον. μεταξὺ δὲ τῶν συμφώνων, τρίτονον, τετράτονον, πεντάτονον, καὶ τὰ ὅμοια. ἔστι δὲ συμφωνία μὲν, κρᾶσις δύο φθόγγων, ὀξυτέρου, καὶ βαρυτέρου. διαφωνία δὲ τοὐναντίον, δύο φθόγγων ἀμιξία, μὴ οἷόν τε κραθῆναι, ἀλλὰ τραχυνθῆναι τὴν ἀκοήν. ἡ δὲ συνθέτων ἐστὶ διαφορὰ, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων ἀσύνθετα· ἃ δὲ σύνθετα. ἀσύνθετα μὲν ἔν διαστήματά ἐστι, τὰ ὑπὸ τοῦ ἑξῆς φθόγγων περιεχόμενα, οἷον ὑπάτης καὶ παρυπάτης· καὶ λιχανὸς καὶ ὑπάτης μέσων. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν διαστημάτων. σύνθετα δὲ τὰ ὑπὸ τοῦ μὴ ἑξῆς, οἷον μέσης καὶ παρυπάτης, μέσης καὶ νήτης, παραμέσης καὶ ὑπάτης. ἔστι δέ τινα κοινὰ σύνθετά καὶ ἀσύνθετα διαστήματα, τὰ ἀπὸ ἡμιτονίου μέχρι διτόνου. τὸ μὲν γὰρ ἡμιτόνιον ἐστιν ἐν ἁρμονίᾳ σύνθετον· ἐν δὲ χρώματι καὶ διατόνῳ ἀσύνθετον. ὁ τόνος ἐν μὲν χρωματι σύνθετος, ἐν δὲ διατόνῳ ἀσύνθετος. τὸ τριημιτόνιον ἐν μὲν χρώματι ἀσύνθετον, ἐν δὲ διατόνῳ σύνθετον. τὸ δίτονον ἐν μὲν ἁρμονίᾳ ἀσύνθετον, ἐν δὲ χρώματι καὶ διατόνῳ σύνθετον. τὰ δὲ ἐλάττω τοῦ ἡμιτονίου πάντα ἐστὶν ἀσύνθετα. ὁμοίως δὲ καὶ τὰ μείζω τοῦ δίτονου πάντα σύνθετα. ἡ δὲ τῶν ῥητῶν καὶ ἀλόγων διαφορά ἐστι, καθ' ἣν τῶν διαστημάτων ἃ μέν ἐστι ῥητὰ, ἃ δὲ ἄλογα. ῥητὰ μὲν ἔν ἐστιν, ὧν οἷόν τ' ἐστὶ τὰ μεγέθη δοθῆναι, οἷον τόνον, ἡμιτόνιον, δίτονον, τρίτονον, καὶ τὰ ὅμοια· ἄλογα δὲ τὰ τοὐναντίον πάντα τούτοις τὰ μεγέθη ὅλῃ τῇ μεῖζον ἢ ὅλῃ τῇ ἔλαττον, ἀλόγῳ τινὶ μεγέθει.

Γένη δέ ἐστι τρία τὰ προειρημένα. πᾶν ἔν ἔσται μέλος ἤτοι διατονικὸν, ἢ χρωματικὸν, ἢ ἐναρμόνιον, ἢ κοινὸν, ἢ μικτὸν ἐκ τούτων. διατονικὸν μὲν οὖν ἐστι τὸ τῇ διατονικῇ διαιρέσει χρώμενον. χρωματικὸν δὲ, τὸ τῇ χρωματικῇ. ἐναρμόνιον δὲ, τὸ τῇ ἐναρμονίῳ. κοινὸν δὲ τὸ ἐκ τῶν ἑστώτων συγκείμενον. μικτὸν δὲ, τὸ ἐν ᾧ δύο ἢ τρεῖς χαρακτῆρες ἡμικοὶ ἐμφαίνοντα, οἷον διατόνου καὶ χρώματος, ἢ διατόνου καὶ ἁρμονίας, ἢ χρώματος καὶ ἁρμονίας, ἢ καὶ διατόνου, καὶ χρώματος καὶ ἁρμονίας. γίνονται δὲ αἱ τῶν γενῶν διαφοραὶ διὰ τὰς κινουμένας τῶν φθόγγων. κινεῖται δὲ ἡ μὲν λιχανὸς ἐν τονιαίῳ τόπῳ. ἡ δὲ παρυπάτη ἐν διεσιαίῳ· λιχανὸς μὲν ἔν ἐστιν ὀξυτάτη, ἡ τόνου ἀπὸ τοῦ ὀξυτέρου ἀπέχουσα τῶν τὸ τετράχορδον περιεχόντων· βαρυτάτη δὲ, ἡ δίτονον. ὁμοίως δὲ καὶ παρυπάτη ἐστὶ βαρυτάτη μὲν, ἡ διέσιν ἀπὸ τοῦ βαρυτέρου τῶν τετράχορδον περιεχόντων ἀπέχουσα· ὀξυτάτη δὲ, ἡ ἡμιτόνιον ἀπέχουσα. χρόα δέ ἐστι γένους εἰδικὴ διαίρεσις. χρόαι δέ εἰσιν αἱ ῥηταὶ καὶ γνώριμοι ἓξ· ἁρμονίας μία, χρώματος τρεῖς, διατόνου δύο. ἡ μὲν ἔν τῇ ἁρμονίᾳ τῇ αὐτῇ ᾧ γένει διαιρέσει καὶ αὐτὸ κέχρηται· μελῳδεῖται γὰρ κατὰ δίεσιν τὸ τεταρτημόριον τόνου, καὶ δίεσιν τὴν ἴσην, ἢ δίτονον ἀσύνθετον. τῶν δὲ χρωματικῶν διαιρέσεων τὸ μὲν καλεῖται μαλακὸν χρῶμα, τὸ δὲ

vero, quæ diatessaron consonantia sunt minora, quæque inter consona interponuntur, omnia & quidem minora quam diatessaron sunt; diesis, hemitonium, tonus, triemitonium, ditonum. inter consona vero, tritonum, tetratonum, pentatonum, & similia. porro consonantia est mistio duorum sonorum, acuti scilicet & gravis. dissonantia contra est in duobus sonis mistionis fuga, qui cum misceri recusent asperitate quadam aures lædunt. compositi differentia est, qua intervallorum alia sunt incomposita, alia composita. incomposita itaque intervalla sunt, quæ à sonis deinceps positis continentur, ut est intervallum ab hypate & parypate comprehensum: item à lichano & hypate meson. eadem ratio obtinet in reliquis intervallis. composita vero sunt, quæ à sonis non deinceps positis comprehenduntur; ut à mese & parypate, mese & nete, parамese & hypate. sunt deinde quædam intervalla communia, quæ compositi atque incompositi naturam obtinent, sc. ab hemitonio ad ditonum omnia, quippe hemitonium in harmonia est compositum: in chromate & diatono incompositum. tonus in chromate est compositus; in diatono incompositus. triemitonium in chromate est incompositum; in diatono compositum. ditonum in harmonia est incompositum; in chromate & diatono compositum. quæ vero sunt hemitonio minora intervalla, omnia sunt incomposita. ut contra omnia ditono majora sunt composita. rationabilis & irrationabilis differentia est, qua intervallorum alia sunt rationabilia, alia irrationabilia. rationabilia sunt, quorum magnitudines exhibere possumus: ut tonus, hemitonium, ditonum, tritonum, & similia: irrationabilia, quæ hasce magnitudines variant vel in majus, vel in minus, magnitudine aliqua irrationabili.

Genera sunt tria illa prædicta. omnis itaque cantus aut diatonicus erit, aut chromaticus, aut enarmonius, aut communis, aut etiam ex hisce mistus. diatonicus est, qui divisione utitur diatonica. chromaticus, qui chromatica. enarmonius, qui enarmonia. communis qui ex sonis stantibus est compositus. mistus, in quo duorum aut trium generum characteres cernuntur: ex.gr. diatoni & chromatis; aut diatoni & harmoniæ; aut chromatis, & harmoniæ; aut etiam diatoni, chromatis & harmoniæ. Fiunt autem generum differentiæ à sonis mobilibus. & quidem lichanus movetur in loco, qui saltem capiat tonum. parypate, in loco qui capiat diesin. est itaque acutissima lichanus, quæ tono distat ab acutiore eorum, qui tetrachordum comprehendunt: gravissima vero, quæ ditono. eodem modo gravissima est parypate, quæ distat diesi à graviore eorum, quæ tetrachordum includunt: acutissima vero, quæ distat hemitonio. Color est generis divisio specialis. sunt vero rationabiles & noti colores sex: harmoniæ unus, tres chromatis, diatoni duo. harmoniæ color eadem, qua genus ipsum, divisione utitur. canitur enim per diesin, quæ est toni pars quarta, & diesin, priori æqualem, & ditonum incompositum. porro ex chromaticis divisionibus aliud vocatur chroma molle; aliud

ſeſcuplum, aliud toniæum. & quidem chroma molle canitur per dieſin, quæ eſt toni pars tertia, & dieſin illi æqualem, & intervallum incompoſitum, quod æquale eſt tono, ejuſque dimidio & trienti. ſeſquialterum, per dieſin, quæ ſit ſeſquialtera enarmoniæ dieſeos, & dieſin priori æqualem, & intervallum incompoſitum, conſtans ex ſeptem dieſibus, quarum quælibet ſit toni pars quarta. toniæum chroma eodem, quo genus, utitur colore. quippe canitur per hemitonium, & hemitonium, & triemitonium. atque hæc ſic explicata chromata appellationes habent ab iis, quæ ipſis inſunt, ſpiſſis. toniæum enim appellatur ab eo, qui in ipſo eſt per compoſitionem, tono. & ſeſquialterum, à dieſibus, quæ in ipſo ſunt, ſeſcuplis dieſium enarmoniarum. eodem modo chroma ſpiſſi minimi molle dicitur, quoniam, quod in ipſo eſt, ſpiſſum remittitur, & tantum non plane enervatur. diatonicarum diviſionum alia nuncupatur diatonum molle; alia, ſyntonum. diatoni mollis color canitur per hemitonium, & per trium dieſium incompoſitum intervallum, & per quinque dieſium ſimiliter incompoſitum intervallum. diatoni ſyntoni color communem habet cum ſuo genere diviſionem. canitur enim per hemitonium, & tonum, & tonum. ſed & in numeris monſtrantur illi colores, hoc modo: ſupponitur tonus in minimas duodecim partes diviſus, quarum quælibet duodecima pars toni appellatur. atque eadem ratione, qua tonus, reliqua dividuntur intervalla. nempe hemitonium in ſex partes duodecimas: dieſis quadrantalis in tres: dieſis trientalis in quatuor: totum diateſſaron in triginta. harmonia itaque canetur per magnitudinem trium partium duodecimarum, & trium, & viginti quatuor. chroma molle per magnitudinem quatuor partium duodecimarum, & quatuor & viginti duarum, ſeſquialterum chroma per magnitudinem partium duodecimarum quatuor ſemis, & quatuor ſemis, & viginti unius. toniæum chroma per ſex, & ſex, & octodecim. diatonum molle per ſex, & novem, & quindecim. ſyntonum per ſex, & duodecim, & duodecim.

Syſtematum differentiæ ſunt ſeptem, quarum quatuor eædem ſunt, quæ in intervallis conſiderantur. nimirum, *differentia per magnitudinem*; *per genus*; *item differentia conſoni & diſſoni*; *tum rationabilis & irrationabilis*. tres vero ſunt peculiares ſyſtematum differentiæ; nempe, *ordine procedentis & præpoſteri*; *conjuncti & disjuncti*; *immutabilis & mutabilis*. *magnitudine* igitur *differunt* majora ſyſtemata à minoribus, ut diapaſon à tritono, aut diapente, aut diateſſaron, aut ſimilibus. *genere differunt* diatonica ab enarmoniis aut chromaticis: aut chromatica aut enarmonia à cæteris. *conſoni differentia*, ut quæ à conſonis ſonis continentur, differunt ab iis, quæ à diſſonis. conſona vero ſyſtemata in immutabili ſyſtemate ſunt ſex; quorum minimum eſt diateſſaron, tonorum duorum ſemis, cujuſmodi eſt ab hypate hypaton ad hypaten meſon. alterum eſt diapente, tono-

ἡμιόλιον, τὸ δὲ τονιαῖον. τὸ μὲν οὖν μαλακὸν χρῶμα μελῳδεῖται κατὰ διέσιν τὴν τριτημόριον τόνου, καὶ διέσιν τὴν ἴσην, ἐ ἴσον τόνῳ καὶ τῷ ἡμιολίῳ, καὶ τρίτῳ, ἀσυνθέτων διάστημα. τὸ δὲ ἡμιόλιον, κατὰ διέσιν, ἡμιόλιον τοῦ ἐναρμονίου διέσεως, καὶ διέσιν τὴν ἴσην, καὶ ἑπτὰ διέσεων τεταρτημορίων ἀσυνθέτων διάστημα, τὸ δὲ τονιαῖον χρῶμα τῇ αὐτῇ τοῦ γένους κέχρηται χρόᾳ. μελῳδεῖται γὰρ κατὰ ἡμιτόνιον, καὶ ἡμιτόνιον, καὶ τριημιτόνιον. κέκληται δὲ τὰ εἰρημένα χρώματα ἀπὸ τῶν ὑπαρχόντων αὐτοῖς πυκνῶν. τὸ, τε γὰρ τονιαῖον ἀπὸ τοῦ ὑπάρχοντος αὐτῷ κατὰ σύνθεσιν τόνου. καὶ ἡμιόλιον, ἀπὸ τῶν ὑπαρχόντων αὐτῷ διέσεων, ἡμιολίων τοῦ ἐναρμονίου διέσεων. μαλακὸν δὲ διὰ ἐλαχίστου πυκνοῦ, ὡσαύτως καὶ χρῶμα, ἐπειδὴ τὸ ἐν αὐτῷ πυκνὸν χρῶμα ἀνίεταί τε καὶ ἐκλύεται. τῶν δὲ διατονικῶν διαιρέσεων τὸ μὲν διάτονον μαλακὸν καλεῖται· τὸ δὲ, σύντονον. ἡ μὲν οὖν τοῦ μαλακοῦ διατόνου χρόα μελῳδεῖται κατὰ ἡμιτόνιον, καὶ τριῶν διέσεων ἀσυνθέτων διάστημα, καὶ κατὰ πέντε διέσεων ὁμοίως ἀσυνθέτων διάστημα. ἡ δὲ τοῦ συντόνου διατόνου τῇ αὐτῇ τοῦ γένους ὑπακοινωνεῖ διαιρέσει. μελῳδεῖται γὰρ καθ' ἡμιτόνιον, καὶ τόνον, καὶ τόνον. δείκνυνται δὲ καὶ ἀριθμῷ αἱ χρόαι τὸν τρόπον τοῦτον· ὑποτίθεται γὰρ ὁ τόνος εἰς δώδεκά τινα ἐλάχιστα μόρια διαιρούμενος, ὧν ἕκαστον δωδεκατημόριον τόνου καλεῖται. ἀναλόγως δὲ τῷ τόνῳ καὶ τὰ λοιπὰ διαστήματα. τὸ μὲν γὰρ ἡμιτόνιον εἰς ἓξ δωδεκατημόρια· ἡ δὲ διέσις, ἡ μὲν τεταρτημόριος, εἰς τρία· ἡ δὲ τριτημόριος, εἰς τέσσαρα· ὅλον δὲ τὸ διὰ τεσσάρων εἰς τριάκοντα. ἡ μὲν οὖν ἁρμονία μελῳδηθήσεται κατὰ τριῶν δωδεκατημορίων μέγεθος, καὶ τριῶν, καὶ εἰκοσιτεσσάρων. τὸ δὲ μαλακὸν χρῶμα, κατὰ τεσσάρων, καὶ τεσσάρων, καὶ εἰκοσιδυοῖν. τὸ δὲ ἡμιόλιον χρῶμα κατὰ τεσσάρων ἥμισυ, καὶ τεσσάρων ἥμισυ, καὶ εἰκοσιενός· τὸ δὲ τονιαῖον χρῶμα, κατὰ ἓξ, καὶ ἓξ, καὶ ἐκτωκαιδέκα. τὸ δὲ μαλακὸν διάτονον, κατὰ ἓξ, καὶ ἐννέα, καὶ δεκαπέντε· τὸ δὲ σύντονον κατὰ ἓξ, καὶ δώδεκα, καὶ δώδεκα.

Τῶν δὲ συστημάτων διαφοραὶ εἰσιν ἑπτά· τέσσαρες μὲν αἱ αὐταὶ τοῖς διαστήμασιν, ἥτε κατὰ μέγεθος, καὶ ἡ κατὰ γένος, καὶ ἡ τοῦ συμφώνου καὶ διαφώνου, καὶ ἡ τοῦ ῥητοῦ καὶ ἀλόγου. τρεῖς δὲ ἴδιαι τῶν συστημάτων διαφοραί εἰσιν, ἡ τοῦ ἑξῆς, καὶ τοῦ ὑπερβατοῦ, καὶ ἡ τοῦ σπηνημένου καὶ διεζευγμένου, καὶ ἡ τοῦ ἀμεταβόλου καὶ ἐμμεταβόλου. μεγέθη μὲν οὖν διαφέρει τὰ μείζω συστήματα τῶν ἐλαττόνων, καθάπερ τὸ διὰ πασῶν τοῦ τριτόνου, ἢ διὰ πέντε, ἢ διὰ τεσσάρων, ἢ τῶν ὁμοίων. γένει δὲ τὰ διατονικὰ τῶν ἐναρμονίων, ἢ χρωματικῶν· ἢ τὰ χρωματικὰ ἢ ἐναρμόνια τῶν λοιπῶν. τῇ δὲ τοῦ συμφώνου διοίσει τὰ ὑπὸ τῶν συμφώνων φθόγγων περιεχόμενα τῶν ὑπὸ διαφώνων. σύμφωνα δέ ἐστιν ἐν τῷ ἀμεταβόλῳ συστήματι ἓξ· ἐλάχιστον μὲν τὸ διὰ τεσσάρων, τόνων δύο ἡμίσεως, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπατῶν ἐπὶ ὑπάτην μέσων. δεύτερον δὲ τὸ διὰ πέντε, τό-

νων

νων τριῶν ἡμίσεως· οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένης ὑπάτης μέσων. τρίτον δὲ τὸ διὰ πασῶν, τόνων ἕξ· οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένης ὑπάτης μέσης. τέταρτον δὲ τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων, τόνων ὀκτὼ ἡμίσεως· οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένης ὑπάτης νήτης συνημμένων, ἢ παρανήτης διεζευγμένων διάτονον. πέμπτον δὲ τὸ διὰ πασῶν καὶ διὰ πέντε, τόνων ἐννέα ἡμίσεως· οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένης ὑπάτης νήτης διεζευγμένων. ἕκτον δὲ τὸ δὶς διὰ πασῶν, τόνων δώδεκα· οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένης ὑπάτης νήτης ὑπερβολαίων. τὸ δὲ συνημμένων καλούμενον σύστημα προέρχεται μέχρι τετάρτης συμφώνου. τὸ δὲ διεζευγμένων μέχρι πέμπτης συμφώνου· καὶ τὸ τῶν ὑπερβολαίων μέχρι ἕκτης. πρῶτον γὰρ αὐτῶν τὸ διὰ τεσσάρων. δεύτερον, τὸ διὰ πέντε. τρίτον, τὸ διὰ πασῶν. τέταρτον, τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων. πέμπτον, τὸ διὰ πασῶν καὶ διὰ πέντε. ἕκτον, τὸ δὶς διὰ πασῶν. ὁ δὲ τῆς φωνῆς τόπος αὔξεται μέχρι τῆς ὀγδόης συμφώνου, ὅπερ ἐστὶ δὶς διὰ πασῶν καὶ διὰ τεσσάρων, καὶ δὶς διὰ πασῶν καὶ διὰ πέντε. διάφωνα δέ ἐστι, τάττε ἐλάττω ἢ διὰ τεσσάρων, καὶ μεταξὺ τῶν εἰρημένων συμφώνων πάντα. γίνεται δὲ καὶ σχήματα ἐξ αὐτῶν μεγέθους ὄντα τῶν αὐτῶν ἀσυνθέτων συγκείμενα καὶ ἀριθμῷ, εἰ ἡ τάξις αὐτῶν ἀλλοίωσιν λάβοι, ἐνυπάρχοντός τινος ἀνομοίου. καὶ γὰρ ἐξ ἴσων πάντων, ἢ ὁμοίων σχημάτων, ἀλλοίωσιν οὐ ποιεῖ. τῶν μὲν οὖν διὰ τεσσάρων τρία εἴδη. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπατῶν ἐπὶ ὑπάτην μέσων. δεύτερον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ παρυπάτης ὑπατῶν ἐπὶ παρυπάτην μέσων. τρίτον δὲ τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον· οἷόν ἐστι τὸ ἀπὸ λιχανὸς ὑπατῶν ἐπὶ λιχανὸν μέσων. ἐν μὲν οὖν ἁρμονίᾳ καὶ χρώματι πρὸς τὴν τῶν πύκνων ἕξιν τὰ σχήματα τῶν συμφώνων λαμβάνεται· ἐν δὲ διατόνῳ ἐπὶ πυκνὸν οὐ γίνεται. διαιρεῖται δὲ τὸ γένος τοῦτο εἰς ἡμιτόνια καὶ τόνους. ὑπάρχει δὲ ἐν τῇ διὰ τεσσάρων συμφωνίᾳ ἡμιτόνιον μὲν ἕν, τόνοι δὲ δύο. ὁμοίως δὲ καὶ τῷ διὰ πέντε, ἡμιτόνιον μὲν ἕν, τόνοι δὲ τρεῖς. ἐν δὲ τῷ διὰ πασῶν ἡμιτόνια μὲν δύο, τόνοι δὲ πέντε. πρὸς δὲ τὴν τῶν ἡμιτονίων ἕξιν τὰ σχήματα θεωροῦνται. τὸ οὖν διὰ τεσσάρων πρῶτον μέν ἐστιν εἶδος, οὗ τὸ ἡμιτόνιον ἐπὶ τὸ βαρὺ τῶν τόνων κεῖται. δεύτερον δέ, οὗ μέσον τὸ τόνος. τρίτον, οὗ πρῶτον ἐπὶ τὸ ὀξὺ τῶν τόνων. ἔχει δὲ καὶ ταῦτα ὁμοίως τοῖς λοιποῖς τοῖς γένεσιν ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτούς. τὸ δὴ διὰ πέντε τέσσαρσί ἐστι σχήματα. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ ὑπάτης μέσων ἐπὶ παραμέσην. δεύτερον δέ, τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην διεζευγμένων. τρίτον δέ, τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ λιχανὸς μέσων ἐπὶ παρανήτην διεζευγμένων. τέταρτον δέ, τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ τέταρτος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ μέσης ἐπὶ

rum trium ſemis: ut eſt à proſlambanomeno ad hypaten meſon. tertium eſt diapaſon, tonorum ſex: quale eſt à proſlambanomeno ad meſen. quartum, diapaſon & diateſſaron, tonorum octo ſemis: veluti eſt à proſlambanomeno ad neten ſynemmenon, aut paraneten diezeugmenon diatonon. quintum, diapaſon & diapente, tonorum novem ſemis: cujuſmodi eſt à proſlambanomeno ad neten diezeugmenon. ſextum, bis diapaſon, tonorum duodecim: cujuſmodi eſt à proſlambanomeno ad neten hyperbolæon. conjunctarum quod vocatur ſyſtema progreditur ad quartum ſyſtema conſonum. disjunctarum autem ad quintum conſonum; & hyperbolæon ad ſextum. primum enim ipſorum eſt diateſſaron. alterum, diapente. tertium, diapaſon. quartum, diapaſon & diateſſaron. quintum, diapaſon & diapente. ſextum, bis diapaſon. vocis autem locus augeri poteſt ad octavum uſque ſyſtema conſonum, quod eſt, adjectis duobus; nimirum bis diapaſon & diateſſaron, & bis diapaſon & diapente. diſſona vero ſunt, tum quæ minora ſunt quam diateſſaron, tum quæ inter dicta conſona interjiciuntur, omnia. porro unius ejuſdemque magnitudinis quoque exiſtunt figuræ, ex iiſdem incompoſitis, & numero æqualibus conſtitutæ, ſi nimirum ordo ipſorum varietur, & jam ante adſit aliquod diſſimile. neque enim, quæ ex æqualibus inter ſe omnibus, vel ſimilibus, conſtant intervallis, ullam varietatem admittunt. quare diateſſaron ſpecies ſunt tres. prima, quæ à barypycnis comprehenditur; cujuſmodi eſt ab hypate hypaton ad hypaten meſon. altera, quæ à meſopycnis continetur; ut eſt à parypate hypaton ad parypaten meſon. tertia quæ ab oxypycnis includitur; ut à lichano hypaton ad lichanon meſon. atque ita in harmonia ac chromate, ſpiſſi ratione habita, figuræ conſonorum ſumuntur: in diatono vero ſpiſſum non reperitur. hoc quippe genus in hemitonia dividitur & tonos. ita ut in diateſſaron concentu hemitonium ſit unum, toni vero duo. ſimiliter in diapente, hemitonium unum, toni tres. in diapaſon item, hemitonia duo, toni quinque. reſpectu vero ad hemitonia habito, figuras illas contemplamur. hinc prima diateſſaron ſpecies eſt, cujus hemitonium, infra tonos, loco eſt graviſſimo. altera, cujus hemitonium eſt loco medio. tertia, cujus hemitonium primum eſt in acumine. atque hæc eodem modo ſe habent in reliquis generibus, ab iiſdem ſonis ad eoſdem. diapente habet quatuor ſpecies. prima, quæ à barypycnis continetur, cujus tonus primus eſt in acumine. eſtque ab hypate meſon ad parameſen. altera, quæ à meſopycnis comprehenditur, cujus tonus ſecundo loco eſt in acumine. eſt vero à parypate meſon ad tritem diezeugmenon. tertia, quæ ab oxypycnis continetur, cujus tertius ab acumine eſt tonus: ut à lichano meſon ad paraneten diezeugmenon. quarta, quæ barypycnis rurſus includitur, cujus quartus ab acumine eſt tonus. eſt vero à meſe

ad neten diezeugmenon: aut à proſlambanomeno ad hypaten meſon. at vero in diatono prima diapente ſpecies eſt, cujus hemitonium primum eſt in gravi. altera, cujus primum in acumine. tertia, cujus ſecundum in acumine. quarta, cujus tertium in acumine. Porro diapaſon ſpecies ſunt ſeptem. prima, quæ à barypycnis continetur, cujus primus tonus eſt in acumine. eſtque ab hypate hypaton ad parameſen. à veteribus vocabatur mixolydia. altera, quæ comprehenditur à meſopycnis, cujus tonus ſecundo loco eſt in acumine. ut à parypate hypaton ad triten diezeugmenon. vocabatur ab iiſdem lydia. tertia, quæ ab oxypycnis; cujus tertius ab acumine eſt tonus. eſt vero à lichano hypaton ad paraneten diezeugmenon. vocabatur phrygia. quarta, quæ rurſus à barypycnis comprehenditur, cujus quartus ab acumine eſt tonus. eſtque ab hypate meſon ad neten diezeugmenon. vocabatur doria. quinta, quæ à meſopycnis; cujus quinto ab acumine loco eſt tonus. ut à parypate meſon ad triten hyperbolæon. vocabatur hypolydia. ſexta, quæ ab oxypycnis, cujus ſextus ab acumine eſt tonus, ut à lichano meſon ad paraneten hyperbolæon. vocabatur hypophrygia. ſeptima, quæ à barypycnis continetur, cujus primus tonus loco eſt graviſſimo. eſt vero à meſe ad neten hyperbolæon; aut à proſlambanomeno ad meſen. vocabatur communis & locrenſis & hypodoria. at in diatono prima eſt diapaſon ſpecies, cujus primum hemitonium eſt in gravi, quartum vero ab acumine. altera, cujus tertium eſt in gravi, primum in acumine. tertia, cujus ſecundum in utramque partem. quarta, cujus primum in gravi, tertium in acumine. quinta, cujus quartum in gravi, primum in acumine. ſexta, cujus tertium in gravi, ſecundum in acumine. ſeptima, cujus ſecundum eſt hemitonium in gravi, tertium in acumine. ſunt vero hæ ſpecies ab iiſdem ſonis, à quibus in harmonia & chromate incipiebant, ad eoſdem; appellanturque iiſdem nominibus. *rationabilis atque irrationabilis differentia* different ſyſtemata, illa quæ ex rationabilibus conſtituuntur, ab iis quæ ex irrationabilibus. quæ enim rationabilia, ſunt ex rationabilibus. ut contra, quæ irrationabilia, ex irrationabilibus. *continui atque interrupti differentia* different ſyſtemata, illa quæ per deinceps poſitos ſonos canuntur, ab iis quæ per non proximos. *conjuncti atque disjuncti differentia* different ſyſtemata, illa quæ ex conjunctis tetrachordis compoſita ſunt, ab iis quæ ex disjunctis. eſt vero conjunctio, duorum tetrachordorum, deinceps modulatorum ac ſpecie ſimilium, ſonitus communis. hinc disjunctio eſt, duorum tetrachordorum, deinceps modulatorum ac ſpecie ſimilium, tonus intermedius. ſunt autem in univerſum conjunctiones tres: media, acutiſſima, graviſſima. graviſſima eſt ex hypaton tetrachordo & meſon. communis vero ſonus ea conjungit hypate meſon. media conjunctio eſt, ex tetrachordo meſon & ſynemmenon. quæ jungit communis ſo-

ὅλη νήτῃ διεζευγμένων, ἡ ἀπὸ προσλαμβανομένης ὅλη ὑπάτην μέσων. ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστι σχῆμα, ἧ πρῶτον τὸ ἡμιτόνιον ὅλη τὸ βαρύ. δεύτερον δὲ, ἧ πρῶτον ὅλη τὸ ὀξύ. τρίτον, ἧ δεύτερον ὅλη τὸ ὀξύ. τέταρτον, ἧ τρίτον ὅλη τὸ ὀξύ. ἧ δὲ διὰ πασῶν εἶδη ἐστὶν ἑπτά. πρῶτον μέν, τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, ἧ πρῶτος ὁ τόνος ὅλη τὸ ὀξύ. ἔστι δὲ ἀπὸ ὑπάτης ὑπατῶν ὅλη παραμέσην. καλεῖτο δὲ ὑπὸ τῶν ἀρχαίων μιξολύδιον. δεύτερον δὲ, τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, ἧ δεύτερος ὁ τόνος ὅλη τὸ ὀξύ. ἔστι δὲ ἀπὸ παρυπάτης ὑπατῶν ὅλη τρίτην διεζευγμένων. καλεῖτο δὲ λύδιον. τρίτον, τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, ἧ τρίτος ὁ τόνος ὅλη τὸ ὀξύ. ἔστι δὲ ἀπὸ λιχανὸς ὑπατῶν ἐπὶ παρανήτην διεζευγμένων. καλεῖτο δὲ φρύγιον. τέταρτον, τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, ἧ τέταρτος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ παρυπάτης μέσων ἐπὶ νήτην διεζευγμένων. καλεῖτο δὲ δώριον. πέμπτον, τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, ἧ πέμπτος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην ὑπερβολαίων. καλεῖτο δὲ ὑπολύδιον. ἕκτον, τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, ἧ ἕκτος ὁ τόνος ἐπὶ τὸ ὀξύ. ἔστι δὲ ἀπὸ λιχανὸς μέσων ἐπὶ παρανήτην ὑπερβολαίων. καλεῖτο δὲ ὑποφρύγιον. ἕβδομον, τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, ἧ πρῶτος ὁ τόνος ἐπὶ τὸ βαρύ. ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην ὑπερβολαίων, ἡ ἀπὸ προσλαμβανομένης ἐπὶ μέσην. καλεῖτο δὲ κοινὸν ἢ λοκρικὸς ἢ ὑποδώριον. ἐν δὲ τῷ διατόνῳ πρῶτον μέν ἐστιν εἶδος ἧ διὰ πασῶν, ἧ πρῶτον μὲν ἐπὶ τὸ βαρὺ, τέταρτον δὲ ἐπὶ τὸ ὀξύ, ἐστὶ τὸ ἡμιτόνιον. δεύτερον δὲ, ἧ τρίτον μὲν ἐπὶ τὸ βαρὺ, πρῶτον δὲ ἐπὶ τὸ ὀξύ. τρίτον δὲ, ἧ δεύτερον ἑφ' ἑκάτερα. τέταρτον δὲ, ἧ πρῶτον μὲν ἐπὶ τὸ βαρὺ, τρίτον δὲ ἐπὶ τὸ ὀξύ. πέμπτον δὲ, ἧ τέταρτον μὲν ἐπὶ τὸ βαρὺ, πρῶτον δὲ ἐπὶ τὸ ὀξύ. ἕκτον δὲ, ἧ τρίτον μὲν ἐπὶ τὸ βαρὺ, δεύτερον δὲ ἐπὶ τὸ ὀξύ. ἕβδομον δὲ, ἧ δεύτερον μὲν ἐπὶ τὸ βαρὺ, τρίτον ἢ ἐπὶ τὸ ὀξύ. ἔστι ἢ ταῦτα δοτὸ τ αὐτῶν φθόγγων ἐπὶ τὰς αὐτὰς, καθάπερ ἐπὶ τ ἁρμονίας καὶ τ χρώματος, καὶ ἐκαλεῖτο τοῖς αὐτοῖς ὀνόμασι. τῇ δὲ τ ῥητ καὶ ἀλόγ διαφορᾷ διοίσει συστήματα, ὅσα ἐκ ῥητῶν διαστημάτων συγκεῖ), τ ἐξ ἀλόγων. ὅσα μὲν γὰρ ῥητὰ ἐκ ῥητῶν ἐστιν. ὅσα ἢ ἄλογα, ἐξ ἀλόγων. τῇ ἢ δ ἐξῆς καὶ ὑπερβατ διαφορᾷ διοίσει συστήματα, τὰ διὰ τῶν ἐξῆς φθόγγων μελῳδούμενα, τ δὲ ὑπερβατῶν. τῇ ἢ δ συνημμένα καὶ διεζευγμένα διαφορᾷ διοίσει συστήματα, ὅσα διὰ τ συνημμένων τετραχόρδων τὴν σύνθεσιν ἔχει, τ διὰ τ διεζευγμένων. ἔστι ἢ συναφὴ μέν, δύο τετραχόρδων, ἐξῆς μελῳδουμένων, ὁμοίων κατὰ σχῆμα, φθόγγος κοινός. διάζευξις δέ ἐστι δύο τετραχόρδων, ἐξῆς μελῳδουμένων, ὁμοίων κατὰ σχῆμα, τόνος ἀνὰ μέσον. εἰσὶ δὲ αἱ πᾶσαι συναφαὶ τρεῖς· μέση, ὀξυτάτη, βαρυτάτη. καὶ ἔστι βαρυτάτη μὲν, ἡ ἐκ τ ὑπατῶν καὶ μέσων τετραχόρδ. κοινὸς δὲ αὐτὰ συνάπτει φθόγγος, ὑπάτη μέσων. μέση δὲ ἐστι συναφὴ, ἐκ τῶν μέσων καὶ συνημμένων. κοινὸς δὲ αὐτὰ συνάπτει φθόγγος

μέση.

μέση. ὀξυτάτη δέ ἐστι συναφὴ ἐκ τῶ διεζευγμένων καὶ ὑπερβολαίων. κοινὸς δὲ αὐτὰ συνάπτει φθόγγος, νήτη διεζευγμένων. Διάζευξις δέ ἐστι μία ἐκ τῶ μέσων καὶ διεζευγμένων. κοινὸς δὲ αὐτὰ διαζεύγνυσι τόνος, ὁ μεταξὺ μέσης καὶ παραμέσης. τέλεια δέ ἐστι συστήματα δύο, ὧν τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον. καὶ ἔστι τὸ μὲν ἔλαττον κατὰ συναφὴν, ἀπὸ προσλαμβανομένης ἐπὶ νήτην συνημμένων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα τρία συνημμένα τάδε· ὑπατῶν, μέσων, συνημμένων. καὶ τόνος ἀπὸ προσλαμβανομένης ἐπὶ ὑπάτην ὑπατῶν. συμφώνῳ δὲ ὁρίζεται τῷ διὰ πασῶν καὶ διὰ πασάρων· τὸ δὲ μεῖζόν ἐστι κατὰ διάζευξιν, ἀπὸ προσλαμβανομένης ἐπὶ νήτην ὑπερβολαίων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα μὲν τέσσαρα, διὰ δυοῖν διεζευγμένα, ἀλλήλοις δὲ συνημμένα, τό, τε ὑπατῶν, καὶ μέσων, καὶ διεζευγμένων, καὶ ὑπερβολαίων. καὶ ἐπὶ τόνοι δύο· ὅ, τε ἀπὸ προσλαμβανομένης ἐπὶ ὑπάτην ὑπατῶν, καὶ ὁ ἀπὸ μέσης ἐπὶ παραμέσην. συμφώνῳ δὲ ὁρίζεται τῷ δὶς διὰ πασῶν. πέντε δὲ ὄντων τετραχόρδων ἐν τῷ ἀμεταβόλῳ συστήματι, ὅπερ ἐστὶν ἐξ ἀμφοῖν τελείοιν συνῆφθαι, τὰ μὲν δύο κοινά ἐστιν ἑκατέρου τῶν τελείων, τό, τε ὑπατῶν καὶ μέσων· ἴδια δέ, τὸ μὲν κατὰ συναφὴν, τὸ νητῶν συνημμένων· τὸ δὲ κατὰ διάζευξιν, τὸ νητῶν διεζευγμένων, καὶ τὸ νητῶν ὑπερβολαίων. τῇ δὲ τὸ ἀμεταβόλῳ καὶ ἐμμεταβόλῳ διοίσει, καθ' ἣν διαφέρει τὰ ἁπλᾶ συστήματα τῶν μὴ ἁπλῶν. ἁπλᾶ μέν ἐστι τὰ πρὸς μίαν μέσῃ ἡρμοσμένα· διπλᾶ δὲ, τὰ πρὸς δύο· τριπλᾶ δὲ τὰ πρὸς τρεῖς· πολλαπλάσια δὲ τὰ πρὸς πλείονας. ἔστι δὲ μέση φθόγγου δύναμις, ᾧ συμβέβηκεν κατὰ μὲν διάζευξιν, ὀξὺ μὲν τὸ ὀξύ, τόνον ἔχειν ἀσύνθετον, ἀπαθὲς ὄντος συστήματος· ἐπὶ δὲ τὸ βαρὺ, δίτονον, ἢ τ' σύνθετον ἢ ἀσύνθετον· κατὰ δὲ συναφὴν, ᾧ συμβαίνει τριῶν τετραχόρδων συνημμένων, ἤτοι δὲ μέσης ὀξυτάτῳ εἶναι, ἢ τῶ ὀξυτάτης, βαρυτάτῳ. ἀπὸ δὲ τῆς μέσης καὶ τῶν λοιπῶν φθόγγων αἱ δυνάμεις γνωρίζονται. τὸ γὰρ πῶς ἔχει ἕκαστος αὐτῶν πρὸς τὴν μέσην φανερῶς γίνεται.

Τόνος δὲ λέγεται τετραχῶς. καὶ γὰρ ὡς φθόγγος, καὶ ὡς διάστημα, καὶ ὡς τόπος φωνῆς, καὶ ὡς τάσις· ἐπὶ μὲν οὖν τῶ φθόγγῳ χρῶνται τῷ ὀνόματι οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ιων. ὁ μὲν γὰρ φησιν,

Ημεῖς τοι τετράχηρυν ἀποστέρξαντες ἀοιδὴν,
Ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

Ο δὲ ἐν δεκαχόρδῳ λύρᾳ·

---- τὴν δεκαβάμονα τάξιν ἔχουσα
Τὰς συμφωνούσας ἁρμονίας τελόδους.
Πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
Ελληνες, ἀπανίαν μοῦσαν ἀειράμενοι.

καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι κεχρηνται τῷ ὀνόματι. ἐπὶ δὲ τῶ διαστήματος, ὅταν λέγωμεν ἀπὸ μέσης ἐπὶ παραμέσην τόνον εἶναι. ὁ δὲ ὡς τόπος, ὅταν λέγωμεν, φωνῆς, δώριον, ἢ φρύγιον, ἢ λύδιον, ἢ τῶν ἄλλων τινά. εἰσὶ δὲ κατὰ Αριστόξενον τελεσκαίδεκα τόνοι. ὑπερμιξολύδιος, καὶ ὑπερφρύγιος καλούμενος.

nus meſe. acutiſſima denique conjunctio eſt, ex tetrachordo diezeugmenon & hyperbolæon. quæ communis copulat ſonus, nete diezeugmenon. disjunctio una eſt, ex tetrachordo meſon & diezeugmenon. communis vero tonus ille disjungit, qui eſt inter meſen & parameſen. porro perfecta ſunt ſyſtemata duo, quorum alterum minus eſt, alterum majus. ac minus quidem eſt per conjunctionem, à proſlambanomeno ad neten ſynemmenon. ſunt vero in eo tria hæc tetrachorda conjuncta, hypaton, meſon, ſynemmenon. præterea tonus à proſlambanomeno ad hypaten hypaton. finitur denique conſonantia diapaſon & diateſſaron. majus vero eſt per disjunctionem, à proſlambanomeno ad neten hyperbolæon. in quo ſunt quatuor tetrachorda, quorum bina à binis disjuncta, inter ſe vero conjuncta; nimirum hypaton, & meſon; & diezeugmenon, & hyperbolæon. & inſuper toni duo: tum qui à proſlambanomeno eſt ad hypaten hypaton, tum qui à meſe ad parameſen. includitur autem concentu bis diapaſon. cum vero quinque ſint tetrachorda in ſyſtemate immutabili, quod ex binis perfectis conſtat, bina quidem utrique perfectorum ſunt communia, hypaton ſcilicet & meſon: propria vero, conjuncto quidem, tetrachordum neton ſynemmenon: disjunctio vero, tetrachordum neton diezeugmenon & neton hyperbolæon. *immutabilis & mutabilis differentia* diſtabunt, quæ ut ſimplicia ſyſtemata differunt à non ſimplicibus. ſimplicia ſunt, quæ modulatam ſeriem uni meſe aptatam habent: duplicia, quæ duabus: triplicia, quæ tribus: multiplicia, quæ pluribus. eſt vero *meſe* poteſtas ſoni, cui in disjunctione quidem accidit, acumen verſus, tonum habere incompoſitum, ſi ſyſtema omni affectione careat; verſus grave vero, ditonum, idque vel compoſitum, vel incompoſitum: in conjunctione vero, cui inter tria tetrachorda conjuncta contingit, aut medii eſſe acutiſſimum; aut acutiſſimi, graviſſimum. meſes deinde beneficio relinquorum poteſtates innoteſcunt. quomodo enim quiſque illorum ad meſen ſe habeat, fit manifeſtum:

Tonus quatuor modis dicitur. nam & pro *ſono* uſurpatur, & pro *intervallo*, & pro *vocis loco*, & pro *tentione*. pro *ſono* uſurpant hoc nomen, qui citharam vocant *heptatonon*, id eſt, ſeptem ſonis conſtantem, quomodo Terpander atque Ion. ille enim ita:

At nos quadriſono contempto carmine, poſthac
Rite novos citharâ heptatono cantabimus hymnos.

Hic vero in lyra decem chordis inſtructa:

------decimus tibi pſallitur ordo,
Concentuque placent harmoniæ triplices.
Omnes heptatonon diateſſara te ante canebant
Græci, queis placuit rara Camœna nimis.

atque alios non paucos hoc vocabulo ita uſos invenimus. pro *intervallo*, cum dicimus à meſe ad parameſen eſſe tonum. pro *vocis loco*, cum dicimus tonum Dorium, aut Phrygium, aut Lydium, aut reliquorum aliquem. ſunt vero, ut cenſet Ariſtoxenus, toni tredecim. hypermixolydius, qui & hyperphrygius vocatur. mixolydii

xolydii duo; acutior & gravior. quorum acutior, qui ordine eſt ſecundus, Hyperiaſtius vocatur: gravior vero, etiam Hypodorius. Lydii duo; acutior, & gravior, qui & Æolius appellatur. Phrygii duo; quorum alter gravis, qui & laſtius; alter acutus. Dorius unus. Hypolydii duo; acutior, & gravior, qui & Hypoæolius vocatur. Hypophrygii duo, quorum gravior quoque appellatur Hypoiaſtius. Hypodorius. Ex his graviſſimus eſt Hypodorius: qui vero deinceps exiſtunt, à graviſſimo ad acutiſſimum, hemitonio ſe invicem excedunt. alterni vero duo, tono; terni, triemitonio. ſimiliter de reliquorum tonorum diſtantia concludes. Hypermyxolydius denique Hypodorium per diapaſon intervallum acumine ſuperat. Pro *tenſione* tonus accipitur, quando dicimus, acuto aliquem vocis tono uti, aut gravi, aut etiam medio.

Mutatio quatuor modis dicitur: *per genus, per ſyſtema, per tonum, & per melopœiam.* per *genus* fit mutatio, cum ex diatono in chroma, aut harmoniam: aut ex chromate, aut harmonia in reliquorum generum aliquod fit tranſitus. per *ſyſtema* vero, cum ex conjunctione in disjunctionem, aut vice verſa, fit mutatio. per *tonum*, cum ex Doriis cantilenis in Phrygias, aut ex Phrygiis in Lydias, aut Hypermixolydias, aut Hypodorias; aut in univerſum, cum ex tredecim tonorum aliquo in reliquorum aliquem, mutationem inſtituimus. atque hæ mutationes ab hemitonio intervallo ad diapaſon procedunt. quorum aliæ per conſona fiunt intervalla; aliæ per diſſona. atque adeo quædam harum minus ſunt concinnæ, aut inconcinnæ; quædam magis. inter quas itaque major eſt communio, illæ ſunt concinniores; ut contra, in quibus minor, inconcinniores. quippe omni mutationi neceſſe eſt aliquid eſſe cum alio commune; aut ſonum, aut intervallum, aut ſyſtema. atque hæc communicatio per ſonorum ſimilitudinem aſſumitur. cum enim in commutationibus mutuo cadunt ſimiles ſoni, ita ut ſpiſſi fiat participatio, concinna eſt mutatio: cum contra diſſimiles, inconcinna. denique per *melopœiam* fit mutatio, cum ex diſtendente more in contrahentem, aut quietum; aut ex quieto in reliquorum aliquem fit tranſitus. eſt vero diſtendens mos melopœiæ, quo ſignatur magnificentia ac virile animi robur, tum actiones heroicæ, atque his ſimiles affectus. hiſce itaque maxime utitur tragœdia, & quæ ex reliquis huic characteri ſunt propiora. contrahens mos eſt, quo animus contrahitur ad humilitatem, & effeminatam diſpoſitionem. atque hujuſmodi ſtatus conveniet amatoriis affectibus, tum lamentis & miſerationibus, atque id genus aliis. quietus denique melopœiæ mos eſt, quem conſequitur animi tranquillitas, ſtatuſque liberalis ac pacificus. huic conveniunt hymni, pæanes, laudes, conſulta, atque his ſimilia.

Melopœia eſt uſus partium Harmonices, quæ à nobis ſunt expoſitæ, quæque propoſitorum

μιξολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος· ὧν ὀξύτερος καὶ δεύτερος ὑπερϊάστιος καλεῖται· ὁ δὲ βαρύτερος, καὶ ὑπερδώριος. λύδιοι δὲ δύο, ὀξύτερος καὶ βαρύτερος, ὃς καὶ αὐλιος καλεῖται. φρύγιοι δύο, ὁ μὲν βαρὺς, ὃς καὶ ἰάστιος· ὁ δὲ ὀξύς. δώριος εἷς. ὑπολύδιοι δύο· ὀξύτερος, καὶ βαρύτερος, ὃς καὶ ὑπαιόλιος καλεῖται. ὑποφρύγιοι δύο, ὧν ὁ βαρύτερος καὶ ὑποϊάστιος καλεῖται. ὑποδώριος. τούτων βαρύτατος μὲν ὑποδώριος· οἱ δὲ ἑξῆς, οἱ ἀπὸ τ βαρυτάτων μέχρι δ ὀξυτάτου ἡμιτονίῳ ἀλλήλων ὑπερέχοντες. ὡσαύτως δὲ δύο, τόνῳ· τρεῖς δὲ, τριημιτονίῳ. ἀναλόγως δὲ ἔχει καὶ ἐπὶ τ τ λοιπῶν τόνων διαστάσεως. ὁ δὲ ὑπερμιξολύδιος δ ὑποδωρίῳ τῷ διὰ πασῶν ἐστιν ὀξύτερος. ὁ δὲ, ὡς τάσις, τόνος λεγεται, καθ' ὃν φαμεν ὀξυτονεῖν τινα ἢ βαρυτονεῖν, ἢ μέσῳ τῷ τ φωνῆς τόνῳ κεχρῆσθαι.

Μεταβολὴ δὲ λέγεται τετραχῶς. καὶ γὰρ κατὰ γένος, καὶ κατὰ σύστημα, καὶ κατὰ τόνον. καὶ κατὰ μελοποιΐαν. κατὰ μὲν γένος γίνεται μεταβολὴ, ὅταν ἐκ διατόνου εἰς χρῶμα, ἢ ἁρμονίαν· ἢ ἐκ χρώματος ἢ ἁρμονίας εἴς τι τ λοιπῶν μεταβολὴ γενηται. κατὰ σύστημα δὲ, ὅταν ἐκ συναφῆς εἰς διαζευξιν, ἢ ἀνάπαλιν, μεταβολὴ γένηται. κατὰ τόνον δὲ, ὅταν ἐκ δωρίων εἰς φρύγια, ἢ ἐκ φρυγίων εἰς λύδια, ἢ ὑπερμιξολύδια, ἢ ὑποδώρια, ἢ καθόλου, ὅταν ἔκ τινος τ δεκατεσσάρων τόνων εἴς τινα τ λοιπῶν μεταβολὴ γένηται. γίνονται δὲ αἱ μεταβολαὶ ἀπὸ ἡμιτονίου ἀρξάμεναι μέχρι δ διὰ πασῶν. ὧν αἱ μὲν κατὰ σύμφωνα γίνονται διαστήματα, αἱ δὲ κατὰ διάφωνα. τούτων δ' αἱ μὲν ἐμμελεῖς ἧττον ἢ ἐκμελεῖς, αἱ δὲ μᾶλλον. ἐν ὅσαις μὲν ἂν αὐτῶν πλείων ἡ κοινωνία, ἐμμελέστεραι· ἐν ὅσαις δὲ ἐλάττων, ἐκμελέστεραι. ἐπειδὴ ἀναγκαῖον πάσῃ μεταβολῇ κοινόν τι ὑπάρχειν, ἢ φθόγγον, ἢ διάστημα, ἢ σύστημα. λαμβάνεται δὲ ἡ κοινωνία καθ' ὁμοιότητα φθόγγων. ὅταν γὰρ ἐπ' ἀλλήλας ἐν ταῖς μεταβολαῖς πέσωσιν ὅμοιοι φθόγγοι κατὰ τὴν δ πυκνῶν μετοχὴν, ἐμμελὴς γίνεται ἡ μεταβολή· ὅταν δὲ ἀνόμοιοι, ἐκμελής. κατὰ δὲ μελοποιΐαν γίνεται μεταβολὴ, ὅταν ἐκ διαστηματικοῦ ἤθους εἰς συστηματικὸν, ἢ ἡσυχαστικὸν, ἢ ἐξ ἡσυχαστικοῦ εἴς τι τ λοιπῶν ἡ μεταβολὴ γένηται. ἔστι δὲ διαστηματικὸν μὲν ἦθος μελοποιΐας, δι' ὃ σημαίνεται μεγαλοπρέπειά τε καὶ διάθεσις ψυχῆς ἀνδρώδης, καὶ πράξεις ἡρωϊκαὶ, καὶ πάθη τούτοις οἰκεῖα. χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ τραγῳδία, καὶ τῶν λοιπῶν δὲ ὅσα τούτου ἔχεται τοῦ χαρακτῆρος. συστηματικὸν δὲ, δι' ὃ σημαίνει ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἀνανδρον διάθεσιν. ἁρμόσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς παθεσι καὶ θρηνώδεσι, καὶ εἴκτοις καὶ τοῖς ὡραπλησίοις. ἡσυχαστικὸν δὲ ἦθός ἐστι μελοποιΐας, ᾧ παρέπεται ἠρεμότης ψυχῆς, καὶ κατάστημα ἐλεύθερόν τε καὶ εἰρηνικόν. ἁρμόσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβολαὶ, καὶ τὰ τούτοις ὅμοια.

Μελοποιΐα ἐστὶ χρῆσις τῶν προειρημένων μερῶν τῆς ἁρμονικῆς, καὶ ὑποκειμένων δυνάμιν ἐχόντων.

ἐχόντων. δι' ὧν δὲ μελοποιία ἁπιπλεῖται, τέσσαρά ἐστιν· ἀγωγή, τολκή, πεπλεία, τονή. ἀγωγὴ μὲν οὖν ἐστιν, ἡ διὰ τῆς ἐξῆς φθόγγων ὁδὸς τοῦ μέλους. τολκὴ δὲ, ἡ ἐναλλαξ τῶν τε διαστημάτων θέσις πρὸς ἄλληλος. πεπλεία δὲ, ἡ ἐφ' ἑνὸς τόνου πολλάκις γινομένη πληξις. τονὴ δὲ, ἡ ἁπὶ πλείονα χρόνον μονὴ, κατὰ μίαν γινομένη προφορὰν τῆς φωνῆς. διάγραμμα δὲ, σχῆμα ἐπίπεδον, τὰς τῶν μελῳδουμένων περιέχον δυνάμεις. δυνάμις δέ ἐστι τάξις φθόγγου, δι' ἧς γνωρίζομεν τῶν φθόγγων ἕκαστον. μελοποιία δέ ἐστι χρῆσις τῶν προκειμένων τῇ ἁρμονικῇ πραγματείᾳ, πρὸς τὸ οἰκεῖον ἑκάστης ὑποθέσεως. ὅπερ ὁ ὅρος τῆς κατὰ τὸ ἡρμοσμένον ἐστὶ πραγματείας.

virtutem complectuntur. quatuor vero ſunt, quibus melopœia perficitur: *Ductus*, *Nexus*, *Pettia*, *Extenſio*. *Ductus* itaque eſt, cantilenæ via, per deinceps poſitos ſonos confecta. *Nexus* vero contra, via permutata, ſpatiorumque poſitio alterna. *Pettia* eſt percuſſio in uno eodemque tono frequenter facta. *Extenſio* eſt diuturnior mora, quæ una vocis prolatione conficitur. Diagramma eſt figura plana, eorum quæ modulamur continens poteſtates. poteſtas vero eſt, quæ vicem ſoni obtinet, per quam ſonorum quemlibet cognoſcimus. Melopœia denique eſt uſus eorum, quæ Harmonicæ tractationi ſunt ſubjecta, ad proprietatem cujuſque argumenti exprimendam. Atque hic eſt tractationis de modulata ſerie finis.

ΤΕΛΟΣ ΕΥΚΛΕΙΔΟΥ ΕΙΣΑΓΩΓΗΣ ΑΡΜΟΝΙΚΗΣ.

FINIS INTRODUCTIONIS HARMONICÆ EUCLIDIS.

ΕΥΚΛΕΙΔΟΥ

ΚΑΤΑΤΟΜΗ

ΚΑΝΟΝΟΣ.

EUCLIDIS

SECTIO

CANONIS.

ΕΥΚΛΕΙΔΟΥ

ΚΑΤΑΤΟΜΗ

ΚΑΝΟΝΟΣ.

EUCLIDIS

SECTIO

CANONIS.

Εἰ ἡσυχία εἴη ἡ ἀκινησία, σιωπὴ ἂν εἴη. σιωπῆς δὲ ὄσης ἢ μηδενὸς κινουμένου, ἀδὲν ἂν ἀκούοιτο· εἰ ἄρα μέλλει τι ἀκουσθήσεσθαι, πληγὴν ἢ κίνησιν πρότερον δεῖ γενέσθαι. ὥστε, ἐπειδὴ πάντες οἱ φθόγγοι γίνονται πληγῆς τινος γινομένης, πληγὴν δὲ ἀμήχανον γενέσθαι, μὴ οὐχὶ κινήσεως πρότερον γενομένης· τῶν δὲ κινήσεων αἱ μὲν πυκνότεραί εἰσιν, αἱ δὲ ἀραιότεραι· καὶ αἱ μὲν πυκνότεραι ὀξυτέρους ποιοῦσι τοὺς φθόγγους, αἱ δὲ ἀραιότεραι, βαρυτέρους· ἀναγκαῖον τοὺς μὲν ὀξυτέρους εἶναι, εἴπερ ἐκ πυκνοτέρων καὶ πλειόνων σύγκεινται κινήσεων· τοὺς δὲ βαρυτάτους, ἐπείπερ ἐξ ἀραιοτέρων καὶ ἐλασσόνων σύγκεινται κινήσεων. ὥστε τοὺς μὲν ὀξυτέρους δεόντος ἀνιεμένους ἀφαιρέσει κινήσεων τυγχάνειν τοῦ δέοντος· τοὺς δὲ βαρυτέρους ἐπιτεινομένους, προσθέσει κινήσεων, τυγχάνειν τοῦ δέοντος. διόπερ ἐκ μορίων τοὺς φθόγγους συγκεῖσθαι φατέον, ἐπειδὴ προσθέσει καὶ ἀφαιρέσει τυγχάνουσι δέοντος. πάντα δὲ τὰ ἐκ μορίων συγκείμενα, ἀριθμῷ λόγῳ λέγεται πρὸς ἄλληλα. ὥστε καὶ τοὺς φθόγγους ἀναγκαῖον ἐν ἀριθμῷ λόγῳ λέγεσθαι πρὸς ἀλλήλους. τῶν δὲ ἀριθμῶν οἱ μὲν ἐν πολλαπλασίονι λόγῳ λέγονται· οἱ δὲ ἐν ἐπιμορίῳ· οἱ δὲ ἐν ἐπιμερεῖ. ὥστε καὶ τοὺς φθόγγους ἀναγκαῖον ἐν τοῖς τοιούτοις λόγοις λέγεσθαι πρὸς ἀλλήλους. τούτων δὲ οἱ μὲν πολλαπλάσιοι, καὶ ἐπιμόριοι ἐνὶ ὀνόματι λέγονται πρὸς ἀλλήλους. γιγνώσκομεν δὲ καὶ τῶν φθόγγων τοὺς μὲν συμφώνους ὄντας, τοὺς δὲ διαφώνους. καὶ τοὺς μὲν συμφώνους μίαν κρᾶσιν τοῦ ἐξ ἀμφοῖν ποιοῦντας· τοὺς δὲ διαφώνους, οὔ. τούτων οὕτως ἐχόντων, εἰκὸς τοὺς συμφώνους φθόγγους, ἐπειδὴ μίαν, τοῦ ἐξ ἀμφοῖν, ποιοῦνται κρᾶσιν τῆς φωνῆς, εἶναι τοῖς ἐν ὀνόματι πρὸς ἀλλήλους λεγομένοις ἀριθμοῖς, ἤτοι πολλαπλασίοις ὄντας, ἢ ἐπιμορίοις.

SI omnia quiescerent, nihilque moveretur, silentium foret. si silentium foret, nihilque moveretur, nihil quoque audiretur: quare, si quid audiri debeat, percussionem atque motum præcedere oportet. hinc adeo, cum omnes soni fiant præcedente aliqua percussione; percussio vero fieri nequeat nisi præcesserit motus: & cum motuum alii sint spissiores, alii rariores; & quidem spissiores faciant sonos acutiores; rariores vero, graviores: necesse est, illos quidem esse acutiores, quod ex spissioribus & pluribus componantur motibus; hos vero graviores, quod ex motibus constituantur & rarioribus & paucioribus. ut hac ratione, qui justo sunt acutiores, si remittantur, ablatione motuum justum sonum consequantur; ut contra, qui graviores, si intendantur, motuum additione justi fiunt. sonos itaque ex partibus componi dicendum, quod additione & ablatione fiant justi. jam vero, quæ ex partibus constant, omnia, numeri inter se ratione dicuntur. ut sonos quoque numeri ratione inter se dici sit necesse. porro numerorum alii dicuntur in ratione multiplici, alii in superpartiçulari, alii in superpartiente. ut & sonos necesse sit iis inter se rationibus appellari. atque horum multiplices & superparticulares uno inter se nomine dicuntur. deinde quoque est notum, sonorum alios esse consonos, alios dissonos. & consonos quidem unam ex ambobus facere mistionem: dissonos vero, non item. cum hæc ita se habeant, rationi est consentaneum, sonos consonos, quod vocis unam ex ambobus mistionem, faciant ad numeros, qui uno nomine mutuum suum dicunt respectum, vel multiplices, vel superparticulares.

PROP.

THEOREMA I.

Si intervallum multiplex, bis compositum, fecerit aliquod intervallum; etiam illud erit multiplex.

ESto intervallum B, Γ, ita ut B sit multiplex ipsius Γ; porro factum sit, ut Γ ad B ita B ad Δ: dico Δ quoque multiplicem esse ipsius Γ.

Quoniam enim B multiplex est ipsius Γ, me-



situr ergo Γ ipsum B. sed erat quoque ut Γ ad B ita B ad Δ: quare & Γ metitur ipsum Δ: ergo Δ est multiplex ipsius Γ.

ΘΕΩΡΗΜΑ α'.

Ἐὰν διάστημα πολλαπλάσιον, δὶς συντεθὲν, ποιῇ τι διάστημα· καὶ αὐτὸ πολλαπλάσιον ἔσται.

Ἔστω διάστημα τὸ Β, Γ, καὶ ἔστω πολλαπλάσιον τὸ Β τοῦ Γ, καὶ γεγενήσθω ὡς ὁ Γ πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Δ· φημὶ δὴ καὶ τὸν Δ τοῦ Γ πολλαπλάσιον εἶναι.

Ἐπεὶ γὰρ ὁ Β τοῦ Γ πολλαπλάσιός ἐστι, μετρεῖ

ἄρα ὁ Γ τὸν Β. ἦν δὲ καὶ ὡς ὁ Γ πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Δ· ὥστε μετρεῖ καὶ ὁ Γ τὸν Δ· πολλαπλάσιος ἄρα ἐστὶν ὁ Δ τοῦ Γ.

THEOREMA II.

Si intervallum, bis compositum, totum fecerit intervallum multiplex; ipsum quoque erit multiplex.

SIT intervallum B, Γ, factumque sit ut Γ ad B ita B ad Δ, sit quoque Δ multiplex ipsius Γ: dico etiam B ipsius Γ esse multiplicem.

Quia enim Δ est multiplex ipsius Γ, igi-



tur Γ metitur ipsum Δ. didici autem; si sint quotcunque numeri deinceps proportionales, & primus metiatur ultimum, illum quoque intermedios mensurum: quare & Γ metitur ipsum Δ: ergo B est multiplex ipsius Γ.

ΘΕΩΡΗΜΑ β'.

Ἐὰν διάστημα, δὶς συντεθὲν, τὸ ὅλον ποιῇ πολλαπλάσιον· καὶ αὐτὸ ἔσται πολλαπλάσιον.

Ἔστω διάστημα τὸ Β, Γ, καὶ γεγονέτω ὡς ὁ Γ πρὸς τὸν Β οὕτως ὁ Β πρὸς τὸν Δ, καὶ ἔστω ὁ Δ τοῦ Γ πολλαπλάσιος· φημὶ δὴ καὶ τὸν Β τοῦ Γ εἶναι διπλάσιον.

Ἐπεὶ γὰρ ὁ Δ τοῦ Γ πολλαπλάσιός ἐστι, μετρεῖ

ἄρα ὁ Γ τὸν Δ. ἔμαθον δὲ, ὅτι ἐὰν ὦσιν ἀριθμοὶ ἀνάλογον ὁποσοιοῦν, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρῇ, καὶ τοὺς μεταξὺ μετρήσει· μετρεῖ ἄρα ὁ Γ τὸν Δ· πολλαπλάσιος ἄρα ὁ Β τοῦ Γ.

THEOREMA III.

Superparticulare intervallum neque unum neque plures habebit proportionaliter incidentes numeros medios.

SIT enim superparticulare intervallum B, Γ. minimi vero in eadem ratione, in qua sunt B, Γ, sint Δ Z, Θ. hos igitur sola unitas, tanquam mensura communis metitur.

ΘΕΩΡΗΜΑ γ'.

Ἐπιμορίου διαστήματος μέσοι, οὔτε εἷς οὔτε πλείους ἀνάλογον ἐμπεσοῦνται ἀριθμοί.

Ἔστω γὰρ ἐπιμόριον διάστημα τὸ Β, Γ. ἐλάχιστοι δὲ ἐπὶ τοῦ αὐτοῦ λόγου τοῖς Β, Γ ἔστωσαν οἱ Δ Z, Θ· οὗτοι δὲ ὑπὸ μονάδος μόνης μετροῦνται κοινῷ μέτρῳ.



Auser H Z æqualem numerum ipsi Θ, & relinquitur unitas: est igitur Δ Z superparticularis ipsius Θ. excessus vero ipse Δ H communis mensura

Ἀφελὲ ἴσον τῷ Θ τὸν Η Ζ, καὶ ὑπόλοιπον μονάς. ἐπιμόριος ἐστιν ἄρα ὁ Δ Ζ τοῦ Θ. καὶ ἡ ὑπεροχὴ ὁ Δ Η κοινὸν μέτρον τοῦτε

Δ Ζ

ſint in ſemicirculis: ſunt igitur [per 31.3.] recti: quare B Z, B A rectæ lineæ ipſas K Z, K A eductas ex K centro in unico ſphæræ puncto tangent: radii ergo ex B oculo procedentes cadent ſecundum lineas B Z, B A. quia ergo omnes anguli qui ſunt circa punctum Θ recti ſunt, eo quod parallela eſt recta Γ Δ rectæ Z A, & æqualis eſt Z Θ ipſi Θ A: ſi igitur manente latere Θ B ipſum triangulum ΘBZ circumducatur, quoadusque ad illud punctum reſtituatur unde circumduci cœperat, fiet ut & B Z circumducta ſphæricam ſuperficiem tangat in unico puncto, nempe in Z, & circulus deſcribatur per puncta Z, A. quare circulo comprehenditur ea ſphæræ pars quæ cernitur; quæ ſane minor eſt hemiſphærio, quia portio Z N A minor eſt ſemicirculo: quod ergo ab oculo cernetur eſt minus hemiſphærio.



τὸ ἐν ἡμικυκλίοις εἶναι ἡ ὀρθὴ τὰς K Z, K A, καθ' ἓν σημεῖον ἐφάψουσι· αἱ B Z, B A τὴν σφαῖραν· αἱ ἄρα ἀπὸ τοῦ B ὄμματος προσπίπτουσαι ἀκτῖνες κατὰ τὰς B Z, B A πεσοῦνται. καὶ ἐπεὶ ἑκάτερα τῶν [2] πρὸς τῷ Θ γωνιῶν ὀρθή ἐστι, [3] διὰ τὸ παράλληλον εἶναι τὸ Γ Δ τῇ Z Λ, καὶ ἴση ἡ Z Θ τῇ Θ Λ· ἐὰν δὴ μενούσης τῆς Θ B τὸ Θ BZ τρίγωνον περιενεχθὲν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι, ἡ B Z περιενεχθεῖσα καθ' ἣν ἐφάψεται τῆς σφαιρικῆς ἐπιφανείας [4] κατὰ τὸ Z, καὶ κύκλος ἔσται γεγραμμένος διὰ τῶν Z, Λ σημείων· ὥστε ὑπὸ κύκλου ἂν περιέχοιτο τὸ ὁρώμενον τῆς σφαίρας, ὃ ἐλάττόν ἐστιν ἡμισφαιρίου, τὸ γὰρ Z N Λ ἐλάττόν ἐστιν ἡμικυκλίου· ὥστε καὶ τὸ ὑπὸ ὄψεως ὁρώμενον ἐλάττόν ἐστιν ἡμισφαιρίου.

SCHOLIUM.

Quod autem, ſi ſphæra plano ſecetur, communis ſectio ſit circulus, ſumptum quidem eſt tanquam certum in phænomenis, demonſtratum autem in ſphæricis.

ΣΧΟΛΙΟΝ.

Ὅτι δὲ ἂν σφαῖρα τμηθῇ ὑπιπέδῳ, ἡ κοινὴ τομὴ κύκλος ἐστί, προείληπται μὲν ἐν τοῖς φαινομένοις, δέδεικται δὲ ἐν τοῖς σφαιρικοῖς.

PROP. XXIV. THEOR.

Oculo propius ad ſphæram accedente, minus de ſphæra cernetur, quam oculo procul poſito; plus tamen cerni exiſtimabitur.

ΠΡΟΤΑΣΙΣ κδ'.

Τῷ ὄμματος προσιόντος ἔγγιον τῆς σφαίρας, τὸ ἔσται τὸ ὁρώμενον· δοξεῖ δὲ μεῖζον ὁρᾶσθαι.

SIT ſphæra cujus centrum K; & ab oculo Δ ad centrum connectatur linea recta Δ K; & per punctum K ducatur B Γ, quæ ſit ad angulos rectos ipſi Δ K; & circa Δ K diametrum deſcribatur circulus, & ducantur rectæ Δ N, N K, Δ Λ, Λ K: anguli ergo ad Λ, N recti ſunt [per 31. 3.] quia ſunt in ſemicirculis: quare rectæ lineæ Δ Λ, Δ N in uno puncto ſphæram tangunt; ideoque radii qui ex Δ oculo procedunt, cadent in ſphæram ſecundum lineas Δ Λ, Δ N. rurſus, transferatur oculus ex Δ puncto in P punctum, & circa lineam P K deſcribatur circulus, connectanturque lineæ P Z, Z K, P Σ, Σ K: lineæ igitur P Z, P Σ in uno puncto tangunt ſphæram: quare radii etiam ex P oculo



Ἔστω γὰρ σφαῖρα ἧς κέντρον τὸ K, καὶ ἀπὸ τοῦ Δ ὄμματος ἐπεζεύχθω ἐπὶ τὸ κέντρον ἡ Δ K, καὶ διὰ τοῦ K πρὸς ὀρθὰς ἤχθω ἡ B Γ, [5] περὶ δὲ τὸ Δ K κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ Δ N, N K, Δ Λ, Λ K· ἐκεῖν ὀρθαὶ ἔσονται αἱ πρὸς τοῖς Λ, N γωνίαι, διὰ τὸ ἐν ἡμικυκλίοις εἶναι· καθ' ἓν ἄρα ἐφάπτονται αἱ Δ Λ, Δ N τῆς σφαίρας· αἱ ἄρα ἀπὸ τοῦ Δ ὄμματος προσπίπτουσαι ἀκτῖνες κατὰ τὰς Δ Λ, Δ N πεσοῦνται. πάλιν δὴ μετακείσθω τὸ Δ ὄμμα ἐπὶ τὸ P, καὶ περὶ τὸ P K κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ P Z, Z K, P Σ, Σ K· ἐκεῖναι αἱ P Z, P Σ καθ' ἓν ἐφάπτονται τῆς σφαίρας· καὶ αἵ γε ἀπὸ τοῦ P ὄμματος

1 Τῷ κύκλῳ Γ Δ Λ Z, atque ideo ſphæram, per 16.3 elem. *Savil.* 2 Schol. Manuſc. quia K Z B, K Λ B habent; æqualia latera, imo anguli Z K Θ, Λ K Θ æquales & rectæ comprehendentes; ergo anguli ad Θ æquales & recti: αἱ γὰρ ἴσαι ἴσας (inquit ille) ἴσα δὶ ἔστας. 3 Unde hoc? etſi verum eſt & poteſt probari. ſed Θ ἐφ' multo facilius, quia in iſoſceli Z B Λ angulus ad B ſecatur bifariam. *Savil.* 4 In uno puncto, nempe Z: nam [illegible] Z opinor eſſe ex ſcholio, & abeſt in ſequentibus. *Idem.* 5 Sc. Καὶ ἐπεζεύχθω τὰ ἀπὸ τῶν B K Γ, Δ K ἐπίπεδα, &c. ut in præcedente. *Idem.*

ἀκτῖνες

ἀκτῖνες προσπίπτουσαι κατὰ τὰς P Z, P Σ περατοῦνται· ὥστε ὁρᾶται ὑπὸ μὲν τῆς P γωνίας τὸ Z Σ, ὑπὸ δὲ τῆς Δ τὸ N Z Σ Λ. μεῖζον δὲ τὸ N Z Σ Λ τοῦ Z Σ ἐστι, φαίνεται δὲ ἔλαττον· μείζων γάρ ἐστιν [1] ἡ P γωνία τῆς Δ γωνίας. τὰ δὲ ὑπὸ μειζόνος γωνίας ὁρώμενα, μείζονα φαίνεται· μεῖζον ἄρα φαίνεται τὸ Z Σ τοῦ N Z Σ Λ· ἔστι δὲ ἔλαττον.

procedentes incident in ſphæram ſecundum rectas P Z, P Σ: ergo ſub angulo quidem P cernitur Z Σ, ſub angulo vero Δ cernitur N Z Σ Λ. eſt autem N Z Σ Λ major quam Z Σ; minor vero apparet: angulus enim P major eſt angulo Δ. quæ autem ſub majore angulo ſpectantur [per 5. poſit.] majora videntur: major igitur apparet Z Σ quam N Z Σ Λ; minor vero eſt.

ΠΡΟΤΑΣΙΣ κε'.

Σφαῖρα ὀφθὲν διαστήματος [2] ὁρωμένη κύκλος φαίνεται.

PROP. XXV. THEOR.

Sphæra eminus ſpectata videtur circulus.



Ἔστω γὰρ ἐν σφαίρᾳ, ἧς κέντρον τὸ Κ, μέγιστος κύκλος Β Γ Δ, ᾧ ἀπὸ τοῦ Θ ὄμματος προσπίπτουσαι ἀκτῖνες αἱ Θ Β, Θ Γ, Θ Δ· ἐκεῖνη ἡ Β Γ Δ περιφέρεια εὐθεῖα εἶναι δοκεῖ. ὁμοίως δὲ καὶ αἱ ἄλλαι τῶν κύκλων περιφέρειαι ἐν τῇ σφαιρικῇ ὑπιφανείᾳ γραφομένων εὐθεῖαι φανήσονται· κύκλος ἄρα φανεῖται ἡ σφαῖρα πόρρω κειμένη τοῦ ὄμματος.

SIT enim in ſphæra, cujus centrum K, maximus circulus B Γ Δ, ad quem ex Θ oculo procedant radii Θ B, Θ Γ, Θ Δ: ergo [per 22. opt.] B Γ Δ circumferentia videtur eſſe recta linea. ſimiliter & circumferentiæ reliquorum circulorum, in ſphæræ ſuperficie deſcriptorum, rectæ lineæ videbuntur: quare tota ſphæra, procul ab oculo diſſita, circulus exiſtimabitur.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Σφαῖρας διὰ τῶν δύο ὀμμάτων ὁρωμένης, ἐὰν ἡ διάμετρος τῆς σφαίρας ἴση ᾖ τῇ εὐθείᾳ [3] τῇ διεχούσῃ ἀπὸ τῶν ὀμμάτων· ἡμισφαίριον αὐτῆς ὀφθήσεται.

PROP. XXVI. THEOR.

Si ſphæræ ambobus oculis conſpectæ diameter æqualis fuerit rectæ lineæ, qua oculorum alter ab altero diſtat; dimidium ſphæræ cernetur.



Ἔστω γὰρ σφαῖρα ἧς διάμετρος ἡ Β Γ, καὶ ἀπὸ τῶν Β, Γ ἤχθωσαν πρὸς ὀρθὰς αἱ Β Ζ, Γ Λ, καὶ ἀπὸ τοῦ Ζ ἤχθω παρὰ τὴν Β Γ ἡ Ζ Λ, ᾗ κείσθω ἐν ὄμματι μὲν τὸ Ζ, τὸ δὲ ἕτερον ὄμμα τὸ Λ, ἀπὸ δὲ τοῦ Δ κέντρου ἤχθω παρὰ τὴν Β Ζ ἡ Δ Κ. σκηνὴ ἐὰν μενούσης τῆς Δ Κ τὸ Β Κ παραλληλόγραμμον περιενεχθὲν, εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιγραφὲν ὑπὸ τῆς Β Δ σχῆμα κύκλος ἔσται, ὃς γε διὰ τοῦ κέντρου ἐστὶ τῆς σφαίρας· ὥστε τὸ ἡμισφαίριον τῆς σφαίρας μόνον ὀφθήσεται ὑπὸ τῶν Ζ, Λ ὀμμάτων.

SIT ſphæra cujus diameter B Γ; & à punctis B, Γ excitentur B Z, Γ Λ rectæ, quæ ſint ad angulos rectos ipſi B Γ; & per punctum Z ducatur Z Λ quæ ſit parallela ipſi B Γ; ponaturque oculorum alter quidem in Z, alter vero in Λ; & ex Δ centro ducatur Δ K parallela ipſi B Z. ſi ergo manente Δ K latere, parallelogrammum B K circumagatur, donec in idem punctum reſtituatur unde circumagi cœperat; figura, quam deſcribet latus B Δ circumactum, erit circulus, qui per centrum ſphæræ tranſit: quare dimidia tantum ſphæræ pars cernetur à Z, Λ oculis.

1 Quia ſc. angulus Z K Σ, quo P deficit à duobus rectis, minor eſt quam angulus N K Λ, quo Δ deficit à duobus rectis. *Savil.* 2 Hinc apparet etiam in 22. prop. addendum eſſe, aut certe ſupplendum itidem, ὡς διαστήματος. *Idem.* 3 Hoc quid ſit plane neſcio. Forſan legendum τῷ διαστήματι τῶν ὀμμάτων. *Idem.*

PROP.

PROP. XXVII. THEOR.

Si oculorum intervallum majus ſit ſphæræ diametro; ſphæræ pars, quæ cernitur, major hemiſphærio videbitur.

SIT enim ſphæra, cujus centrum K; oculorum vero intervallum BΓ majus ſphæræ diametro ΠKP; per K autem & rectam BΓ extendatur planum, quod faciat in ſphæra circulum ΔNZ; & ab oculis B, Γ cadant radii BΔ, ΓZ, qui ſphæram ipſam tangant in uno puncto. hi ergo radii in rectum producti alicubi concurrent, cum BΓ ſit major quam ſphæræ diameter ΠP. concurrant ergo in puncto Θ. quoniam autem à puncto Θ ad ſphæram ΔNZ cadunt lineæ ΘZ, ΘΔ, ſphæram in uno puncto tangentes: igitur ZNΔ minor eſt ſemicirculo, anguli enim ΘZK, ΘΔK recti ſunt: reliquum igitur ſphæræ, quod per radios BΔ, ΓZ cernitur, majus eſt hemiſphærio.



ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐὰν τὸ τῶν ὀμμάτων διάστημα μεῖζον ᾖ τῆς διαμέτρου τῆς σφαίρας, ἡμισφαίριον μεῖζον τὸ ὁρώμενον τῆς σφαίρας ὀφθήσεται.

ΕΣτω γὰρ σφαῖρα ἧς κέντρον τὸ K, τὸ δὲ τῶν ὀμμάτων διάστημα τὸ BΓ μεῖζον ὂν τῆς ΠKP διαμέτρου τῆς σφαίρας, διὰ δὲ τοῦ K καὶ τῆς BΓ ἐκβεβλήθω ὑπίπεδον, καὶ ποιείτω ἐν τῇ σφαίρᾳ κύκλον τὸν ΔNZ, καὶ ἀπεσταλμέναι ἀκτῖνες καθ' ἓν σημεῖον ἁπτόμεναι αἱ BΔ, ΓZ. οὐκοῦν ἐκβαλλόμεναι συμπεσοῦνται ἀλλήλαις, ἐπειδὴ ἡ BΓ τῆς ἐν τῇ σφαίρᾳ διαμέτρου ΠP μείζων ἐστί. συμπιπτέτωσαν δὴ κατὰ τὸ Θ σημεῖον. ἐπεὶ οὖν ἀπὸ τοῦ Θ σημείου αἱ ΘZ, ΘΔ καθ' ἓν ἐφάπτονται σφαίρας, ἔλασσον ἂν εἴη τὸ ZNΔ ἡμικύκλιον, αἱ γὰρ ΘZK, ΘΔK γωνίαι ὀρθαί εἰσι[1]· τὸ ἄρα λοιπὸν τῆς σφαίρας μεῖζον ἡμισφαιρίου ὀφθήσεται ὑπὸ τῶν BΔ, ΓZ.

PROP. XXVIII. THEOR.

Si oculorum intervallum minus ſit ſphæræ diametro; ſphæræ pars, quæ cernitur, minor eſt hemiſphærio.

SIT ſphæra cujus centrum K; oculorum vero intervallum BΓ, quod minus ſit quam ſphæræ diameter ΠKP; & per K & BΓ trajiciatur planum, quod in ſphæra faciat circulum ZNH; & ex B, Γ oculis deducantur radii BZ, ΓH, qui ſphæram tangant in uno puncto; concurrantque in puncto Θ: concurrent enim, cum inæquales ſint BΓ oculorum interſtitium, & ΠP diameter ſphæræ. ergo radii à puncto Θ in ſphæram cadentes minus comprehendent quam dimidium ſphæræ: quare ZNH minus eſt hemiſphærio; ideoque ſphæræ pars ea, quæ ab oculis B, Γ cernitur, minor eſt hemiſphærio.



ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐὰν τὸ τῶν ὀμμάτων διάστημα ἔλασσον ᾖ τῆς διαμέτρου τῆς σφαίρας, τὸ ὁρώμενον τῆς σφαίρας ἔλασσον ἡμισφαιρίου ὀφθήσεται.

ΕΣτω γὰρ σφαῖρα ἧς κέντρον τὸ K, τὸ δὲ τῶν ὀμμάτων διάστημα τὸ BΓ, ἔλαττον ὂν τῆς ΠKP διαμέτρου τῆς σφαίρας, καὶ διὰ τοῦ K καὶ τῆς BΓ ἐκβεβλήθω ὑπίπεδον, καὶ ποιείτω ἐν τῇ σφαίρᾳ κύκλον τὸν ZNH, ἤχθωσαν δὲ ἀπὸ τῶν B, Γ ὀμμάτων καθ' ἓν ἐφαπτόμεναι αἱ BZ, ΓH, καὶ συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὸ Θ· συμπεσοῦνται γάρ, ἐπειδήπερ ἄνισοί εἰσιν ἥ τε ΓB καὶ ἡ ΠP τῆς σφαίρας διάμετροι. ἐκβλήσθωσαν αἱ ἀπὸ τοῦ Θ σημείου προσπίπτουσαι πρὸς τὴν σφαῖραν ἐλάττονα ἡμισφαιρίου ὠφελήψουσι· τὸ ἄρα ZNH ἔλασσον ἡμισφαιρίου ἐστίν· ὥστε τὸ ὑπὸ τῶν B, Γ ὀμμάτων ὁρώμενον ἔλασσον ἂν εἴη ἡμισφαιρίου.

PROP. XXIX. THEOR.

Quomodocunque cylindrus unico oculo cernatur, minus dimidia parte cylindri cernetur.

SIT K centrum circuli, qui baſis ſit alicujus cylindri; & ab oculo N ducatur recta linea

ΠΡΟΤΑΣΙΣ λ'.

Κυλίνδρου ὁπωσοῦν ὁρωμένου ὑφ' ἑνὸς ὄμματος ἔλαττον ἡμικυλίνδρου ὀφθήσεται.

ΕΣτω κυλίνδρου τοῦ περὶ τὸν βάσιν κύκλου κέντρον τὸ K, καὶ ἀπὸ τοῦ N ὄμματος ἤχθω

1 Ergo anguli ΔKZ, ΔΘZ duobus rectis æquales: & proinde ΔKZ minor ſemicirculo. *Savil.* 2 Id eſt, in quacunque ab oculo diſtantia, non ſitu. nam oculo ſupra vel infra cylindrum poſito, de cylindrica ſuperficie nihil prorſus videtur. *Idem.* 3 Hæc demonſtratio ſupponit oculum in plano baſis cylindri; vel potius id tantum reſpicit de cylindro, quod oculis directâ ex adverſo objacet. idemque in ſequentibus de conis intellige. *Idem.*

ἐπὶ

ἐπὶ τὸ Κ ἡ ΝΚ, καὶ ἀπὸ τῆ Κ πρὸς ὀρθὰς αὐτῆ ἤχθω ἡ ΒΓ, περὶ δὲ τὸ ΝΚ κύκλος γεγράφθω, ᾧ ἐπεζεύχθωσαν αἱ ΝΖ, ΖΚ, ΝΔ, ΔΚ. ἁπτὴν ὀρθὴ αἱ πρὸς τοῖς Ζ, Δ· καθ' ἓν ἄρα ἅπτονται αἱ ΝΖ, ΝΔ. καὶ αἱ μὲ ἀπὸ τοῦ Ν ὄμματος φερόμεναι ἀκτῖνες κατὰ τὰς ΝΖ, ΝΔ πεσοῦνται· ὥστε τὸ ΖΛΔ μόνον ὀφθήσεται. ἀλλὰ τὸ ΖΛΔ ἔλαττόν ἐστι τοῦ ΓΑΒ ἡμικυκλίου· τὸ ἄρα ΖΛΔ ἔλασσον ἡμικυκλίου ὀφθήσεται, τοῦτ' ἔστιν ὁ κύλινδρος [1] ὁμοίως γὰρ τῇ βάσει κατὰ πᾶσαν ἐπιφάνειαν τοῦ κυλίνδρου [2] δείξομεν· ὥστε ὅλου τοῦ κυλίνδρου ἔλαττον φανήσεται.



ad ipſum Κ, quæ ſit ΝΚ; & à puncto Κ excitetur ΒΓ, quæ ſit ad angulos rectos ipſi ΝΚ: & circa ΝΚ deſcribatur circulus; connectanturque rectæ ΝΖ, ΖΚ, ΝΔ, ΔΚ. recti ergo ſunt [per 31. 3.] anguli ad Ζ, Δ: ideoque ΝΖ, ΝΔ in uno puncto cylindrum tangunt. & radii ab oculo Ν delati cadent in cylindrum ſecundum lineas ΝΖ, ΝΔ: quare ΖΛΔ tantum cernetur. ſed ΖΛΔ minor eſt ſemicirculo ΓΑΒ: igitur apparebit ΖΛΔ, quæ minor eſt ſemicirculo; id eſt, minus ſemper cernetur quam dimidia cylindri pars. quod enim de cylindri baſi monſtravimus, illud idem de qualibet alia parte ſuperficiei cylindri demonſtrabimus: quare minus dimidia parte totius cylindri cernitur.

ΠΡΟΤΑΣΙΣ λ'.

Τῆ δὲ ὄμματος ἐγγίον τεθέντος τοῦ κυλίνδρου, ἔλασσον μὲν ἔσται τὸ φαινόμενον ὑπὸ τοῦ ὄψεως τοῦ κυλίνδρου, δόξει δὲ μεῖζον ὁρᾶσθαι.

Prop. XXX. Theor.

Pars cylindri quæ cernitur, oculo ad cylindrum accedente, minor eſt quam ea quæ cernitur oculo recedente; major tamen exiſtimatur.

Ἔστω γὰρ κυλίνδρου τοῦ περὶ τὸν βάσιν κύκλου κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Β ὄμματος ἐπὶ τὸ Κ κέντρον ἐπεζεύχθω ἡ ΒΚ, ἀπὸ δὲ τοῦ Κ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΔ, καὶ περὶ τὸν ΒΚ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΒΝ, ΝΚ, ΒΛ, ΛΚ. ἀπὸ δὲ τοῦ περάτου τὸ ΑΖΝ ἔλαττόν ἐστιν ἡμικυκλίου, [3] καὶ ὁμοίως τῇ βάσει τοῦ κυλίνδρου ἔλαττον ἢ τὸ ἥμισυ ὀφθήσεται. καὶ πεπροσήχθω δὴ τὸ ὄμμα, καὶ ἔστω Φ, καὶ περὶ τὸν ΦΚ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΦΡ, ΡΚ, ΚΣ, ΣΦ. ἁπτὴν αἱ ὑπὸ τὸ Φ ἀκτῖνες πεσοῦνται κατὰ τὰς ΦΡ, ΦΣ πεσοῦνται, αἱ δ' ἀπὸ τοῦ Β κατὰ τὰς ΒΛ, ΒΝ· μεῖζον ἄρα τὸ ΝΖΛ τοῦ ΡΖΣ. δοκεῖ δὲ μεῖζον φαίνεσθαι τὸ ΡΖΣ τοῦ ΝΖΛ, μείζων γὰρ ἡ Φ γωνία τῆς Β γωνίας· ὥστε καὶ τοῦ κυλίνδρου ἔλαττον μέρος ὀφθήσεται, δοκεῖ δὲ μεῖζον ὁρᾶσθαι.



SIT Κ centrum circuli efficientis baſim alicujus cylindri, & ab oculo Β ad centrum Κ ducatur ΒΚ; per punctum vero Κ ducatur ΓΔ quæ ſit ad angulos rectos ipſi ΒΚ; deſcribatur etiam circulus circa ΒΚ, & connectantur rectæ ΒΝ, ΝΚ, ΒΛ, ΛΚ. igitur ſicut in præcedente ΑΖΝ circumferentia eſt minor ſemicirculo; & quemadmodum minus quam dimidium baſis, ita etiam minus quam dimidium cylindri ſpectabitur. jam oculus propius admoveatur, ſitque Φ, & circa ΦΚ deſcribatur circulus, & ducantur lineæ ΦΡ, ΡΚ, ΚΣ, ΣΦ. radii ergo ex Φ oculo procedentes ferentur ſecundum lineas ΦΡ, ΦΣ, radii vero ex Β deducti ferentur ſecundum lineas ΒΛ, ΒΝ: major eſt igitur ΝΖΛ circumferentia quam ΡΖΣ circumferentia. & tamen aſpectus exiſtimat majorem eſſe ΡΖΣ quam ΝΖΛ, propterea quod angulus Φ major eſt angulo Β: quare minor cylindri pars cernetur, & tamen major videbitur.

1 Debuit eſſe ἔλασσον ἡμικυλινδρίου aut hujuſmodi quippiam, niſi forte totus locus eſt ita legendus: ἔλασσον ἄρα τοῦ ἡμικυλινδρίου ὀφθήσεται. hanc enim, quam videmus hic ταυτολογίαν aures meæ non ferunt. *Savil.* 2 Δείξομεν, quid? nempe, ſemper minus ſemicirculo videri ab oculo in eodem plano poſito. quamvis non negem, κατ' ἄλλας θέσεις, minus itidem ἡμικυλίνδρου videri ſæpiſſime; nihil tamen ad hanc demonſtrationem, cum planum per radios in cylindris & conis non circulos faciat, ſed ſæpius curvas lineas ex alio genere. *Idem.* 3 Hæc verba & illa præcedentis ὁμοίως τῇ βάσει &c. nonnihil ſuſpicionis injiciunt, voluiſſe *Euclidem* id quod de baſi tantum demonſtravit, vel (ut generalius dicam) de circulo in cujus plano eſt oculus, ad reliquam ſuperficiem cylindri trahere. *Idem.*

PROP. XXXI. THEOR.

Coni circularem baſim habentis uno tantum oculo ſpectati minus dimidia parte cernetur.

SIT conus quivis habens pro baſi circulum, cujus centrum eſt K; & ex B oculo ad centrum connectatur BK; à puncto autem K excitetur NA, quæ ſit ad angulos rectos ipſi BK; & circa BK deſcribatur circulus, conjunganturque rectæ BZ, ZK, BΔ, ΔK. anguli igitur ad Z, Δ, cum ſint in ſemicirculis, recti ſunt: quare in unico puncto circulum tangent duæ lineæ BΔ, BZ. radii autem ab oculo in circuli circumferentiam pergentes cadent ſecundum lineas BΔ, BZ: quod igitur cernetur, erit ZPΔ, quod minus eſt quam NPA. atqui NPA eſt ſemicirculus: ergo ZPΔ minus eſt ſemicirculo: quare coni pars quam cernit oculus minor eſt dimidia parte coni: idem enim demonſtrabimus de reliquis circulis qui in coni ſuperficie ſunt.



ΠΡΟΤΑΣΙΣ λα'.

Κώνου [1] κύκλον ἔχοντος τὴν βάσιν ὑπὸ [2] ἑνὸς ὄμματος ὁρωμένου ἔλασσον ἡμικωνίου ὀφθήσεται.

ΕΣτω γὰρ κώνου βάσις κύκλος ὁ περὶ κέντρον τὸ Κ, ὁ δὲ ἀπὸ τοῦ Β ὄμματος ἤχθω ἐπὶ τὸ κέντρον ἡ ΒΚ, καὶ διὰ τοῦ Κ πρὸς ὀρθὰς τῇ ΒΚ ἡ ΝΑ, περὶ δὲ τὴν ΒΚ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΒΖ, ΖΚ, ΒΔ, ΔΚ. ἀκὴν ὀρθαί εἰσιν αἱ πρὸς τοῖς Ζ, Δ, ὡς ἡμικύκλου γωνίαι· καθ' ἓν ἄρα ἐφάπτονται αἱ ΒΔ, ΒΖ. ἡ αἱ γε ἀπὸ τοῦ ὄμματος ἀκτῖνες πεσοῦνται κατὰ τὰς ΒΔ, ΒΖ πεσοῦνται· ἔσται δὴ ὁρώμενον τὸ ΖΡΔ, ἔλασσον ὂν τοῦ ΝΡΛ. ἀλλὰ τὸ ΝΡΛ ἡμικύκλιόν ἐστι· τὸ ἄρα ΖΡΔ ἔλασσόν ἐστιν ἡμικυκλίου· ὥστε ἡ τὸ ὁρώμενον τοῦ κώνου ἔλασσόν ἐστιν ἡμικωνίου· [3] ὁμοίως δὴ δείξομεν ἐπὶ τῶν λοιπῶν κύκλων ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ δείκνυμεν.

PROP. XXXII. THEOR.

Oculo per idem planum propius ad conum accedente, major coni pars cernetur quam oculo recedente; minor tamen aſpectui apparebit.

SIT baſis coni circulus, cujus centrum K; oculus autem ſit A, & ex A ad K ducatur recta AK; & à puncto K excitetur ΘB, quæ ſit ad angulos rectos ipſi AK; deſcribatur autem circulus circa ipſam AK, connectanturque AZ, ZK, AΔ, ΔK; tranferatur autem oculus ex A puncto in punctum N, & circa rectam NK deſcribatur circulus, connectanturque rectæ NP, PK, NΣ, ΣK. ergo radii ex A oculo pergentes, cadent ſecundum lineas AΔ, AZ: quare ex puncto A cernetur ZΦΔ. eadem ratione radii procedentes ex N oculo cadent in circuli circumferentiam ſecundum lineas NP, NΣ: igitur ex N puncto cernetur PΦΣ. majus autem autem eſt ZΦΔ quam PΦΣ: apparet tamen minus, propterea quod angulus ad N major eſt angulo ad A.



ΠΡΟΤΑΣΙΣ λϐ'.

Τοῦ δὲ ὄμματος ἔγγιον μεταβάντος ἐπὶ τὸ αὐτὸ ἐπίπεδον, ἔλασσον μὲν ἔσται τὸ ὑπὸ τῶν ὄψεων περιλαμβανόμενον μέρος· δόξει δὲ μεῖζον ὁρᾶσθαι.

ΕΣτω γὰρ κώνου βάσις κύκλος ὁ περὶ κέντρον τὸ Κ, ὄμμα δὲ ἔστω τὸ Α, καὶ ἀπὸ τοῦ Α ἐπὶ τὸ Κ ἐπεζεύχθω ἡ ΑΚ, καὶ πρὸς ὀρθὰς αὐτῇ ἤχθω διὰ τοῦ Κ ἡ ΘΒ, γεγράφθω δὲ περὶ τὴν ΑΚ κύκλος, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΖΚ, ΑΔ, ΔΚ, μετακείσθω δὲ τὸ Α ὄμμα ἐπὶ τὸ Ν, καὶ περὶ τὴν ΝΚ κύκλος γεγράφθω, καὶ ἐπεζεύχθωσαν αἱ ΝΡ, ΡΚ, ΝΣ, ΣΚ. ἀκὴν αἱ ἀπὸ τοῦ Α ὄμματος ἀκτῖνες πεσοῦνται κατὰ τὰς ΑΔ, ΑΖ πεσοῦνται· ὥστε φανήσεται τὸ ΖΦΔ. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ τοῦ Ν ὄμματος ἀκτῖνες πεσοῦνται κατὰ τὰς ΝΡ, ΝΣ πεσοῦνται· ὀφθήσεται ἄρα τὸ ΡΦΣ. μεῖζον δὲ τὸ ΖΦΔ τοῦ ΡΦΣ· φαίνεται δὲ ἔλασσον, μεῖζον γὰρ ἡ πρὸς τῷ Ν γωνία τῆς πρὸς τῷ Α γωνίας.

1 Quaſi ſit alius qui baſim habeat μὴ κύκλον. *Savil.* 2 Quid ſi ille unus oculus ſub baſi ſtatuatur? nihil plane videbitur. quid ſi ſupra in axi protracto? videbitur ſuperficies coni proculdubio. *Idem.* 3 Oculo, ſc. in eorum plano collocato: nam alioqui planum per ZB, BΔ non facit in coni ſuperficie circulum, ut ex rectitudine angulorum Z, Δ poſſis concludere τὸν ἐφαψίν, aut ex quantitate anguli ad K quantitatem ὑ ZPΔ γραμμῆς. *Idem.*

ΠΡΟΤΑΣΙΣ λγ'.

[1] Κώνου κύκλου ἔχοντος τὴν βάσιν, ἐὰν ἀπὸ τῶν συναφῶν τῶν ἀπὸ τοῦ ὄμματος ἐπὶ τὴν τοῦ κώνου βάσιν προσπιπτουσῶν ἀκτίνων εὐθεῖαι διαχθῶσι διὰ τῆς ἐπιφανείας τῆς τοῦ κώνου πρὸς τῇ κορυφῇ αὐτοῦ, διὰ δὲ τῶν ἀχθεισῶν καὶ τῶν ἀπὸ τοῦ ὄμματος ἐπὶ τὴν βάσιν τοῦ κώνου προσπιπτουσῶν ἐπίπεδα ἐκβεβλήθῃ, ὅπου δὲ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων τὸ ὄμμα τεθῇ· τὸ ὁρώμενον τοῦ κώνου ἴσον διαπαντὸς ὀφθήσεται[2].

PROP. XXXIII. THEOR.

Si ad coni circularem baſim ducantur ab oculo radii ipſam baſim tangentes, & à punctis in quibus radii tangunt baſim ducantur rectæ lineæ per coni ſuperficiem uſque ad ejus verticem; per eas vero lineas & radios ab oculo ad baſim coni procedentes duo plana educantur, in quorum communi ſectione oculus collocetur: coni pars ſpectata æqualis perpetuo videbitur.

Ἔστω γὰρ κῶνος οὗ βάσις μὲν ὁ ΓΔ κύκλος, κορυφὴ δὲ τὸ Β σημεῖον, ὄμμα δὲ τὸ Κ, ἀφ' οὗ προσπιπτέτωσαν ἀκτῖνες αἱ ΚΔ, ΚΓ, ἁπτόμεναι κατὰ τὰ Γ, Δ, καὶ ἐπιζευχθεῖσαι ἀπὸ τῶν Γ, Δ σημείων ἐπὶ τὴν κορυφὴν τοῦ κώνου αἱ ΔΒ, ΓΒ, καὶ διὰ μὲν τῶν ΓΒ, ΓΚ ἐπίπεδον ἐκβεβλήσθω, διὰ δὲ τῶν ΔΒ, ΔΚ ὁμοίως ἕτερον ἐπίπεδον ἐκβεβλήσθω· συνεχῆ ἄρα συμπεσεῖται τὰ ἐπίπεδα, αἱ τε γὰρ ΓΒ, ΔΒ συμπίπτουσι, καὶ αἱ ΓΚ, ΚΔ. συμπιπτέτωσαν ἐν τῷ ἐπιπέδῳ, καὶ ἔστω αὐτῶν κοινὴ τομὴ ἡ ΒΚ· λέγω ὅτι ὅπου δ' ἂν ἐπὶ τῆς ΒΚ τεθῇ τὸ ὄμμα, ἴσον τοῦ κώνου τὸ ὁρώμενον φαίνεται. κείσθω γὰρ ἐπὶ τῆς ΒΚ τὸ Ζ ὄμμα, καὶ ἤχθω διὰ τοῦ Ζ, ᾧ μὲν μὲν τῇ ΚΔ ἡ ΖΝ, παρὰ δὲ τὴν ΚΓ ἡ ΖΣ. συνεχεῖς αἱ ΖΝ, ΖΣ τῆς τοῦ κώνου ἐπιφανείας κατὰ τὰ Σ, Ν ἐφάπτονται, [3] τὰ δὴ ἐν τῇ ΒΓΔ τοῦ κώνου ἐπιφανείᾳ τῶν ᾧ παραλλήλων κύκλων τμήματα ὅμοιά ἐστι· τὰ ἄρα ἐν τῇ ΒΔΓ τοῦ κώνου ἐπιφανείᾳ διαστήματα ὁρώμενα ἴσα φαίνεται. ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ τῶν ΖΣ, ΖΝ γωνία τῇ περιεχομένῃ ὑπὸ τῶν ΚΓ, ΚΔ· [4] ἴσον ἂν φαίνοιτο τὸ ΣΝ διάστημα τοῦ κώνου τῷ ΓΔ διαστήματι· ὥστε ὅπου ἂν τὸ ὄμμα τεθῇ ἐπὶ τῆς ΚΒ εὐθείας, ἴσον ἀεὶ φανήσεται τὸ ὁρώμενον.

SIT enim conus, cujus baſis ſit ΓΔ circulus, vertex autem ſit punctum Β; oculus vero ſit Κ, à quo procedant radii ΚΔ, ΚΓ, qui tangant [ipſum ΓΔ circulum] in punctis Γ, Δ, à quibus ad verticem coni ducantur rectæ lineæ ΔΒ, ΓΒ; educantur autem duo plana, alterum quidem per lineam ΓΒ & radium ΓΚ, alterum autem eodem modo per lineam ΔΒ & radium ΔΚ: concurrent igitur hæc duo plana, propterea quod rectæ lineæ ΓΒ, ΔΒ concurrunt, & radii ΓΚ, ΚΔ etiam concurrunt. concurrant igitur, ſeque mutuo ſecent duo illa plana, ſitque eorum communis ſectio linea ΒΚ: fore aſſero ut ab oculo, in quolibet puncto lineæ ΒΚ collocato, æqualis coni portio cernatur. ſumatur enim in linea ΒΚ aliquod punctum quod ſit Ζ, in quo ſit oculus; & per punctum Ζ ducatur recta linea ΖΝ parallela ipſi ΚΔ; ipſi autem ΚΓ parallela ΖΣ. igitur rectæ lineæ ΖΝ, ΖΣ tangunt coni ſuperficiem in punctis Σ, Ν; ſectiones enim circulorum parallelorum in coni ſuperficie ΒΓΔ ſimiles ſunt: intervalla igitur quæ cernuntur in ΒΔΓ ſuperficie coni æqualia apparent. cum enim angulus, quem comprehendunt radii ΖΣ, ΖΝ, æqualis ſit ipſi angulo quem comprehendunt radii ΚΓ, ΚΔ: igitur ſuperficiei coni intervallum ΣΝ æquale apparebit intervallo ΓΔ: quocirca ubicunque ponatur oculus in recta ΚΒ, ſpectata coni portio ſemper æqualis apparebit.



ΠΡΟΤΑΣΙΣ λδ'.

[5] Ἴσου δὲ ἀεὶ τοῦ ὄμματος ἀπὸ τοῦ κώνου ἀπέχοντος, μεταφέρου μὲν τοῦ ὄμματος τὸ-

PROP. XXXIV. THEOR.

Oculo moto per lineam æque diſtantem ſuperficiei coni, ſi in ſublime attolla-

1 Brevius & planius, ut puto, ſic: Rectæ lineæ à coni vertice ad baſis planum extra conum ductæ quacunque in parte oculus ſtatuatur, τὸ ὁρώμενον τοῦ κώνου ἴσον ἀεὶ παντὸς ὀφθήσεται. neque mihi ulla ſatis juſta cauſa apparet, cur his ambagibus voluerit proponere. *Savil.* 2 Addit Reg. τῆς ὕψους ἐπὶ παραλλήλου ἐπιπέδου τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὑπαρχούσης. 3 Hoc verum quidem eſt, ſed non probat ΖΣ, ΖΝ contingere conum in Σ & Ν. ac eſt quidem illud ſatis per ſe manifeſtum, cum plana ΚΒ, ΚΒΓ conum tangant. mihi plane uſque ad ἐπεὶ (quod tunc legendum eſſet ἀλλ' ἐπεὶ) omnia περιττὰ videntur. nam ſine iis, ut puto, conſtat demonſtratio. credo eſſe ex *Scholio. Idem.* 4 Hæc verba confirmant id, quod per prop 29. annotavi, illud hic dici ἐφαπτὴν in conis & cylindris, quod oculis directa ex adverſo objacet. *Idem.* 5 Id eſt, cum eſt in recta linea parallela rectæ cuipiam à circumferentia baſis ad verticem. *Idem.*

tur oculus, coni portio quæ cernitur minor apparet; ſi vero oculus deprimatur, major.

ΦΑΙΝΟΜΕΝΩΝ [1]. ταπεινοτέρω δὲ, μεῖζον.

SIT coni vertex in puncto Δ, baſis autem ejuſdem coni ſit circulus KBE, & ducatur KΘ parallela ipſi BΔ, colloceturque oculus in Θ: dico coni portionem ſpectatam minorem apparere oculo poſito in puncto Θ quam in puncto Σ.



Connectantur enim à puncto Δ ad puncta Θ, Σ rectæ lineæ ΘΔ, ΔΣ, & producantur uſque ad puncta N, Λ. igitur portiones coni, quæ cernuntur, inæquales apparent, ſi oculus conſtituatur nunc in N, nunc in Λ; & minor quidem coni portio apparet ex N, major autem ex Λ: portio autem coni quæ cernitur ex N æqualis eſt ei quæ cernitur ex Θ, & portio quæ cernitur ex Λ æqualis eſt ei quæ cernitur ex Σ, ut in præcedenti oſtenſum eſt: quare oculus poſitus in puncto Θ minorem coni portionem ſe videre exiſtimat, quam cum collocatur in puncto Σ.

ΕΣτω γὰρ κώνου κορυφὴ μὲν τὸ πρὸς τῷ Δ σημεῖον, βάσις δὲ ὁ κύκλος ΚΒΕ, καὶ ἤχθω ἡ ΚΘ παρὰ τὴν ΒΔ, καὶ κείσθω τὸ ὄμμα ἐπὶ τοῦ Θ· φημὶ δὴ ἔλασσον ὀφθήσεσθαι τοῦ κώνου τὸ ὁρώμενον, τεθέντος δὲ ὄμματος ἐπὶ μὲν τοῦ Θ σημείου ἥπερ ἐπὶ μὲν τοῦ Σ.

Ἐκπεζεύχθωσαν γὰρ ἀπὸ τοῦ Δ σημείου ἐπὶ τὰ Θ, Σ σημεῖα αἱ ΘΔ, ΔΣ, καὶ [2] ἐκβεβλήθωσαν ἐπὶ τὰ Ν, Λ. φανερὸν ἐπὶ μὲν τοῦ Ν καὶ ἐπὶ τοῦ Λ σημείου τεθέντος ὄμματος, ἄνισα φαίνεσθαι τὰ ὁρώμενα τοῦ κώνου, καὶ ἔλασσον μὲν φαίνεσθαι τὸ πρὸς τῷ Ν, μεῖζον δὲ τὸ πρὸς τῷ Λ. ἴσον δὲ τὸ μὲν πρὸς τῷ Ν τῷ πρὸς τῷ Θ, τὸ δὲ πρὸς τῷ Λ τῷ πρὸς τῷ Σ, ὡς ἐν τῷ πρὸ αὐτοῦ ἐδείχθη· τοῦ ἄρα ὄμματος πρὸς τῷ Θ σημείῳ ὄντος, ἔλασσον φαίνεσθαι τὸ ὁρώμενον τοῦ κώνου ἥπερ πρὸς τῷ Σ.

PROP. XXXV. THEOR.

ΠΡΟΤΑΣΙΣ λε'.

In circulo ſi à centro excitetur linea recta ad angulos rectos plano ipſius circuli, oculuſque in ea linea conſtituatur; circuli diametri æquales apparebunt.

Ἐν κύκλῳ ἐάν ἀπὸ τοῦ κέντρου πρὸς ὀρθὰς τῇ ἀχθείσῃ πρὸς τοῦ κύκλου ἐπιπέδῳ, ᾖ δὲ ταύτης τεθῇ τὸ ὄμμα· ἴσαι αἱ διάμετροι τοῦ κύκλου φαίνονται.

SIT enim circulus cujus centrum K; & à puncto K erigatur recta linea KB, quæ angulos rectos faciat cum circuli plano; ponaturque oculus in puncto B, & ducantur diametri ΔΓ, ΔZ: dico diametrum ΔΓ æqualem videri diametro ΔZ.



Ducantur enim rectæ lineæ BA, BZ, BΓ, BΔ. duæ igitur rectæ BK, KZ duabus BK, KΓ ſunt æquales altera alteri. angulus autem BKΓ angulo BKZ eſt æqualis: quare [per 4.1.] baſis BZ æqualis eſt baſi BΓ. eademque ratione BΔ æqualis eſt ipſi BA: duæ igitur rectæ ΔB, BZ duabus rectis ΓB, BA ſunt æquales; & ΔZ æqualis eſt ipſi ΓA: angulus igitur ΔBZ [per 8. 1.] æqualis eſt angulo ΓBA. ſed [per 7. poſit.] quæ ſub æqualibus angulis ſpectantur æqualia apparent: æqualis igitur apparet ΓA diameter ipſi ΔZ diametro.

ΕΣτω γὰρ κύκλος, οὗ κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Κ πρὸς ὀρθὰς ἀνήχθω τῷ ἐπιπέδῳ τοῦ κύκλου ἡ ΚΒ, τὸ δὲ ὄμμα κείσθω ἐπὶ Β, καὶ διάμετροι ἤχθωσαν αἱ ΑΓ, ΔΖ· φημὶ δὴ τὴν ΑΓ τῇ ΔΖ ἴσην φαίνεσθαι.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΑ, ΒΖ, ΒΓ, ΒΔ· ἐπεὶ οὖν δύο αἱ ΒΚ, ΚΖ δυσὶ ταῖς ΒΚ, ΚΓ ἴσαι εἰσὶν, ἑκατέρα ἑκατέρᾳ. ἔστι δὲ καὶ ἡ ΒΚΓ γωνία τῇ ΒΚΖ γωνίᾳ ἴση· ἴση ἄρα καὶ ἡ ΒΖ βάσις τῇ ΒΓ βάσει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΔ τῇ ΒΑ ἐστιν ἴση· δύο δὴ αἱ ΔΒ, ΒΖ δυσὶ ταῖς ΓΒ, ΒΑ ἴσαι εἰσὶν, ἔστι δὲ καὶ ἡ ΔΖ τῇ ΓΑ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΒΖ γωνίᾳ τῇ ὑπὸ ΓΒΑ ἴση ἐστίν. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται· ἴση ἄρα ἡ ΓΑ τῇ ΔΖ φαίνεται.

1 Sed tamen plus ἐφθόντων. *Savil.* 2 Donec ſc. concurrant cum plano baſis. *Idem.*

ΠΡΟΤΑΣΙΣ λϛ'.

Καὶ ἐὰν ἡ ἀπὸ τοῦ κέντρου ἀναχθεῖσα μὴ πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ὑπιπέδῳ, ἴσον δὲ τῇ ἐκ τοῦ κέντρου· ἴσαι αἱ διάμετροι φανήσονται.

PROP. XXXVI. THEOR.

Si vero linea ex centro excitata non ſit ad angulos rectos plano circuli, æqualis tamen ſemidiametro; diametri æquales apparebunt.



ΕΣτω κύκλος οὗ κέντρον τὸ Κ, καὶ ἀπὸ τοῦ Κ μὴ πρὸς ὀρθὰς ἀνήχθω τῷ ὑπιπέδῳ ἡ ΚΒ, ἴση δὲ ἔστω τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, καὶ ἐπεζεύχθωσαν ἀπὸ τοῦ Β σημείου αἱ αὐταὶ ταῖς πρότερον. οὐκοῦν ἐπεὶ ἴσαι εἰσὶν ἀλλήλαις αἱ ΔΚ, ΚΒ, ΚΖ, ὀρθὴ ἂν εἴη ἡ περιεχομένη γωνία ὑπὸ τῶν ΖΒΔ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΒΓ ὀρθὴ ἂν εἴη· ἴσαι ἄρα ἔσονται ἀλλήλαις. τὰ δὲ ὑπὸ ἴσων γωνιῶν ὁρώμενα ἴσα φαίνεται· ἴση ἄρα ἡ ΔΖ τῇ ΑΓ φαίνεται.

SIT circulus, cujus centrum K; & ex K in ſublime ducatur KB, quæ non faciat angulos rectos cum plano circuli; æqualis vero ſit ipſius ſemidiametro; & à puncto B, in quo eſt oculus, ducantur lineæ ut prius. cum igitur æquales inter ſe ſint ΔK, KB, KZ, rectus erit [per 31.3.] angulus ZBΔ. eademque ratione rectus etiam erit angulus ABΓ: ideoque & æquales inter ſe ſunt. quæ autem ſub æqualibus angulis ſpectantur æqualia apparent: æqualis ergo apparet ΔZ diameter ipſi AΓ diametro.

[1] ΑΛΛΑ δὴ ἡ ΑΖ μήτε ἴση ἔστω τῇ ἐκ τοῦ κέντρου, μήτε πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ὑπιπέδῳ, ἴσας δὲ γωνίας ποιείτω [2] τάς ὑπὸ ΔΑΖ, ΖΑΓ καὶ ΚΑΖ, ΖΑΒ· λέγω ὅτι καὶ οὕτως αἱ διάμετροι ἴσαι φανήσονται. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΓ, κοινὴ δὲ ἡ ΑΖ, καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΔΖ βάσει τῇ ΖΓ ἴση ἐστί, καὶ γωνία ἡ ὑπὸ ΔΖΑ τῇ ὑπὸ ΑΖΓ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ ὑπὸ ΚΖΑ τῇ ὑπὸ ΑΖΒ ἐστιν ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΔΖΒ ὅλῃ τῇ ὑπὸ ΚΖΓ ἐστὶν ἴση. ὥστε αἱ διάμετροι ἴσαι φανήσονται, τῆς ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον ἴσας περιεχούσης γωνίας μετὰ τῶν διαμέτρων, ἄν τε πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ὑπιπέδῳ, ἄν τε μή.

SED AZ neque æqualis ſit ſemidiametro, neque cum plano circuli angulos rectos faciat, ſed angulos ΔAZ, ZAΓ & KAZ, ZAB æquales faciat: dico hoc etiam modo fore ut diametri æquales appareant [oculo in Z conſtituto.] quia enim æqualis eſt ΔA ipſi AΓ, ipſa vero AZ communis eſt, & æquales angulos cum eis facit; ergo [per 4. 1.] baſis ΔZ æqualis eſt baſi ZΓ; & angulus ΔZA angulo AZΓ. eodem modo oſtendemus angulum KZA æqualem eſſe angulo AZB: quare totus ΔZB angulus toti KZΓ angulo eſt æqualis. ideoque diametri [ΔB, KΓ] æquales apparebunt, cum radius qui ab oculo tendit in centrum circuli æquales angulos facit cum diametris, ſive radius ille rectus ſit ad planum circuli, ſive non.



ΠΡΟΤΑΣΙΣ λζ'.

[3] Ἐὰν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον προσπίπτουσα τῷ κύκλου μήτε πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ὑπιπέδῳ, μήτε ἴση ᾖ τῇ ἐκ τοῦ κέντρου, μήτε ἴσας γωνίας περιέχουσα μετὰ

PROP. XXXVII. THEOR.

In circulo, ſi radius ab oculo in centrum tendens neque rectus ſit ad planum circuli, neque æqualis ſemidiametro, nec angulos æquales contineat

1 In hac πτώσει duæ tantum diametri æquales φαίνονται, cum recta AZ non poſſit cum pluribus angulos ad centrum efficere æqualeis, ducta autem à Z ad planum perpendiculari, punctoque incidentiæ cum centro connexo, angulus fiet omnium minimus ex ſemidiametro πρὸς τῷ ἀπὸ τοῦ κέντρου ἀναχθεῖσαι, & propiores remotioribus majores, æquales vero πρὸς ἀναχθεῖσαν facient, qui cum ea ſemidiametro ad utramque partem angulos æqualeis faciunt, vel ab ea abſunt æqualiter. *Savil.* 2 Neque enim cum pluribus poteſt. *Idem.* 3 Hæc 37. propoſitio vel eſt Scholiaſtæ alicujus (id quod mihi veriſimillimum videtur, ita tamen ut poſt duo proxima theoremata reponi debeat; vel 38 & 39 lemmata dicenda ſunt ad hoc theorema neceſſaria, vel certe, quum diſerte theoremata appellet non λεμμάτια (ὡς ἐν τοῖς θεωρήμασιν ἀποδέδεικται) duobus ſequentibus hoc theorema poſtponi debuit. neque enim theoremata ſequentia ad præcedentium demonſtrationem aſſumi poſſunt. *Idem.*

cum ſemidiametris, ſed major ſit vel minor ſemidiametro; diametri inæquales apparebunt.

τ ὁκ τῦ κέντρυ, μείζων δὲ ἢ ἐλάσσων τῆς ὁκ τῦ κέντρυ· ἄνισοι αἱ διάμετροι φανῆνται.

SIT circulus, cujus centrum A; & ab oculo B ad circuli centrum ducatur recta BA, quæ neque rectos angulos faciat cum plano circuli, neque æqualis ſit ſemidiametro circuli, nec æquales angulos contineat cum ſemidiametris: aſſero fore ut ipſius circuli diametri inæquales appareant.



Ducatur enim ΓZ diameter ad angulos[1] rectos ipſi AB; ducatur item ΔK, quæ inæquales faciat angulos cum linea AB; & connectantur rectæ BΓ, BΔ, BK, BZ; ſitque primo BA major ſemidiametro AK: major igitur eſt angulus ΓBZ angulo KBΔ, ut in theorematis [ſubnexis] demonſtratur. quæ autem ſub majore angulo ſpectantur majora apparent: igitur diameter ΓZ major apparet diametro ΔK. quod ſi BA minor ſit quam AK, major apparebit ΔK quam ΓZ.

Ἔστω γὰρ κύκλος ὃ κέντρον τὸ A, καὶ ἀπὸ τῦ B ὄμματος ἐπὶ τὸ κέντρον τῦ κύκλυ εὐθεῖα ἤχθω ἡ BA, καὶ ἔτω μήτε πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ, μήτε ἴση τῇ ὁκ τῦ κέντρυ τῦ κύκλυ, μήτε ἴσας γωνίας περιέχουσα μετὰ τῶν ὑπ' ἐκ κέντρυ· λέγω ὅτι αἱ διάμετροι τῦ κύκλυ ἄνισοι φανήσονται.

Ηχθω γὰρ ἡ μὲν ΓZ διάμετρος πρὸς ὀρθὰς ἔσα τῇ AB, ἡ δὲ ΔK ἀνίσυς [1] ποιοῦσα γωνίας πρὸς τῇ AB, καὶ ἐπεζεύχθωσαν αἱ BΓ, BΔ, BK, BZ, ἔτω δὲ πρότερον ἡ BA τῆς AK μείζων· ὡκοῦν μείζων ἐστὶν ἡ περιεχομένη γωνία ὑπὸ τῶν ΓBZ τῆς περιεχομένης ὑπὸ τῶν KBΔ, ὡς ἐν τοῖς θεωρήμασιν ἀποδέδεικται. καὶ ἡ ὑπὸ μείζονος γωνίας ὁρώμενα μείζονα φαίνεται· μείζων ἄρα ἡ ΓZ τῆς ΔK φαίνεται. ἐὰν δὲ ἡ BA τῆς AK ἐλάσσων ᾖ, μείζων φαίνεται ἡ ΔK τῆς ΓZ.

Ad horum demonſtrationem præcognita eſſe oportet quæ ſequuntur.

Προσλαμβανόμενα εἰς τέτων ἀποδεῖξιν.

Si ab oculo in ſublimi poſito cadant duæ rectæ lineæ, altera ad centrum circuli, quæ perpendicularis non ſit plano circuli, altera vero quæ perpendicularis ſit circuli plano; & à puncto, in quod cadit perpendicularis, connectatur recta linea ad centrum circuli: angulus comprehenſus ſub hac linea, & ea quæ à centro ad oculum ducta eſt, minimus eſt omnium angulorum contentorum ſub linea ab oculo ad centrum ducta, & lineis per centrum ductis.

Ἐὰν ἀπὸ μετεώρυ ὄμματος πρὸς κύκλον προσπίπτωσι δύο εὐθεῖαι, ἡ μὲν πρὸς τὸ κέντρον μὴ πρὸς ὀρθὰς τῷ τῦ κύκλυ ἐπιπέδῳ, ἡ δὲ κάθετος ὖσα τῷ ἐπιπέδῳ, καὶ ἀπὸ τῦ σημείυ, εἰς ὃ πίπτει ἡ κάθετος, εἰς τὸ κέντρον ἀχθῇ εὐθεῖά τις· ἡ περιεχομένη γωνία ὑπό τε τῆς ἀπὸ τῦ σημείυ εἰς τὸ κέντρον, καὶ τῆς ἀπὸ τῦ ὄμματος πρὸς τὸ κέντρον, ἐλαχίστη ἐστὶ γωνιῶν ἁπασῶν περιεχομένων ὑπό τε τῆς ἀπὸ τῦ ὄμματος πρὸς τὸ κέντρον, καὶ τῶν διὰ τῦ κέντρυ διαγομένων εὐθειῶν.

SIT circulus, cujus centrum A; oculus vero ſit B, à quo perpendicularis ducta in planum circuli cadat non in A centrum, ſed extra centrum in Γ nempe, ſitque BΓ; & à puncto Γ ad punctum A connectatur recta ΓA, item ex puncto A in punctum B ducatur AB: dico angulorum omnium, qui fieri poſſunt ex concurſu lineæ BA cum alia qualibet linea tranſeunte per punctum A, minimum eſſe angulum ΓAB. ducatur enim per punctum A recta linea ΔAE; & à puncto Γ in ΔE ducatur perpendicularis ΓZ, quæ ſit in



Ἔστω κύκλος ὃ κέντρον τὸ A, ὄμμα δὲ τὸ B, ἀφ' ὃ ἡ ἐπὶ τῦ κύκλυ κάθετος ἀγομένη μὴ πιπτέτω ἐπὶ τὸ κέντρον τὸ A, ἀλλὰ ἐκτὸς, καὶ ἔτω ἡ BΓ, καὶ ἐπεζεύχθω ἀπὸ τῦ Γ ἐπὶ τὸ A ἡ ΓA, ἐπὶ δὲ ἀπὸ τῦ A ἐπὶ τὸ B ἡ AB· λέγω ὅτι πασῶν ἁπλῶς τῶν διαγομένων εὐθειῶν, καὶ πασῶν πρὸς τῇ BA γωνίας, ἐλαχίστη ἐστὶν ἡ ὑπὸ τῶν ΓAB. ἐπεζεύχθω γὰρ εὐθεῖα ἡ ΔAE, καὶ ἤχθω ἀπὸ τῦ Γ ἐπὶ τὸ ΔE κάθετος ἐν τῷ ἐπιπέδῳ ἡ ΓZ, καὶ ἐπε-

1 Nam ſi & ipſa æquales angulos faceret, BA eſſet καθετος ad planum circuli, per 4. 11. *Savil.*

ζεύχθω

ζεύχθω ἡ ΒΖ· καὶ ἡ ΒΖ ἄρα ἐπὶ τὸ Δ Ε κάθετος ἐστιν. ἐπεὶ οὖν ὀρθή ἐστιν ἡ ὑπὸ ΓΖΑ, ἡ ὑπὸ ΑΓΖ ἄρα ἐλάσσων ἐστὶν ὀρθῆς· μείζων ἄρα ἡ ΑΓ τῆς ΑΖ· ἡ ΒΑ ἄρα πρὸς τὴν ΑΖ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν ΑΓ. ἀλλὰ ἡ ὑπὸ τῶν ΑΓΒ γωνία καὶ ἡ ὑπὸ τῶν ΒΖΑ εἰσὶν ὀρθαί, καὶ εἰσὶν αἱ ΓΑ, ΑΖ ἄνισοι· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ τῶν ΖΑΒ τῆς ὑπὸ τῶν ΓΑΒ ἐστὶ μείζων. ὁμοίως δὲ δείξεται ὅτι καὶ πασῶν τῶν ἀπὸ τοῦ Α ἀγομένων εὐθειῶν, καὶ πασῶν πρὸς τῇ ΑΒ εὐθείᾳ γωνίας, ἐλαχίστη ἐστὶν ἡ ὑπὸ τὴν ΓΑΒ.

eodem plano, in quo Δ Ε; connectaturque recta ΒΖ: igitur [per lem. 1.] ΒΖ perpendicularis eſt in lineam Δ Ε. cum ergo angulus ΓΖΑ rectus ſit, angulus igitur ΑΓΖ [per 17. 1.] minor eſt recto: majus ergo [per 19. 1.] eſt latus ΑΓ latere ΑΖ: quare [per 8. 5.] recta ΒΑ ad ΑΖ majorem rationem habet quam ad ΑΓ. ſed duo anguli ΑΓΒ, ΒΖΑ recti ſunt, & ΓΑ, ΑΖ rectæ lineæ inæquales ſunt: ergo [per lem. 2.] reliquus angulus ΖΑΒ reliquo angulo ΓΑΒ eſt major. eodem modo oſtendemus omnium angulorum, qui fiunt ex concurſu lineæ ΑΒ cum lineis trajectis per punctum Α, minimum eſſe angulum ΓΑΒ.

ΛΗΜΜΑ α'.

Οτι δὲ ἡ ΖΒ τῇ Δ Ε ὀρθὴ πρὸς ὀρθὰς δείξομεν οὕτως.

Ἐπεὶ ἡ ΒΓ τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς, καὶ πάντα ἄρα τὰ διὰ τῆς ΒΓ ἐπίπεδα ἐκβαλλόμενα τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ἐν δὲ τῶν ἀπὸ τῆς ΒΓ ἐκβαλλομένων ἐπιπέδων ἐστὶ τὸ ΒΓΖ τρίγωνον· καὶ τὸ ΒΓΖ ἄρα τρίγωνον τῷ τοῦ κύκλου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. ἐπεὶ οὖν δύο ἐπίπεδα, τό τε τοῦ Ε Δ κύκλου καὶ τὸ τοῦ ΒΓΖ τριγώνου, τέμνουσιν ἄλληλα, καὶ τῆς κοινῆς τομῆς αὐτῶν τῆς ΓΖ πρὸς ὀρθάς ἐστιν ἡ Δ Ε, καὶ τῷ τοῦ κύκλου ἐπιπέδῳ, κάθετος ἄρα ἥκται ἡ ΓΖ ἐπὶ τὴν Ε Δ· καὶ ἡ Ε Δ ἄρα τῷ τοῦ ΒΓΖ τριγώνου ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς· ὥστε καὶ πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ τοῦ ΓΖΒ τριγώνου ἐπιπέδῳ, ἐστὶ πρὸς ὀρθάς· ἡ Δ Ε ἄρα τῇ ΖΒ ἐστὶ πρὸς ὀρθάς· ἀνάπαλιν ἄρα ἡ ΖΒ τῇ Ε Δ διαμέτρῳ ἐστὶ πρὸς ὀρθάς.

LEMMA I.

Quod autem recta ΖΒ ad angulos rectos ſit ipſi Δ Ε; oſtendemus hoc modo.

Quia enim ΒΓ eſt ad rectos angulos plano circuli: ergo [per 18. 11.] plana omnia trajecta per lineam ΒΓ angulos rectos faciunt cum plano circuli. ſed triangulum ΒΓΖ eſt unum de planis trajectis per lineam ΒΓ; ergo triangulum ΒΓΖ ad angulos rectos inſiſtit plano circuli. cum ergo duo plana, planum nempe circuli Ε Δ & planum trianguli ΒΓΖ ſe mutuo ſecent, & ad ipſorum communem ſectionem, quæ eſt ΓΖ, ipſa Δ Ε angulos rectos faciat cum plano circuli: (ducta enim eſt ΓΖ perpendicularis in ipſam Ε Δ) igitur recta Ε Δ angulos rectos facit cum plano ipſius trianguli ΒΓΖ: quare [per 3. def. 11.] ad omnes lineas à quibus tangitur, poſitas in eodem plano trianguli ΓΖΒ, angulos rectos facit: ideoque Δ Ε ad ipſam ΖΒ angulos rectos facit: converſim igitur ΖΒ eſt ad angulos rectos ipſi Ε Δ diametro circuli.

ΛΗΜΜΑ β'.

Επι δὲ δείξομεν ὅτι ἡ ΖΑΒ γωνία τῆς ΓΑΒ γωνίας μείζων ἐστίν.

Ἐστω γὰρ δύο τρίγωνα τὰ ΒΓΑ, ΒΖΑ ὀρθὰς ἔχοντα τὰς πρὸς τοῖς Γ, Ζ γωνίας· καὶ ἡ ΒΑ πρὸς ΖΑ μείζονα λόγον ἐχέτω ἤπερ πρὸς τὴν ΓΑ· λέγω ὅτι μείζων ἐστὶν ἡ ὑπὸ ΖΑΒ γωνία τῆς ὑπὸ ΓΑΒ γωνίας.



Ἐπεὶ γὰρ ἡ ΒΑ πρὸς τὴν ΖΑ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν ΓΑ· καὶ ἀνάπαλιν ἄρα ἡ ΖΑ πρὸς τὴν ΑΒ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΓΑ πρὸς ΑΒ· ὥστε ἡ ΓΑ πρὸς ΑΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΖΑ πρὸς ΑΒ. πεποιήσθω γὰρ ὡς ἡ ΓΑ πρὸς ΑΒ οὕτως ἡ ΖΑ πρὸς ἐλάσσονα τὴν ΑΒ τὴν ΑΔ· ἰσογώνια ἄρα ἐστὶ τὰ τρίγωνα τὰ ΒΓΑ, ΔΖΑ· ὥστε ἴση ἐστὶν ἡ ὑπὸ ΓΑΒ γωνία τῇ ὑπὸ ΖΑΔ· μείζων ἄρα ἡ ὑπὸ ΖΑΒ γωνία τῆς ὑπὸ ΓΑΒ.

Εκ δὲ δὴ τούτων δείξομεν ὅτι

LEMMA II.

Præterea oſtendemus angulum ΖΑΒ majorem eſſe angulo ΓΑΒ.

Sint duo triangula ΒΓΑ, ΒΖΑ, qui rectos habeant angulos poſitos ad Γ, Ζ; habeat autem ΒΑ majorem rationem ad ΖΑ, quam ad ΓΑ: dico angulum ΖΑΒ majorem eſſe angulo ΓΑΒ.

Cum enim ΒΑ ad ΖΑ majorem rationem habeat quam ad ΓΑ: converſim [1] igitur ΖΑ ad ΑΒ minorem rationem habet quam ΓΑ ad ΑΒ: quare ΓΑ ad ΑΒ majorem rationem habet quam ΖΑ ad ΑΒ. fiat ergo ut ΓΑ ad ΑΒ ita ΖΑ ad minorem quam ΑΒ, nempe ΑΔ; æquiangula ergo ſunt [per 7. 6.] triangula ΒΓΑ, ΔΖΑ: quare angulus ΓΑΒ æqualis eſt angulo ΖΑΔ: ideoque angulus ΖΑΒ major eſt angulo ΓΑΒ.

Ex his igitur oſtendemus quod

1 Hæc & hiſce ſimilia demonſtrantur à Pappo in Lib. 7. *Collect. Math.*

Prop. XXXVIII. Theor.

In circulo, ſi radius ab oculo in centrum tendens, & inæquales angulos comprehendens cum diverſis diametris, non ſit rectus ad planum circuli, ſed ſit major ſemidiametro: diametri inæquales apparebunt; & ea major videbitur, ad quam radius ab oculo ad centrum tendens eſt perpendicularis.

ΠΡΟΤΑΣΙΣ λη'.

Εὰν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον προσπίπτουσα, καὶ ἀνίσους γωνίας περιέχουσα μετὰ διαφόρων διαμέτρων, μὴ πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ἐπιπέδῳ, μείζων δὲ τῆς ἐκ τοῦ κέντρου· ἄνισοι αἱ διάμετροι φανήσονται, καὶ μείζων, ἐφ' ἣν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον ὀρθή κάθετος.

SIT circulus ABΓΔ, ducanturque duæ diametri AB, ΓΔ ſe mutuo ſecantes ad angulos rectos; ſit vero oculus E, à quo ad centrum connexa recta linea EZ faciat rectos quidem angulos cum ΓΔ, quoſvis autem alios cum ipſa AB; ſit autem ipſa EZ major ſemidiametro circuli. quia ergo ΓΔ ad angulos rectos eſt utrique ipſarum AB, EZ: omnia igitur plana trajecta per lineam ΓΔ [per 4. & 18. 11.] ad angu-

Εστω κύκλος ὁ ΑΒΓΔ, καὶ διήχθωσαν δύο διάμετροι αἱ ΑΒ, ΓΔ πέμνουσαι ἀλλήλας πρὸς ὀρθάς, ὄμμα δὲ ἔστω τὸ Ε, ἀφ' ἣν ἡ ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη ἡ ΕΖ πρὸς ὀρθὰς μὴ ἔστω τῇ ΓΔ, πρὸς δὲ τινὰ ΑΒ τυχοῦσαν γωνίαν περιεχέτω, καὶ ἔστω ἡ ΕΖ ἐκατέρας [2] τῶν ἐκ τοῦ κέντρου μείζων. ἐπεὶ οὖν ἡ ΓΔ ἑκατέρα τῶν ΑΒ, ΕΖ ἐστὶ πρὸς ὀρθάς· καὶ πάντα ἄρα τὰ διὰ τῆς ΓΔ ἐπίπεδα ἐκβαλλόμενα





los rectos erunt plano trajecto per lineas EZ, AB. itaque ex E puncto ad planum ſubjectum ducatur perpendicularis: cadet ergo in communem ipſorum planorum ſectionem, quæ eſt AB. cadat ergo, ſitque EK; ducaturque diameter HΘ; ſumaturque linea ΛM æqualis diametro circuli, quæ bifariam ſecetur in puncto N; à quo excitetur linea ſublimis NΞ, quæ ſit ad ad angulos rectos ipſi ΛM; ſit vero linea NΞ æqualis ipſi EZ: deſcriptum igitur ſegmentum circuli tranſiens per puncta Λ,Ξ,M majus eſt ſemicirculo, propterea quod linea NΞ major eſt utravis duarum linearum ΛN, MN. ſit ergo illud circuli ſegmentum ΛΞM, & connectantur lineæ ΞΛ, ΞM: angulus ergo in puncto Ξ poſitus, qui ſub lineis ΛΞ & MΞ continetur, æqualis eſt angulo poſito in puncto E, qui continetur ſub lineis connexis à puncto E ad puncta Γ, Δ. rurſus, angulo contento ſub EZ, ZH, id

τῷ διὰ τῶν EZ, AB ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν. ἤχθω ἐν ἄρα τὸ Ε σημεῖον ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος· ἐπὶ τινὰ κοινὴν ἄρα τομὴν πίπτει τὰ ἐπίπεδα, [3] τὴν AB. πιπτέτω ἐν, καὶ ἔστω ἡ EK, καὶ διήχθω διάμετρος ἡ HΘ, καὶ κείσθω τῇ διαμέτρῳ τοῦ κύκλου ἴση ἡ ΛM, καὶ τετμήσθω δίχα κατὰ τὸ N, καὶ ἀνήχθω ἀπὸ τοῦ N τῇ ΛM πρὸς ὀρθὰς μεπώρος εὐθεῖα ἡ NΞ, καὶ ἔστω ἡ NΞ τῇ EZ ἴση· τὸ ἄρα περὶ τὴν ΛM γραφόμενον τμῆμα καὶ ἐρχόμενον διὰ τοῦ Ξ μεῖζον ἔσται τοῦ ἡμικυκλίου, ἐπειδήπερ ἡ NΞ μείζων ἐστὶν ἑκατέρας τῶν ΛN, MN. ἔστω τὸ ΛΞM, καὶ ἐπεζεύχθωσαν αἱ ΞΛ, ΞM· [4] ἡ ἄρα πρὸς τῷ Ξ γωνία, ἡ περιεχομένη ὑπὸ τῶν ΛΞM, ἴση ἐστὶ τῇ πρὸς τῷ Ε σημείῳ, τῇ περιεχομένῃ ὑπὸ τῶν ὑπὸ τῶν ΕΖ, ΖΗ ἴση

1 Εὰν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς τὸ κέντρον προσπίπτουσα, μὴ πρὸς ὀρθὰς ᾖ τῷ τοῦ κύκλου ἐπιπέδῳ, περιέχῃ δὲ ἀνίσους γωνίας μετὰ διαφόρων διαμέτρων, καὶ μείζων ᾖ τῆς ἐκ τοῦ &c. ſic enim multo proponitur aptius. *Savil.* 2 Malo τῆς. *Idem.* 3 Extenſam, ſi opus eſt. *Idem.* 4 Quia duo ſunt triangula NΞM, ZEΔ, itemque ΛΞN, ΓEZ, quæ duo latera duobus lateribus habeant æqualia, & angulum comprehenſum angulo æqualem. *Idem.* 5 Qui ſc. rectus non eſt; tum enim EZ eſſet erecta ad planum contra hypotheſin. *Idem.*

ἡ ὑπὸ

ἡ ὑπὸ τ ΑΝ, ΝΟ, ᾗ ἀφῃρήσθω ἴση τῇ ΕΖ ἡ ΝΟ, ⸂ ἐπεζεύχθωσαν αἱ ΛΟ, ΜΟ, ⸂ περιγεγράφθω περὶ τὸ ΛΟΜ τρίγωνον τμῆμα κύκλου· ἔσται δὴ ᾗ ἡ πρὸς τῷ Ο σημείῳ γωνία, ἡ περιεχομένη ὑπὸ τ ΛΟ, ΟΜ, ἴση τῇ ὑπὸ τ ΗΕΘ. ἔστι καίθ τῇ ὑπὸ τῶν ΕΖΑ [1] ἴση ἡ ὑπὸ τῶν ΑΝΠ, ⸂ ἀφῃρήσθω τῇ ΕΖ ἴση ἡ ΝΠ καὶ ἐπεζεύχθωσαν αἱ ΛΠ, ΠΜ, καὶ περιγεγράφθω περὶ τὸ ΛΠΜ τρίγωνον τμῆμα κύκλου· ἔσται δὴ καὶ ἡ πρὸς τῷ Π σημείῳ ἴση τῇ περιεχομένῃ ὑπὸ τ ΑΕ, ΕΒ γωνίᾳ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ πρὸς τῷ Ξ τῆς πρὸς τῷ Ο γωνίας, ἡ μὲν γὰρ πρὸς τῷ Ξ ἴση ἐστὶ τῇ πρὸς τῷ Σ γωνίᾳ, ἀμφότερα γὰρ ἐν τῷ αὐτῷ εἰσι τμήματι, ἡ δὲ πρὸς τῷ Σ μείζων ἐστὶ τ πρὸς τῷ Ο γωνίας, τριγώνου γὰρ τοῦ ΛΣΟ ἐκτός ἐστι· καὶ ἡ πρὸς τῷ Ξ ἄρα μείζων ἐστὶ τ πρὸς τῷ Ο. καὶ ἔστιν ἡ πρὸς τῷ Ξ ἴση τῇ ὑπὸ ΓΕΔ, ἡ δὲ πρὸς τῷ Ο τῇ ὑπὸ ΗΕΘ· μείζων ἄρα φανήσεται καὶ ἡ ΓΔ τ ΗΘ. πάλιν ἡ μὲν πρὸς τῷ Ο γωνία τῇ ὑπὸ ΗΕΘ ἐστιν ἴση, ἡ δὲ πρὸς τῷ Π τῇ ὑπὸ ΑΕΒ, μείζων δὲ ἡ Ο [2] γωνία τ Π· μείζων ἄρα φανήσεται ἡ ΗΘ τῆς ΑΒ εὐθείας.

eſt angulo EZN, æqualis conſtituatur ad punctum N angulo ΛNO, contentus ſub lineis ΛN, NO, auferaturque NO æqualis ipſi EZ, connectanturque rectæ ΛO, MO, & [per 5.4.] circa triangulum ΛOM deſcribatur circuli ſegmentum: angulus igitur poſitus in puncto O, contentus ſub lineis ΛO, OM, æqualis erit angulo HEΘ. rurſus, ad punctum N ponatur angulus ΛNΠ æqualis angulo EZΛ, abſcindaturque NΠ æqualis ipſi EZ, & connectantur rectæ ΛΠ, ΠM, & circa triangulum ΛΠM deſcribatur circuli ſegmentum: erit ergo angulus ΛΠM æqualis angulo contento ſub rectis lineis AE, EB. quia ergo angulus ΛΞM major eſt angulo ΛOM (angulus enim ΛΞM [per 21.3.] æqualis eſt angulo ΛΣM, eo quod ambo ſunt in eodem circuli ſegmento) angulus autem ΛΣM [per 16.1.] major eſt angulo ΛOM; (eſt enim exterior angulus trianguli ΛΣO:) angulus igitur ΛΞM major eſt angulo ΛOM. angulus vero ΛΞM æqualis eſt angulo ΓEΔ, & angulus ΛOM æqualis eſt ipſi HEΘ: [major igitur eſt angulus ΓEΔ angulo HEΘ;] ideoq; [per 5. poſit.] diameter ΓΔ apparebit major diametro HΘ. rurſus, angulus ΛOM æqualis eſt angulo HEΘ; angulus autem ΛΠM angulo AEB; major vero eſt angulus ΛOM angulo ΛΠM: quare HΘ diameter major apparebit diametro AB.

ΠΡΟΤΑΣΙΣ λϑ'.

Μὴ ἔστω δὴ μείζων ἡ ὑπ' ὄμματος ὑπὸ τὸ κέντρον ὑπιζανομένη τῆς ἀπ' κέντρου, ἀλλ' ἐλάσσων, ἔσται δὴ περὶ τὰς διαμέτρους τἀναντίον· ἡ γὰρ τότε μείζων τ διαμέτρων, νῦν ἐλάττων φανήσεται· ἡ δὲ ἐλάττων, μείζων.

PROP. XXXIX. THEOR.

Quod ſi ab oculo ad centrum connexa recta linea non fuerit major ſemidiametro, ſed minor; contrarium diametris eveniet: quæ enim antea major videbatur, nunc minor apparebit; & quæ minor, major.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ διήχθωσαν δύο διάμετροι τέμνουσαι ἀλλήλας πρὸς ὀρθὰς

SIT circulus ΑΒΓΔ, in quo ducantur duæ diametri ſe mutuo ſecantes ad angulos rectos,



αἱ ΑΒ, ΓΔ, ἑτέρα δέ τις διήχθω ἡ ΗΘ, ὄμμα δὲ τὸ Ε, ἀφ' οὗ ἡ ἐπὶ τὸ Ζ κέντρον ζευχθεῖσα ἔστω ἡ ΕΖ, ἐλάσσων ὅσπερ ἑκατέρας [3] τ ἐκ τοῦ κέντρου,

quæ ſint ΑΒ, ΓΔ; & alia quævis præterea diameter ſit vero oculus Ε, à quo ad centrum connexa recta linea ΕΖ minor ſit ſemidiametro, faciatque

1 Qui angulus (per lemma præcedens) minimus eſt omnium ab EZ cum ſemidiametris factorum, atque ideo NΠ modo cadit intra NO. *Savil.* 2 Punctum O cadere extra circulum ΛΞM ita conſtat; quia ΞN ſecat ΛM bifariam & ad rectos, eſt igitur ΞN ἐλαχίστη diameter circuli, & quia ΛΞM eſt major ſemicirculo in ΞN eſt centrum circuli, quare [per 7.3.] NΞ longiſſima eſt omnium rectarum ab N ad circuli circumferentiam: cadit ergo O extra ΛΞM. ſimiliter demonſtratur punctum Π cadere extra circulum ΛOM, quia, cum angulus ΛNΠ minor ſit angulo ΛNO, recta NΠ remotior eſt ab NΞ (ſi educatur ad circumferentiam ΛOM) maxima. *Idem.* 3 Malo τῆς, ut ſupra. *Idem.*

ZE rectos angulos cum ΓΔ diametro, & ponatur ΛM recta æqualis diametro circuli, feceturque bifariam in puncto N, & à puncto N erigatur ad angulos rectos linea NΞ quæ ſit æqualis lineæ EZ, & [per 5. 4.] circa puncta Λ, Ξ, M deſcribatur circuli ſegmentum ΛΞM: erit igitur hoc ſegmentum minus ſemicirculo, quandoquidem NΞ minor eſt ſemidiametro. ſit ergo illud ſegmentum ΛΞM, & con-

πρὸς ὀρθὰς δὲ ἔστω τῇ ΓΔ ἡ EZ, Ϛ κείσθω τῇ δ' κύκλ. διαμέτρῳ ἴση ἡ ΛM, καὶ τετμήσθω δίχα κατὰ τὸ N, Ϛ ἀνήχθω ἀπὸ τοῦ N πρὸς ὀρθὰς ἡ NΞ ἴση τῇ EZ, καὶ περιγεγράφθω περὶ τὸ ΛM Ϛ τὸ Ξ σημεῖον τμῆμα κύκλ. τὸ ΛΞM· ἔσται δὴ ἐλάσσων ἡμικυκλίου, ἐπειδήπερ ἡ NΞ ἐλάσσων ἐστὶ τ ἐκ τ κέντρ. ἔστω τὸ ΛΞM, καὶ ἐπεζεύχθωσαν





nectantur rectæ ΞΛ, ΞM; angulus igitur in puncto Ξ poſitus, qui continetur ſub lineis ΛΞ, ΞM, æqualis eſt angulo poſito in puncto E, qui continetur ſub rectis lineis ΓE, EΔ. rurſus, ad punctum N conſtituatur angulus ΛNO æqualis angulo EZH, abſcindaturque NO æqualis ipſi EZ, connectanturque rectæ ΛO, MO, & circa lineam ΛM per punctum O deſcribatur circuli ſegmentum ΛOM: angulus igitur in puncto O poſitus, qui continetur ſub lineis ΛO, MO, æqualis eſt angulo ad punctum E poſito & contento ſub lineis ΘE & EH. denique, ad punctum N ponatur angulus ΛNΠ æqualis ΔZE, abſcindaturque NΠ æqualis ipſi EZ, connectanturque rectæ ΛΠ, ΠM, & circa triangulum ΛΠM deſcribatur circuli ſegmentum ΛΠM: erit ergo angulus in puncto Π poſitus, ſub lineis ΛΠ, ΠM contentus, æqualis angulo poſito in E puncto & ſub lineis AE, EB contento. cum ergo angulus ΛΞM minor ſit angulo ΛOM, angulus autem ΛOM æqualis ſit angulo ΘEH, & angulus ΛΞM æqualis ſit angulo ΓEΔ: minor igitur [per 6. poſit.] apparebit ΓΔ diameter diametro HΘ. rurſus, quia angulus ΘEH minor eſt angulo AEB: minor ergo apparebit diameter HΘ diametro AB.

σαν αἱ ΞΛ, ΞM· ἡ ἄρα πρὸς τῷ Ξ σημείῳ γωνία, ἡ περιεχομένη ὑπὸ τ ΛΞ, ΞM, ἴση ἐστὶ τῇ πρὸς τῷ E, περιεχομένῃ δὲ ὑπὸ τ ΓE, EΔ. ἐπὶ κείσθω τῇ ὑπὸ τ EZ, ZH ἴση ἡ ἀπὸ τῶν ΛN, NO, Ϛ ἀφῃρήσθω τῇ EZ ἴση ἡ NO[1], καὶ ἐπεζεύχθωσαν αἱ ΛO, MO, καὶ περιγεγράφθω περὶ τὸ ΛM καὶ τὸ O σημεῖον τὸ ΛOM τμῆμα κύκλ. ἡ δὲ πρὸς τῷ O σημείῳ γωνία, ἡ περιεχομένη ὑπὸ τῶν ΛO, MO, ἴση ἐστὶ τῇ πρὸς τῷ E, τῇ περιεχομένῃ ὑπὸ τῶν ΘE, EH. ἔπι κείσθω τῇ ὑπὸ ΔZ, ZE ἴση ἡ ὑπὸ τ ΛN, NΠ, Ϛ ἀφῃρήσθω ἡ NΠ ἴση τῇ ὑπὸ EZ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΠ, ΠM, καὶ περιγεγράφθω περὶ ΛΠM τρίγωνον τμῆμα κύκλ. τὸ ΛΠM· ἔσται δὴ ἡ πρὸς τῷ Π σημείῳ γωνία, περιεχομένη ὑπὸ τ ΛΠ, ΠM, ἴση τῇ πρὸς τῷ E γωνίᾳ περιεχομένῃ δὲ ὑπὸ τῶν AE, EB. ἐπεὶ οὖν ἐλάσσων ἐστὶν ἡ πρὸς τῷ Ξ τ πρὸς τῷ O γωνίας, ἴση δὲ ἡ μὲν πρὸς τῷ O τῇ πρὸς τῷ E, περιεχομένη δὲ ὑπὸ τ ΘE, EH, ἡ δὲ πρὸς τῷ Ξ τῇ πρὸς τῷ E περιεχομένη ὑπὸ τ ΓEΔ· ἐλάσσων ἄρα φανήσε ἡ ΓΔ τ HΘ. πάλιν, ἐπεὶ ἐλάσσων ἐστὶν ἡ πρὸς τῷ E περιεχομένη δὲ ὑπὸ τ ΘEH, τ πρὸς τῷ E περιεχομένης δὲ ὑπὸ τ AEB· ἐλάσσων ἄρα φανήσε καὶ ἡ HΘ τ AB.

PROP. XL. THEOR.

Curruum rotæ nunc circulares nunc oblongæ apparebunt.

SIT rota, cujus diametri ſunt ΔZ, BΓ. cum ergo radius, ab oculo ad centrum rotæ tendens, fuerit vel rectus ad rotæ planum vel æqualis ſemidiametro, diametri ipſius æquales apparebunt, ut in theor. præc. demonſtratum eſt.

ΠΡΟΤΑΣΙΣ μ'.

Τῶν ἁρμάτων οἱ τροχοὶ ὅτε μὲ κυκλοειδεῖς, ὅτε δὲ παρεσπασμένοι φανῆνται.

